ΒΙΒΛΙΟΘΗΚΗ
ΕΛΛΗΝΩΝ
ΠΑΤΕΡΩΝ

ΔΙΑΥΛΟΣ
Ο
ΑΛΕΞΑΝΔΡΕΥΣ

(ΜΕΡΟΣ Β')

411

Printed in Greece
Athens 1972

ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ
ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

ΤΟΜΟΣ ΤΕΣΣΑΡΑΚΟΣΤΟΣ ΤΕΤΑΡΤΟΣ

ΔΙΔΥΜΟΣ Ο ΑΛΕΞΑΝΔΡΕΥΣ

(ΜΕΡΟΣ Β')

Ἐπιμέλεια
ΚΩΝΣΤΑΝΤΙΝΟΥ Γ. ΜΠΟΝΗ Δ. Θ. καὶ Φ.
Ὁμοτίμου Καθηγητοῦ τοῦ Παν/μίου Ἀθηνῶν

ΕΚΔΟΣΙΣ ΤΗΣ ΑΠΟΣΤΟΛΙΚΗΣ ΔΙΑΚΟΝΙΑΣ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ
ΑΘΗΝΑΙ 1972

ΠΕΡΙΕΧΟΜΕΝΑ

ΔΙΔΥΜΟΣ Ο ΑΛΕΞΑΝΔΡΕΥΣ

Σελ.

ΚΕΙΜΕΝΑ.— Περὶ Τριάδος Βιβλία Τρία (Κατὰ τὴν ἔκδοσιν τοῦ J.-P. Migne, Patrologiae Cursus Completus. Series Graeca τ. 39, στ. 269-992). Βιβλίον Δεύτερον. Περὶ τοῦ Ἁγίου Πνεύματος Κεφ. Θ'-ΚΖ' (P.G., τ. 39, στ. 632-769) 11

Βιβλίον Τρίτον. Προβλήματα Αἱρετικῶν ἀπὸ τῶν διαγορευουσῶν Γραφῶν τὰ ὑποτεταγμένα ῥήματα καὶ ἀντιθέσεις ὀρθοδόξων Κεφ. Α'-ΜΒ' (P.G., τ. 39, στ. 769-992). 60

— De Spiritu Sancto. S. Hieronymo Interprete. (Κατὰ τὴν ἔκδοσιν J.-P. Migne, Patrologiae Cursus Completus. Series Graeca, τ. 39, στ. 1033-1086, ἀναθεωρηθεῖσαν ἐπὶ τῇ βάσει τῆς ἐκδόσεως τοῦ G. Grone, Der Heilige Geiste. Verlag der missionsdruckerei, σσ. 1-90. Steyl 1940) 159

— Κατὰ Μανιχαίων. (Κατὰ τὴν ἔκδοσιν J.-P. Migne, Patrologiae Cursus Completus. Series Graeca, τ. 39, στ. 1086-1109) 211

— Ἀντιρρητικὸς κατ' Εὐνομίου. (Κατὰ τὴν ἔκδοσιν J. Dräseke, Apolinarios von Laodicea (Texte und Untersuchungen 7, 3-4). Leipzig 1822, σσ. 205-251) 223

— Ἀποσπάσματα. (Κατὰ τὴν ἔκδοσιν τοῦ J.-P. Migne, Patrologiae Cursus Copletus. Series Graeca τ. 39, στ. 1109). 263

ΠΙΝΑΞ ΤΩΝ ΧΩΡΙΩΝ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ 265

ΠΙΝΑΞ ΕΞΩΒΙΒΛΙΚΩΝ ΧΩΡΙΩΝ 279

ΠΙΝΑΞ ΘΕΜΑΤΩΝ ΟΝΟΜΑΤΩΝ ΠΡΑΓΜΑΤΩΝ 281

ΔΙΔΥΜΟΣ Ο ΑΛΕΞΑΝΔΡΕΥΣ

ΣΗΜΕΙΩΣΙΣ:

Σημειοῦμεν ἐνταῦθα ὅτι ἀσπαζόμεθα τὴν ἐν τῷ ἄρθρῳ τοῦ L. Bérange r «Sur deux énigmes du De Trinitate de Didyme l' Aveugle» (Recherches de Science Religieuse 51,1963) διατυπουμένην γνώμην, καθ' ἣν ἐν τῷ «Περὶ Τριάδος» ἔργῳ τοῦ Διδύμου γίνεται δὶς μνεία (3,16,31) οὐχὶ τοῦ ἐκ τῆς μεταφράσεως τοῦ Ἱερωνύμου γνωστοῦ «Περὶ τοῦ Ἁγίου Πνεύματος» ἔργου, ἀλλ' ἑτέρου ὁμωνύμου.

ΠΕΡΙ ΤΡΙΑΔΟΣ

ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ

ΠΕΡΙ ΤΟΥ ΑΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ*

(Κεφ. Θ'-ΚΖ')

ΚΕΦΑΛΑΙΟΝ Θ'

Περὶ τοῦ τὸ Ἅγιον Πνεῦμα εἶναι ὁμοούσιον τῷ Πατρὶ καὶ τῷ Υἱῷ· σημαίνεσθαι δὲ καὶ Παντοκράτορα. Ἐν ταὐτῷ περὶ τῆς ἀδιοδεύτου παρθενικῆς πύλης**.

ΚΕΦΑΛΑΙΟΝ Ι'

Περὶ τοῦ μαρτυρεῖσθαι, ὅτι τὸ Ἅγιον Πνεῦμα Θεὸς καὶ Κύριος καὶ δοξαζόμενος. Καὶ ἀντίθεσις τῆς Μακεδονιανῆς διδασκαλίας.

. . . . . .

κατὰ τοῦ Πνεύματός μου ἢ περὶ τοῦ Πνεύματός μου. Καὶ οἶμαι, ὡς διὰ τοῦτο καὶ μόνον φεισάμενος αὐτῶν, προσέταξεν ἐλθεῖν ὡς τὸν Ἰώβ, ἐπὶ τῷ ἐκεῖνον εὔξασθαι ὑπὲρ αὐτῶν· ἕνεκα δῆλον ὅτι τῶν εἰς αὐτὸν συντεινόντων ῥημάτων, διὰ τὸ ἀλήπτως αὐτοὺς καὶ λίαν προσηκόντως οὐκ οἶδα πόθεν φάναι· «Πνεῦμα θεῖον τὸ ποιῆσάν με, πνοὴ δὲ Παντοκράτορος ἡ διδάσκουσά με»[1]· καὶ ἐν ὀλίγῃ ῥήσει δύναμιν πολλὴν καὶ φύσιν τὴν δημιουργικὴν καὶ ἀλεξίκακον διηγήσασθαι. Ἆρ' οὖν ἐνταῦθα ἔστη τῆς θεολογίας ὁ Ἐλιοῦς; Καίτοι διαρρήδην προσέθηκε πολλὰ περὶ τοῦ παντοκράτορος Θεοῦ Πατρός, οἷς οὐδὲν ἀντιθετέον. Ἔφη γάρ· «Αἰώνιος γάρ ἐστιν ὁ ἐπάνω βροτῶν»[2]· καὶ πάλιν· «Ἐὰν ὦσιν χίλιοι ἄγγελοι θανατηφόροι, εἷς αὐτῶν οὐ μὴ τρώσῃ ἐξ αὐτῶν, ἐὰν νοήσῃ τῇ καρδίᾳ ἐπιστραφῆναι ἐπὶ τὸν Κύριον»[3]· αὖθίς τε· «Εὔξεται πρὸς Κύριον καὶ δεκτὰ αὐτῷ ἔσται»[4]· καὶ πάλιν· «Σῶσον τὴν ψυχήν μου, τοῦ μὴ ἐξελθεῖν εἰς διαφθοράν· καὶ ἡ ζωή μου φῶς ὄψεται. Ἰδοὺ ταῦτα πάντα ἐργάζεται ὁ Ἰσχυρός»[5]. Οὐκοῦν οἱ

---

* Κατὰ τὴν ἔκδοσιν J.-P. Migne, Patrologiae Cursus Completus. Series Graeca, τ. 39 στ. 632-769.

** Ὁλόκληρον τὸ Θ' κεφάλαιον ὡς καὶ ἡ ἀρχὴ τοῦ Ι' δὲν διεσώθησαν.

1. Ἰὼβ 33,4. 2. Ἰώβ 33,12. 3. Ἰὼβ 33,23. 4. Ἰὼβ 33,26. 5. Ἰὼβ 33,28.

λόγοι αὐτοῦ, εἰς μὲν τὰ περὶ τοῦ Θεοῦ καὶ τοῦ Πνεύματος αὐτοῦ, καλοί· εἰς δὲ τὰ ἄλλα, ἁμαρτάνοντες. Ἐπεί τοι καὶ ὁ Ἰώβ, θεῖον ὀνομάσας τὸ Ἅγιον Πνεῦμα, ὡς προελέχθη, τοῦ παρὰ Θεοῦ ἔτυχε τηλικούτου ἐπαίνου. Λογίζου τοίνυν, ὅτι κἂν τὴν μαρτυρίαν τοῦ Ἐλιοῦς μὴ προσδέχῃ, ἀρκοῦσι καὶ οὕτως οἱ **[633]** θεῖον τὸ Ἅγιον Πνεῦμα φήσαντες ἱεροκήρυκες· καὶ ἀξιόπιστός ἐστιν καὶ εἷς ἐξ αὐτῶν μαρτυρῶν· καὶ ὅτι πολλάκις ὁ δαίμων ἀπατῆσαι βουλόμενος, μείγνυσι τῷ ψεύδει, ὡς δέλεαρ, ἀλήθειάν τινα τῷ πρὸς ὃν ὁ λόγος αὐτῷ ἐστιν ἐγνωσμένην. Ἀμέλει τοι ἐν Εὐαγγελίῳ ἀκούομεν τοῦ διαβόλου ἀπὸ θείων Γραφῶν τῷ πάντων Δεσπότῃ διαλεγομένου καὶ τοῖς ἀνοσίοις αὐτοῦ λογισμοῖς καὶ ῥήμασι τὰ ὅσια γραφία συμπλέκοντος καὶ λέγοντος πειραστικῶς· «Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, βάλε σεαυτὸν κάτω· γέγραπται γάρ· ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σε»[1]· ἔτι μὴν καὶ τῶν δαιμόνων θεολογούντων βέλτιον Ἀρειανῶν, τῶν χειροτονησάντων τὸν αἱρεσιάρχην ὑμῶν Μακεδόνιον, καὶ μετ' αὐτὸν Μαραθώνιον· «Τί ἡμῖν καὶ σοί, Ἰησοῦ Υἱὲ τοῦ Θεοῦ τοῦ ζῶντος; Ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς»[2]; Καὶ ὁ Ἰάκωβος δὲ παριστῶν, ὅτι ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστιν»[3], καὶ τὸ ἔμπαλιν, θάτερον δὲ θατέρῳ συνεργεῖ, καὶ ἐξ ἀμφοῖν τὸ τέλειον, ἀναφανδὸν κηρύσσει· «Σὺ πιστεύεις, ὅτι ὁ Θεὸς εἷς ἐστιν; Καλῶς ποιεῖς· καὶ τὰ δαιμόνια πιστεύουσι καὶ φρίσσουσιν»[4]. Οὐ μὴν ἀλλὰ καὶ ἡ Σαμαρεῖτις γυνή[5], ἐφ' οἷς εἶπε παρὰ τὴν ἀρχήν, ὑβρισθεῖσα παρὰ τοῦ πάντας σωθῆναι βουλομένου Χριστοῦ ἐφθέγξατο τὸ δεύτερον πιστῶς καὶ οὐχ ὡς Σαμαρεῖτις· καὶ ἐπαίνου ἅμα καὶ ἐλέους ἠξιώθη. Καὶ ἄλλα δὲ ἴσως εὑρεθείη τοιαῦτα πολλὰ παρὰ τῶν φιλοπονώτερον περὶ ταῦτα διατριβόντων. Ὁρᾷς οὖν, ὅτι σύ, ὦ Μακεδονιανέ, οὐδὲ ὡς ὁ Ἐλιοῦς περὶ τοῦ Ἁγίου Πνεύματος πιστεύεις· ἀλλ' ἐξερρύη ἀπὸ σοῦ πᾶς σώφρων περὶ αὐτοῦ λογισμός· καὶ διὰ τὴν μείωσιν, ἣν ἐργάζῃ περὶ τὴν θείαν οὐσίαν αὐτοῦ καὶ τὸ μὴ εἶναί σε τέλειον συγκοινωνὸν τῆς χάριτος αὐτοῦ, ὑποσπανίζει σοι τὰ ἀίδια δωρήματα αὐτοῦ; Ἀλλὰ καὶ τούτων μὲν ἅλις· ἐπὶ δὲ τὰ **[636]** ἑξῆς προΐωμεν. Ὁμοίως Παῦλος ἐν τῇ δευτέρᾳ πρὸς Κορινθίους γράφων· «Οὐκ οἴδατε, ὅτι ναὸς Θεοῦ ἐστε καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν; Εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ Θεός· ὁ γὰρ ναὸς τοῦ Θεοῦ ἅγιός ἐστιν, οἵτινές ἐστε ὑμεῖς»[6]. Κατανόησον, ὡς τὸ Πνεῦμα τοῦ Θεοῦ Θεὸν εἶπεν οἰκοῦντα ἐν τῷ ναῷ τοῦ ἀνθρώπου, ὄντινα Θεοῦ ὠνόμασε ναόν, ὡς ἀλλαχοῦ λέγει· «Τίς συγκατάθεσις ναῷ Θεοῦ μετὰ εἰδώλων; Ἡμεῖς γὰρ ναός ἐσμεν Θεοῦ ζῶντος, καθὼς εἶπεν ὁ Θεός· Ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω καὶ ἔσομαι αὐτῶν Θεὸς καὶ αὐτοὶ ἔσονταί μοι λαός»[7]. Καὶ ὡς Τιμοθέῳ γράφει· «Τὴν καλὴν παραθήκην

---

1. Πρβλ. Ματθ. 4,6. Ψαλ. 99,11. 2. Ματθ. 8,29. 3. Ἰακ. 2,20,22. 4. Ἰακ. 2;19. 5. Ἰω. 4,17,18. 6. Α' Κορ. 3,16-17. 7. Β' Κορ. 6,16.

φύλαξον διὰ Πνεύματος Ἁγίου, τοῦ ἐνοικοῦντος ἐν ἡμῖν»[1]. Καὶ ὡς ἐν Εὐαγγελίῳ ἔχει, καθὰ ἤδη ἐλέχθη· «Ἐν τούτῳ γὰρ γινώσκομεν· ὅτι ὁ Θεὸς ἐν ἡμῖν ἐστιν, ἐκ τοῦ Πνεύματος αὐτοῦ, οὗ ἔδωκεν ἡμῖν»[2]. Ἀμέλει ὡς ἀπὸ δύο ὑποστάσεων παρ' Ἡσαΐᾳ λέγει· «Ἐγώ εἰμι καὶ οὐκ ἔστιν ἔτι»[3]. Ὡς καὶ ἀπὸ τοῦ Υἱοῦ ἐν Εὐαγγελίῳ ἔφη· «Ἐάν τις ἀγαπᾷ με, τὸν λόγον μου τηρεῖ καὶ ὁ Πατήρ μου ἀγαπήσει αὐτὸν καὶ πρὸς αὐτὸν ἐλευσόμεθα καὶ μονὴν παρ' αὐτῷ ποιησόμεθα»[4]· καὶ πρὸς Ἑβραίους· «Χριστὸς δὲ ἐπὶ τὸν οἶκον αὐτοῦ, οὗ οἶκός ἐσμεν ἡμεῖς»[5]· καὶ ὁ Ἱεροψάλτης· «Σὺ δὲ ἐν ἁγίοις κατοικεῖς, ὁ ἔπαινος τοῦ Ἰσραήλ»[6]. Οἶμαι οἰκητήριον ἅγιον τοῦ ἀπεριγράφου Θεοῦ εἰπὼν πᾶσαν λογικὴν τῶν πιστῶν φύσιν. Ἀπεδείχθη οὖν μονονουχὶ Θεὸς τὸ Ἅγιον Πνεῦμα· ἀλλὰ καὶ ἴσος καὶ ὅμοιος τῷ Πατρὶ καὶ τῷ Υἱῷ, ἐν **[637]** τῷ ἴσως καὶ ὁμοίως ναὸν ἔχειν τὸν ἄνθρωπον· καὶ ὅτι ὁ ὢν οἶκος τοῦ Πατρὸς ἔχει καὶ τὸν ἐν αὐτῷ ὄντα Υἱὸν· καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ· ὡς αὖ πάλιν τοῦ Υἱοῦ ἢ τοῦ Πνεύματος τῆς ἐπιφοιτήσεως καταξιωθείς, ἐκ παντὸς ἔχει καὶ τὸν Πατέρα. Καὶ πάλιν ἐν τῇ αὐτῇ δευτέρᾳ Ἐπιστολῇ· «Ἢ οὐκ οἴδατε, ὅτι τὰ σώματα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν Ἁγίου Πνεύματός ἐστιν, οὗ ἔχετε ἀπὸ τοῦ Θεοῦ καὶ οὐκ ἐστὲ ἑαυτῶν; Ἠγοράσθητε γὰρ τιμῆς. Δοξάσατε δὴ τὸν Θεὸν τὸν ἐν τοῖς σώμασιν ὑμῶν»[7]. Τὰ σώματα τῶν πιστῶν ναὸν τοῦ Ἁγίου Πνεύματος εἶναι εἰπὼν ἐνουθέτησε δοξάζειν τὸν Θεὸν ἐν τοῖς σώμασι, δῆλον ὅτι τὸ Ἅγιον Πνεῦμα. Λέγων δὲ αὐτὸ ἀπὸ τοῦ Θεοῦ διδάσκει, ὡς κατὰ φύσιν πρόεισιν ἐξ αὐτοῦ. Ὅπερ αὖθις παριστᾷ καὶ τὸ ναὸν εἶναι αὐτοῦ τὸν ἄνθρωπον, ἴσως τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ. Ὁμοίως ἐν τῇ αὐτῇ δευτέρᾳ Ἐπιστολῇ. «Ἄχρι γὰρ τῆς σήμερον τὸ αὐτὸ κάλυμμα ἐπὶ τῇ ἀναγνώσει τῆς Παλαιᾶς Διαθήκης μένει, μὴ ἀνακαλυπτόμενον (ὅτι ἐν Χριστῷ καταργεῖται)... Ὅταν δὲ ἐπιστρέψῃ πρὸς Κύριον, περιαιρεῖται τὸ κάλυμμα. Ὁ δὲ Κύριος τὸ Πνεῦμά ἐστιν· οὗ δὲ τὸ Πνεῦμα Κυρίου, ἐκεῖ ἐλευθερία. Ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμενοι, τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ Κυρίου Πνεύματος»[8]. Καὶ Κύριον τοσαυτάκις ὠνόμασε τὸ Πνεῦμα τὸ Ἅγιον καὶ ἐλευθερίαν δωρούμενον, οἷς ἐπιφαίνει καὶ δόξαν ἔχον ἐν ἑαυτῷ. Ἡ δὲ πᾶσα τοῦ κεφαλαίου ἑρμηνεία ἔχει ὧδε· Τὰ τῆς Παλαιᾶς, φησίν, Διαθήκης Ἰουδαϊκὰ παρατηρήματα ἔτι μένει, μὴ ἀποσκεπασθέντα καὶ γνωσθέντα ἐνίοις, ὅτι κατήργηται ἐν Χριστῷ, τῷ εἰπόντι· «Οὐκ ἦλθον καταλῦσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι»[9]· τοῦτ' ἐστιν ἢ παῦσαι ἢ τὸ λεῖπον ἀναπληρῶσαι. Ὅταν δέ τις ἐπιστρέψῃ πρὸς Κύριον καὶ μεταστῇ ἀπὸ τοῦ τύπου εἰς τὴν ἀλήθειαν, ἀπὸ τοῦ νόμου εἰς τὴν χάριν, κατὰ τό, «Οὐκ ἐστὲ ὑπὸ νόμον,

---

1. Β' Τιμ. 1,14. 2. Πρβλ. Ἰω. 4,13. 3. Ἡσ. 45,18. 4. Ἰω. 14,23. 5. Πρβλ. Ἑβρ. 3,6. 6. Ψαλ. 21,4. 7. Α' Κορ. 6,19-20. 8. Β' Κορ. 3,14-18. 9. Ματθ. 5,17.

ἀλλ' ὑπὸ χάριν»[1] ἀπορριπτεῖ ἐκεῖνο τὸ ὥσπερ συγκαλύπτον αὐτὸν κάλυμμα· ὅμοιον ποιῶν Μωϋσῇ, περιαιροῦντι, ἡνίκα διαλέγεσθαι ἠξιοῦτο τῷ ἀοράτῳ Θεῷ, τὸ κάλυμμα τοῦ προσώπου αὐτοῦ, τοῦ ἐκ τῆς θεϊκῆς ἐπιφανείας δεδοξασμένου καὶ ἀμαυροῦντος δίκην ἡλιακῶν ἀκτίνων τοὺς ὀφθαλμοὺς τῶν ἐνατενιζόντων αὐτῷ[2]. Τὸν δὲ Κύριον ἐνταῦθα τὸ Ἅγιον Πνεῦμα εἶναι λέγει· **[640]** παρ' οὗ τὴν ἐλευθερίαν, οἱ ναὸς ὄντες αὐτοῦ δεχόμενοι, ἀνακεκαλυμμένῳ προσώπῳ, καὶ οὐκ ἔτι τῷ ζυγῷ τῆς δουλείας ὑποκεκυφότες, τὴν δόξαν τοῦ Κυρίου, τοῦ οἰκοῦντος ἐν ἡμῖν κατοπτριζόμεθα ἀπὸ δόξης τοῦ Πνεύματος εἰς δόξαν τοῦ Πατρὸς ἐρχόμενοι[3]. Προΐωμεν δὲ καὶ ἐπὶ τὰ ἑξῆς· «Ἐάν», φησίν, «πάντες προφητεύωσιν, εἰσέλθῃ δέ τις ἄπιστος ἢ ἰδιώτης, ἐλέγχεται ὑπὸ πάντων, ἀνακρίνεται ὑπὸ πάντων τὰ κρυπτὰ τῆς καρδίας φανερὰ γίνεται· καὶ οὕτω πεσὼν ἐπὶ πρόσωπον, προσκυνήσει τῷ Θεῷ ἀπαγγέλλων, ὅτι ὄντως ὁ Θεὸς ἐν ὑμῖν ἐστιν»[4]. Θεὸς οὖν προσκυνούμενος τὸ ἐν τοῖς προφητεύουσι καὶ τοῖς ἁγίοις λαλοῦν καὶ ἐνεργοῦν καὶ τὰ χαρίσματα παρέχον Ἅγιον Πνεῦμα καὶ ἐνταῦθα φανερῶς ὠνόμασται. Καὶ σημειωτέον, ὅτι καὶ προσκυνεῖται. Τοῖς πρόσθεν παραπλήσια καὶ Ῥωμαίοις ἀξιοῖ γράφειν· ἔχουσι δ' αἱ λέξεις τόνδε τὸν τρόπον· «Ὁ δὲ Θεὸς τῆς ὑπομονῆς καὶ τῆς ἐλπίδος δῴη ὑμῖν τὸ αὐτὸ φρονεῖν ἐν ἀλλήλοις, κατὰ Ἰησοῦν Χριστόν· ἵνα ὁμοθυμαδὸν ἐν ἑνὶ στόματι δοξάζητε τὸν Θεὸν καὶ Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ»[5]. Τίς οὖν ὁ διδοὺς ἡμῖν Θεὸς οὕτω φρονεῖν περὶ τοῦ Πατρὸς καὶ τοῦ Μονογενοῦς αὐτοῦ, ἀλλ' ἢ τὸ Ἅγιον Πνεῦμα; Αὐτὸ γὰρ νοῆσαι ἡμᾶς ὑπολείπεται. Ἀλλὰ Θεσσαλονικεῦσιν ὡσαύτως· «Ὁ δὲ Κύριος κατευθύναι ὑμῶν τὰς καρδίας εἰς τὴν ἀγάπην τοῦ Θεοῦ καὶ εἰς τὴν ὑπομονὴν τοῦ Χριστοῦ»[6]. Ὡς εἶναι τὸ Ἅγιον Πνεῦμα, τὸ κατευθῦνον Κύριον εἰς τὴν ἀγάπην τοῦ Θεοῦ καὶ Πατρὸς καὶ εἰς τὴν ὑπομονὴν τοῦ Υἱοῦ. Καὶ πάλιν· «Ὑμᾶς δὲ ὁ Κύριος πλεονάσαι καὶ περισσεύσαι τῇ ἀγάπῃ εἰς ἀλλήλους καὶ εἰς πάντας, καθάπερ καὶ ἡμεῖς εἰς ὑμᾶς· εἰς τὸ στηρίξαι ὑμῶν τὰς καρδίας ἀμέμπτως ἐν ἁγιωσύνῃ ἔμπροσθεν τοῦ Θεοῦ καὶ Πατρὸς ἡμῶν ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ»[7]. Ποῖος οὖν Κύριος ὁ πλεονάζων καὶ στηρίζων ἐν ἁγιωσύνῃ ἔμπροσθεν τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἢ τὸ Ἅγιον Πνεῦμα; Καὶ παρεγγυᾷ δὲ αὐτοῖς μὴ ἐκ παροινίας τινὸς ἢ ἀμελείας ἀποπέμψασθαι τὴν ἐν ἡμῖν ἀναφθεῖσαν αὐτοῦ αἰωνίαν χάριν γράφων· «Τὸ Πνεῦμα μὴ σβέννυτε»[8]. Αὖθίς τε θεοποιῶν αὐτὸ καὶ τὴν πρὸς τὸν Πατέρα συστοιχίαν καὶ ὁμοφροσύνην ἀπαγγέλλων φησίν· «Ὁ ἀθετῶν οὐκ ἄνθρωπον ἀθετεῖ, ἀλλὰ τὸν Θεόν, τὸν διδόντα τὸ Πνεῦμα αὐτοῦ τὸ Ἅγιον εἰς ἡμᾶς»[9]. Πέτρος δέ, ὁ τὰ πρωτεῖα

---

1. Ρωμ. 6,14. 2. Πρβλ. Ἐξ. 34,34-35. 3. Πρβλ. Β' Κορ. 3,18. 4. Α' Κορ. 14,24-25. 5. Ρωμ. 15,5-6. 6. Β' Θεσ. 3,5. 7. Α' Θεσ. 3,12-13. 8. Α' Θεσ. 5,19. 9. Α' Θεσ. 4,8.

ἐν τοῖς ἀποστόλοις ἔχων διαρρήδην Θεὸν καὶ Κύριον τὸ Ἅγιον Πνεῦμα παριστῶν τοιοῦτον ἠπείλησε κατὰ λέξιν Ἀνανίᾳ τινὶ τοὔνομα· «Διὰ τί ἐπλήρωσεν ὁ Σατανᾶς τὴν καρδίαν σου, ψεύσασθαί σε τὸ Πνεῦμα τὸ Ἅγιον **[641]** καὶ νοσφίσασθαι ἀπὸ τῆς τιμῆς τοῦ χωρίου; Οὐχὶ μένον σοι ἔμενεν καὶ πραθὲν ἐν τῇ σῇ ἐξουσίᾳ ὑπῆρχεν; Οὐκ ἐψεύσω ἀνθρώποις, ἀλλὰ τῷ Θεῷ»[1]. Εὐθέως δὲ καὶ πρὸς Σάπφειραν, τὴν Ἀνανίου γυναῖκα, λέγει τάδε· «Τί ὅτι συνεφωνήθη ὑμῖν πειράσαι τὸ Πνεῦμα Κυρίου;»[2] ὁμοιότροπον τῷ «Οὐ μὴ πειράσεις Κύριον τὸν Θεόν σου»[3]· καὶ τῷ παρὰ Ἰακώβου γραφέντι· «Ὁ γὰρ Θεὸς ἀπείραστός ἐστι κακῶν· πειράζει δὲ αὐτὸς οὐδένα»[4]. Ὁ δὲ Ἰωάννης θεολογῶν τὸ Πνεῦμα, ὡς ἀνωτέρω ἐλέχθη, ἔφη· «Πνεῦμα ὁ Θεὸς καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν Πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν»[5]. Ὡς γὰρ ὁ Θεὸς Πνεῦμα καὶ τὸ Ἅγιον αὐτοῦ Πνεῦμα Θεός· καὶ ὡς ὁ Θεὸς ἐκεῖνό ἐστιν καὶ λέγεται, ὅ ἐστι τὸ Πνεῦμα αὐτοῦ· οὕτω καὶ τὸ Ἅγιον Πνεῦμα ἐκεῖνό ἐστιν, ὅ ἔστιν, οὗ Πνεῦμα τυγχάνει, τοῦτ' ἔστιν ἄναρχος Θεός. Χρὴ δέ, φησίν, ἡμᾶς ἐν ὅλῳ τῷ πνεύματι ἡμῶν ἀνενδοιάστως, μετὰ ἀληθείας, καὶ μὴ χείλεσι μόνον καὶ λόγοις ψιλοῖς, τὸ Ἅγιον Πνεῦμα προσκυνεῖν. Εἰ δὲ εἴποιεν Μακεδονιανοί, ὅτι ἐν τῷ **[644]** Ἁγίῳ Πνεύματι ἔφη τὸ λόγιον τὸν Θεὸν προσκυνεῖσθαι, οὐχὶ καὶ τὸ Πνεῦμα προσκυνεῖσθαι· ἀναγκασθήσονται λέξαι ὅτι καὶ ἐν τῷ Υἱῷ οὐχὶ καὶ τὸν Υἱόν. Αὐτὸς γὰρ ἔφη· «Ἐγώ εἰμι ἡ ἀλήθεια»· καὶ οὐχ ἕξουσι οὐδὲ ἀπὸ τοῦ ῥητοῦ τοῦδε διαφορὰν αἱ μακάριαι ὑποστάσεις αὗται. Ἡσαΐας δέ, περὶ τῆς Ἐκκλησίας καὶ τῶν ἐν αὐτῇ ἐκπαιδευομένων τὴν σοφίαν τοῦ Πνεύματος προφητεύων, ὡδί πως ἀπὸ τοῦ Θεοῦ καταλέγει· «Ἰδοὺ ἐγὼ ἑτοιμάζω σοι ἄνθρακα τὸν λίθον σου καὶ τὰ θεμέλιά σου σάπφειρον· καὶ θήσω τὰς ἐπάλξεις σου ἴασπιν καὶ τὰς πύλας σου λίθους κρυστάλλου καὶ τὸν περίβολόν σου λίθους ἐκλεκτοὺς καὶ πάντας τοὺς υἱούς σου διδακτοὺς Θεοῦ»[7]. Ἥστινος προφητείας ὁ Σωτὴρ ἐμνημόνευσε παρ' Ἰωάννῃ, εἰπών· «Ἔστιν γεγραμμένον ἐν τοῖς προφήταις· Καὶ ἔσονται πάντες διδακτοὶ Θεοῦ»[8]. Καὶ Παῦλος δὲ Θεσσαλονικεῦσιν ἀποστολουθα τούτων γράφει· «Αὐτοὶ γὰρ ὑμεῖς θεοδίδακτοί ἐστε εἰς τὸ ἀγαπᾶν ἀλλήλους»[9]. Ἀμφότεροι δὲ περὶ τοῦ Ἁγίου λέγουσι Πνεύματος, ὡς ἐν Ἰωάννῃ αὖθις ὁ Δεσπότης λέγει· «Ἐκεῖνος ὑμᾶς διδάξει καὶ ἀναμνήσει πάντα»[10]. Εἰ τοίνυν οἱ ὑπὸ τοῦ Ἁγίου Πνεύματος διδασκόμενοι διδακτοὶ Θεοῦ ἀκούουσιν, τί ἐστιν τὸ Ἅγιον Πνεῦμα, «ὁ ἀναγινώσκων νοείτω»[11], ἀκούων καὶ ἑτέρου αὐχοῦντος· «Ὁ Θεὸς ἐδίδαξέ με σοφίαν»[12]· καὶ πάλιν· «Ἐδίδαξέ με ὁ Θεὸς ἐκ νεότητός μου»[13]. Κέκληται δὲ καὶ θεόπνευστος καὶ θεία ἡ Γραφή, ὡς τοῦ πνεύσαντος

---

1. Πράξ. 5,3-4. 2. Πράξ. 5,9. 3. Δευτ. 6,16. Ματθ. 4,7. 4. Ἰακ. 1,13. 5. Ἰω. 4,24. 6. Ἰω. 14,6. 7. Ἡσ. 54,11-13. 8. Ἰω. 6,45. 9. Α' Θεσ. 4,2. 10. Ἰω. 14,26. 11. Πρβλ. Μάρκ. 13,14. 12. Παροιμ. 30,3. 13. Ψαλ. 70,17.

αὐτὴν Ἁγίου Πνεύματος Θεοῦ καθεστῶτος, κατὰ Παῦλον γράφοντα Τιμοθέῳ τὸ δεύτερον· «Πᾶσα Γραφὴ θεόπνευστος καὶ ὠφέλιμος»[1]. Καὶ αὖθις δὲ Πέτρος, ἀποφέρων τὸ μὴ δεῖν οἴεσθαι τὸ Ἅγιον Πνεῦμα τελεῖν ἐν κτίσμασι, καθολικῶς τὸ δεύτερον γράφει· «Οὐ γὰρ θελήματι ἀνθρώπου ἠνέχθη προφητεία ποτέ, ἀλλ' ὑπὸ Πνεύματος Ἁγίου φερόμενοι ἐλάλησαν ἀπὸ Θεοῦ ἅγιοι ἄνθρωποι»[2]. Καὶ αἱ Πράξεις δὲ τῶν ἀποστόλων περιέχουσι τάδε· «Πέτρος, πλησθεὶς Πνεύματος **[645]** Ἁγίου, εἶπε πρὸς τὸν λαόν»[3], ἅπερ εἶπεν. Ἓν ἕκαστον μὲν οὖν τῶν ἐν Γραφαῖς περὶ τοῦ θεϊκοῦ Πνεύματος διαγορευθέντων, ἀποχρῶν ἐστι τεκμήριον τῆς ἐκείνου περὶ πάντα πρὸς τὴν τοῦ Θεοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ θεότητα ὁμοιότητος. Οἱ δὲ τὸ Μακεδονίου φρόνημα ἡγούμενοι τῆς ἐν Γραφαῖς ἁπλότητος εἶναι σπουδαιότερον καὶ βουλόμενοι τοῦτο τιμιώτερον τῆς παρ' ἡμῖν ἀκιβδήλου πίστεως δεικνύναι, ἀντεροῦντες τῷ Ἁγίῳ Πνεύματι, ἔγραψαν καὶ περὶ τῆς ἐν ἡμῖν κατοικήσεως αὐτοῦ λοιδορίας, αὐτοῖς ὀνόμασιν οὕτως· «Τὰ ἀλληγορικῶς ἢ προσηγορικῶς ἢ μεταφορικῶς ἢ ὁμωνύμως λεγόμενα, οὐ χρὴ εἰς δόγματος ἀκρίβειαν παραλαμβάνειν. Ναὸς γάρ, φησίν καὶ ὁ ἐν Ἱεροσολύμοις ὁ ἐξ ὕλης ἀψύχου καὶ πρῶτος ἐκεῖνος ὠνομάσθη ναός· ὁμωνύμως δὲ λοιπὸν καὶ οἱ ἄνθρωποι. Ναὸς δὲ δῆθεν καὶ οἶκος βιοτικός, διὰ τὸ ἐννεῖν καὶ ἐνοικεῖν. «Ἦν γάρ», φησίν, «ὁ Ναβουχοδονόσοωρ ἐν τῷ ναῷ τῆς βασιλείας»[4]. Καὶ πάλιν· «Εἰ φύσει ἄνθρωποι προσηγορικῶς ναός εἰσιν καὶ οὐχὶ δῆθεν ἀληθῶς»[5]· καὶ πάλιν· «Ἐπειδὴ οὖν, φησίν, καὶ πρόβατα ὠνομάσμεθα, ἆρα κατὰ φύσιν τοῦτό ἐσμεν»[6]; αὖθ ς τε· «Ὁ ἐξαγοράσας ἡμᾶς, φησίν, ὁ ὑπὲρ ἡμῶν ἀποθανών ἐστιν· ὁ δὲ ἐξαγοράζων, οὐ τὸ ἀλλότριον ἐξαγοράζει»[7]. Αὐτοὶ μὲν οὕτως ἀπόρως καὶ ἀλόγως, καὶ ὡς οὐκ ἄν τις, οὐδὲ τῶν μικρὰ ὁπωσοῦν λογίζεσθαι δυναμένων, ἀποδέξαιτο αὐτούς. Εἰς παρεξέτασιν γὰρ τῶν θεοχρήστων ῥητῶν, τῶν περὶ αὐτῆς τε τῆς ἀκαταφρονήτου θεότητος, περὶ τε τῶν λογικῶν ἔργων τῶν χειρῶν αὐτοῦ ἡμῶν κτήνη καὶ οἰκοδομίαν ἄψυχον εἰς μέσον φέρουσι καὶ παίζουσιν οἷον εἰς τὰ φοβερὰ γραφία καὶ πράγματα καὶ διὰ τῶν δῆθεν ἀφελῶν τούτων καὶ ἀνειμένων λόγων ἐπὶ τὸ ἑαυτῶν βάραθρον καλοῦσι, ὡς οἱ τοὺς ἰχθύας μικρῷ τινι δελεάσματι ἀγκιστρεύοντες. Ἡμεῖς δὲ πανταχόθεν δεικνύντες ὡς πλείστην παρὰ πάντα τὸν βίον, ὥς γε ἑαυτοῖς δοκοῦμεν, πεποιήμεθα φροντίδα τοῦ μηδ' ὁτιοῦν εἰκῇ, μηδὲ σὺν ἀπεχθείᾳ τῇ κατά τινος φθέγγεσθαι καὶ τοῦ ὅτι εὔλογον λοιδορίαν πεφεύγαμεν· ἥκομεν τοὺς μὲν τῶν σωφρονε**[648]**στέρων καὶ τοὺς ὁμόφρονας ἡμῖν ἀναμνήσοντες, ὧν ἀπὸ τῶν Γραφῶν ἀκηκόασιν· τοὺς δ' ἄλλους πείσοντες, τῷ γε ἐφ' ἡμῖν, μὴ οὕτω γνώμης ἢ πίστεως, ὡς ἔχουσιν, τοῦ λοιποῦ ἔχειν. Οἱ γὰρ ἀξιούμενοι ἔχειν κατοικοῦν

---

1. Β' Τιμ. 3,16. 2. Β' Πέτρ. 1,21. 3. Β' Πέτρ. 4,8. 4. Πρβλ. Δαν. (Θεοδ.) 4,29. 5. Α' Κορ. 3,16. 6. Πρβλ. Ματθ. 10,6. κ.ἄ. 7. Γαλ. 3,13.

ἐν αὐτοῖς τὸ πληροῦν τὰ πάντα ἐνυπόστατον Πνεῦμα τοῦ Θεοῦ οὔτε κατὰ ὁμωνυμίαν ἢ συνωνυμίαν οὔτε κατὰ ἀλληγορίαν οὔτε κατὰ μεταφορὰν ναὸς αὐτοῦ ὠνομάσμεθα, ἀλλὰ κυρίως καὶ κατὰ ἀλήθειαν. Ὅθεν ὁ Ἀπόστολος, οὗ τῷ ἐν Ἱεροσολύμοις ναῷ καὶ ἐκείνοις, οἷς εἰκόνι ἐχρήσαντο αἱρετικοί, ἀλλὰ γὰρ πιστοῖς, Θεὸν σαφῶς τὸ Ἅγιον Πνεῦμα εἶναι δεικνύς, ἔφη· «Οὐκ οἴδατε, ὅτι ναὸς Θεοῦ ἐστε, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν»[1]; Καὶ πρὸς Ἑβραίους· «Μέτοχοι Πνεύματος Ἁγίου ἐσμέν»[2]. Εἰ γὰρ ναὸς τοῦ Ἁγίου Πνεύματος, οὐχ ὡς Θεοῦ, ἀλλὰ παρὰ τὸ ἐνεῖν καὶ ἐνοικεῖν ἐσμεν, οὐδὲ τοῦ Θεοῦ ναὸς κληθέντες, ὡς Θεοῦ προσηγορεύθημεν. Καὶ ὁ Θεὸς δὲ Πατὴρ δεσποτικῶς ἡμᾶς κεκτημένος οἰκεῖ ἐν ἡμῖν (ναὸς γὰρ Θεῷ μόνῳ ἁρμόζει) καὶ παραπλησίως αὐτοῦ, ὅ τε μονογενὴς αὐτοῦ Υἱός, τό τε ἓν αὐτοῦ Ἅγιον Πνεῦμα. Καὶ ὃν τρόπον ὁ Θεὸς καὶ Πατήρ, κἂν μὴ γέγραπται ὅτι ἐξηγοράσατο ἡμᾶς τῷ ἰδίῳ αἵματι, Δεσπότης ἡμῶν ἐστιν, οὕτω καὶ τὸ Πνεῦμα αὐτοῦ τὸ Ἅγιον. Τούτοις γὰρ τοῖς πρὸς περιγραφὴν τῆς θεότητος τοῦ Ἁγίου Πνεύματος λεγομένοις ἀκολουθεῖ τὸ παραπλησίως καὶ ἐπὶ τοῦ Θεοῦ Πατρὸς ἐκλαμβάνεσθαι. Τίς οὖν ἂν πείθοιτο δικαιότερον Παύλῳ καὶ τοῖς ἄλλοις ἁγίοις ἢ Μακεδονίῳ καὶ τῷ πλαστῶς μετανοήσαντι Ἀρείῳ; Εἰ μὲν γάρ ἐστιν αὐτοῖς τῶν Ἁγίων λόγος, πῶς ἔλαθον τάξαντες ἑαυτοὺς ἐν τοῖς ἀντιτασσομένοις καὶ οὐ ταὐτὰ ἐκείνοις λέγειν καὶ φρονεῖν ἀξιοῦσιν; Εἰ δὲ ἄλλως μὲν ἐκείνοις, ἄλλως δὲ τούτοις δοκεῖ (τοῦτο γὰρ ἀναμφίλεκτον ἀφ' ὧν δέδεικται. Οὐ γὰρ τοίχοις καὶ θρέμμασιν καταφρονητικῶς καὶ χλευαστικῶς, ὡς οἱ ὑβρισταὶ οὗτοι, παραβάλλοντες ἢ ἓν καὶ ταὐτὸν τούτοις εἶναι δοκιμάζοντες τὸν λογικὸν ναόν, τὸν κατ' εἰκόνα τοῦ Θεοῦ, τὸ ἔργον τῶν χειρῶν αὐτοῦ καὶ τῶν ἐπὶ γῆς τὸ κάλλιστον, ἔχρησαν τὰ ἐκκείμενα λόγια), οὐ Χριστιανῶν μέν, οὐδὲ ἄλλως σοφῶν ἐστι τοῦτο· οὐδὲ ἀληθεύειν τοιαῦτα αὐτοὺς διδάσκοντας ἄν τις τὴν ἀρχὴν νομίσοι. Οὕτως δὲ ἔχειν γνώμης αὐτοὺς ὡς ἀληθῶς μαθών, πῶς οὐκ οἰήσεταί πλέον σωφρονεῖν, ἂν τὰ μὲν αἱρετικῶν φεύγῃ, πείθοιτο δὲ οἷς πολλῷ ἄμεινον, φημὶ τοῖς ἁγίοις ἤ, τό γε ἀληθέστερον, τοῖς αὐτοῦ τοῦ Θεοῦ; Οὐ γὰρ ἄν τις, κἂν Γραφῶν παντοίως ἄπειρος ᾖ, ἀπὸ τῆς αὐτῶν γνώμης μόνον ταῦτα εἰρηκέναι τοὺς ἀρίστους πάντας καὶ κλεινοὺς ἐκείνους ἄνδρας φήσειεν, ἀλλ' οὐχὶ διὰ τῆς **[649]** αὐτῶν φωνῆς ἡμῖν τὸν Θεὸν διαλέγεσθαι καὶ τά τε ἄλλα, τὰ μείζονα συνέσεως ἀνθρώπων, διδάσκειν καὶ ὅτι ἐν πιστοῖς αὐτός τε ὁ Θεὸς καὶ ὁ μονογενὴς αὐτοῦ Υἱὸς καὶ τὸ ἓν αὐτοῦ Πνεῦμα ὁμοίως καὶ ἴσως οἰκεῖ ἀχράντως. Διελέγχων τοίνυν καὶ ἀπορρίπτων τὰς σοφισματώδεις αὐτῶν φλυαρίας καὶ τὸ μὴ τὰ βλαβερὰ διὰ Ἄρειον καὶ Μακεδόνιον αἱρεῖσθαι συμβουλεύων ἐν ρδ' ψαλμῷ παρεγγυᾶται αὐτοῖς· «Ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε»[3]. Ἀλλὰ τὰ μὲν περὶ ἐκείνων, τῶν

1. Α' Κορ. 3,16. 2. Πρβλ. Ἑβρ. 6,4. 3. Ψαλ. 104,15.

μηδαμοῦ φίλων Θεῷ τῷ καὶ τὴν ἐξ ὁμωνυμίας δωρεὰν ἀνθρώποις δεδωκότι εἰρηκότων· «Μὴ κίνει καμάριναν· ἀκίνητος γὰρ ἀμείνων»α. Διαγνωσθέντος τοίνυν καὶ τοῦ, ὅτι Θεὸς τὸ Ἅγιον Πνεῦμα, καὶ τὰς προφητείας αὐτὸ ὑπέβαλε, μεταβῆναι ἤδη καιρὸς ἐπὶ τὸν Ζαχαρίαν, οὐ τὸν δρεπανηφόρον προφήτην[1], ἀλλὰ τὸν πατέρα Ἰωάννου, ἐγκρίναντα καὶ αὐτὸν Θεὸν καὶ Κύριον τοῦ Ἰσραὴλ εἶναι τὸ ἐν προφήταις λαλήσαντα. Αὐτὰ δὲ παραθῶμαι, ἅπερ ἐκεῖνος ἔλεξεν· «Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ, ὅτι ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ· καὶ ἤγειρε κέρας σωτηρίας ἡμῖν ἐν τῷ οἴκῳ Δαυὶδ τοῦ παιδὸς αὐτοῦ, καθὼς ἐλάλησε διὰ στόματος τῶν ἁγίων, τῶν ἀπ' αἰῶνος προφητῶν αὐτοῦ»[2]. Καὶ ὁ ἱεροψάλτης δὲ οὐκ ἀποστάς ποτε δογματικῆς διδασκαλίας, συμφέρεται τούτοις λέγων ἐν μὲν πα' ψαλμῷ· «Ἀκούσομαι, τί λαλήσει ἐν ἐμοὶ Κύριος ὁ Θεός»[3]· ἐν δὲ τῇ Β' τῶν Βασιλειῶν ἱστορίᾳ ἐξεῖπεν, ποίου ἦν Κυρίου καὶ Θεοῦ ὁ εὐκταῖος οὗτος ἐνθουσιασμὸς φράσας· «Πνεῦμα Κυρίου ἐλάλησεν ἐμοὶ καὶ ὁ Λόγος αὐτοῦ ἐπὶ γλώσσης μου»[4].

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'

[652] Ὅτι ἐπὶ τοῦ χερουβικοῦ θρόνου καθέζεται τὸ Ἅγιον Πνεῦμα καὶ δύναμιν ἐξαποστέλλει. Καὶ ὅτι ὁ Παῦλος αὐτὸ οἶδεν εἶναι τὸν ὀφθέντα τῷ Ἡσαΐᾳ Κύριον Σαβαώθ. Καὶ κατὰ τοῦ Μακεδονιανοῦ φρονήματος. Καὶ ὅτι ἐν ἡμῖν οἰκεῖ. Καὶ ὅτι ῥᾳδιουργοῦσιν αἱρετικοὶ τὰς θείας Γραφάς.

Παρὰ τῷ μνημονευθέντι τοίνυν ἀκριβεστάτῳ μελῳδῷ, τῷ πᾶσι τοῖς ἀναγκαίοις ἐμπλεονάζοντι, ἐν ρθ' ψαλμῷ, ὅστις ὅλος ἐκ προσώπου τοῦ Πατρὸς πρὸς τὸν Υἱὸν ἐλέχθη, ἰσότιμος ἡ Ἁγία Τριὰς καὶ Κύριος τὸ Πνεῦμα, ἐξαποστέλλων δύναμιν καὶ συγκαθεζόμενος τῷ Πατρὶ καὶ τῷ Υἱῷ ἐμφανῶς μᾶλλον, ἤπερ αἰνιγματωδῶς ἀπαγγέλλεται. Ἔδοξε δέ μοι εἰς ἑτοίμην ἀπόδειξιν πάντα ἐφεξῆς παραγράψαι τὸν ἱερὸν τουτονὶ λόγον, μηδὲν αὐτοῦ παραλιπόντι. Ἔχει δὲ οὕτως· «Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. Ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι Κύριος ἐκ Σιὼν καὶ κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου. Μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου ἐν ταῖς λαμπρότησι τῶν ἁγίων. Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου ἐγέννησά σε. Ὤμοσεν Κύριος καὶ οὐ μεταμεληθήσεται. Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. Κύριος ἐκ δεξιῶν σου»[5]. Εἰ γὰρ ὁ Πατὴρ λέγει

---

1. Πρβλ. Ζαχ. 5,1-2. 2. Λουκ. 1,68,70. 3. Ψαλ. 84,9. 4. Β' Βασ. 23,2. 5. Ψαλ. 109,1-5.

α. Hendess R., Oracula graeca, Fragmentum 106.

τῷ Υἱῷ· «Κάθου ἐκ δεξιῶν μου»[1]· καί· «Ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι Κύριος»[2]· καί· «Κατακυριεύσεις τῶν ἐχθρῶν σου»[3]· καί· «Ὤμοσεν Κύριος»[4]· καί· «Κύριος ἐκ δεξιῶν σου»[5] τίς ὁ ἀποστέλλων αὐτῷ τὴν ῥάβδον καὶ ὀμνύων καὶ ἐκ δεξιῶν τοῦ Υἱοῦ καθεζόμενος Κύριος, εἰ μὴ λοιπὸν τὸ Ἅγιον Πνεῦμα, ὡς εὑρίσκεσθαι τὸν Υἱόν, ὄντα μὲν ἐκ δεξιῶν τοῦ Πατρός, ἔχοντα δὲ ἐκ δεξιῶν τὸ Πνεῦμα τοῦ Θεοῦ. Μεμνῆσθαι δὲ χρή, ὅτι ἐνταῦθα καὶ ὀμνύει τὸ Πνεῦμα, ὡς οὐκ ἔχον τὸν μείζονα, καθὰ ὁ Υἱός, εἰπών, «Κατ' ἐμαυτοῦ ὀμνύω»[6], ὡς ἐν τῷ πρώτῳ ἐμνημονεύθη βιβλίῳ. Ἀλλὰ καὶ ἐν ξα' ψαλμῷ ὁ αὐτὸς Δαυὶδ ἀπαγγέλλων τὴν Ἁγίαν Τριάδα φαίνεται, ἐν τῷ ψάλλειν· «Ἅπαξ ἐλάλησεν ὁ Θεός· δύο ταῦτα ἤκουσα»[7]. Ποῖα δὲ δύο; Ἐπάγει· «Ὅτι τὸ κράτος τοῦ Θεοῦ καὶ σοῦ, Κύριε, τὸ ἔλεος»[8]. Τίς γὰρ ὁ εἰπὼν Θεὸς «Ὅτι τὸ κράτος τοῦ Θεοῦ;»[9] καὶ πρὸς τίνα λέγει· «Καὶ σοῦ, Κύριε, τὸ ἔλεος»[10]; Καὶ ἐπὶ τοῦ Δανιὴλ δέ φησιν ἐν τῇ περὶ Σωσάννης κρίσει· «Ἐξήγειρεν ὁ Θεὸς τὸ Πνεῦμα τὸ Ἅγιον τὸν Δανιήλ»[11]. Κἀνταῦθα **[653]** Θεὸν δηλώσας εἶναι τὸ Ἅγιον Πνεῦμα. Ἐπιφέρει γάρ· «Καὶ ἔκρινε τοὺς πρεσβυτέρους, Πνεύματι Ἁγίῳ ἐμφορούμενος»[12]. Εὕροιμεν δ' ἂν καὶ Ἐλισσαῖον τὸν ἀξιολογώτατον ἐν προφήταις, ἀξιοῦντα εἰδέναι Θεὸν τὸ Ἅγιον Πνεῦμα. Ἔχει δ' ἡ πρὸς Ἠλίαν αὐτοῦ φωνή, ἡ ἐξαιτοῦσα σὺν τῇ μηλωτῇ καὶ τὸ Ἅγιον κληρονομῆσαι Πνεῦμα οὑτωσί· «Γενέσθω τὸ Πνεῦμα τὸ ἐπὶ σοί, δισσῶς ἐπ' ἐμοί. Ὁ δὲ εἶπεν· «Ἐσκλήρυνας τοῦ αἰτήσασθαι» (ἀντὶ τοῦ, Μεγάλα ἐζήτησας). «Πλὴν ἐὰν ἴδῃς με ἀναλαμβανόμενον, ἔσται σοι οὕτως· ἐὰν δὲ μὴ ἴδῃς, οὐ μὴ γένηται»[13]. Εἶδε τοίνυν αὐτὸν καὶ ἔκραξεν· «Πάτερ, πάτερ, ἅρμα Ἰσραὴλ καὶ ἱππεὺς ἐν αὐτῷ»[14]. Ὅτε οὖν «ἐπάταξεν» τὸν Ἰορδάνην τῇ μηλωτῇ τοῦ Ἠλία, «καὶ τὸ ὕδωρ οὐ διηρέθη[15], ὡς ἐπὶ Ἠλίᾳ, ζητῶν τὴν αἴτησιν ἑαυτοῦ καὶ τὴν δοθεῖσαν ὑπόσχεσιν, οὐκ ἔτι εἶπεν **[656]** «Ποῦ τὸ Πνεῦμα τὸ διπλοῦν;» ἀλλά· «Ποῦ ὁ Θεὸς Ἠλίου ἀπφὼ ὁ διπλοῦς;»[16] ἐκκαλύπτων Θεὸν ὑπάρχειν τὸ Ἅγιον Πνεῦμα καὶ διδάσκων ἅμα, ὡς ταὐτόν ἐστιν εἰπεῖν Θεὸν ἢ Πνεῦμα Ἅγιον καὶ τὸ ἔμπαλιν. Τὸ δὲ ἀπφὼ προσφώνησίς ἐστιν ἀδελφική. Τί δὲ καὶ Ἰεζεκιὴλ προφητεύει, ὅτε τῶν οὐρανῶν ἀνοιγέντων αὐτῷ εἶδεν ὅρασιν Θεοῦ[17] καὶ τὰ Χερουβίμ; «Καὶ ἐν τῷ ἑστάναι», φησίν, «τὰ ζῷα, εἱστήκεισαν οἱ τροχοί· καὶ ἐν τῷ ἐξαιρεῖν αὐτά, ἐξήροντο· ὅτι Πνεῦμα ζωῆς ἦν ἐν τοῖς τροχοῖς»[18] ἀντὶ τοῦ ἐπικαθεζόμενον ἐπὶ τῶν χερουβίμ. Καὶ μικρὸν ὑποκαταβὰς λέγει· «Τοῦτο τὸ ζῷον, ὃ εἶδον ὑποκάτω Θεοῦ Ἰσραὴλ καὶ ἔγνων, ὅτι τὰ χερουβίμ ἐστιν»[19]. Εἰρηκὼς ἀνωτέρω τὸ

---

1. Ψαλ. 10,1. Ματθ. 22,44. Πράξ. 2,34. 2. Ψαλ. 109,2. 3. Πρβλ. Ψαλ. 109,3. 4. Ψαλ. 109,4. 5. Ψαλ. 109,5. 6. Ἡσ. 45,23. Πρβλ. Γεν. 22,16. 7. Ψαλ. 61,12. 8. Ψαλ. 61,13. 9. Αὐτόθι. 10. Αὐτόθι. 11. Δαν. Σουσ. (Θδτ). 45. 12. Πρβλ. Δαν. Σουσ. (Θδτ). 50. 13. Πρβλ. Δ' Βασ. 2,10. 14. Δ' Βασ. 2,12. 15. Πρβλ. Δ' Βασ. 2,14. 16. Πρβλ. Δ' Βασ. 2,14. 17. Πρβλ. Ἰεζ. 1,1. 18. Πρβλ. Ἰεζ. 1,21. 19. Πρβλ. Ἰεζ. 10,20.

Πνεῦμα ἐπάνω εἶναι τῶν χερουβίμ, ὑποκαταβὰς εἶπεν, ὑποκάτω τοῦ Θεοῦ, τοῦτ' ἔστι τοῦ Πνεύματος, εἶναι τὰ χερουβὶμ καὶ ζῷα. Θέα τοίνυν καὶ αὖθις τὸ Ἅγιον τοῦ Θεοῦ Πνεῦμα καὶ Θεὸν καὶ Πνεῦμα ζωῆς, προσαγορευόμενον καὶ ἐπὶ τοῦ χερουβικοῦ καθεζόμενον αἰωνίου θρόνου. Χρηστέον δ' εἰς τὸ κεφάλαιον τοῦτο καὶ τοῖς κριταῖς οὐδὲ αὐτοῖς ἀμελήσασιν, ἀλλ' ὅτι μάλιστα παρὰ πάντα τοῦτο κεκρικόσι καλῶς, τὸ ὁμολογῆσαι Κύριον δυνατὸν καὶ ἐπίκουρον τὸ Πνεῦμα τοῦ Θεοῦ. Εἰπόντες γὰρ περὶ αὐτοῦ ὅτι συνεπορεύετο μετὰ Σαμψὼν καὶ κατεύθυνεν αὐτῷ, ὥστε μείζονα φύσεως ἀνθρωπίνης δύναμιν ἐνδείκνυσθαι αὐτόν, οὐκ εἶπαν μετὰ ταῦτα τὸ ἐνδυναμοῦν αὐτὸν Πνεῦμα ἀνακεχωρηκέναι ἀπ' αὐτοῦ καὶ διὰ τοῦτο ἠσθενηκέναι, ἀλλὰ τὸν Κύριον. Ἔχουσι δὲ οὕτως· «Ἤρξατο Πνεῦμα Κυρίου συμπορεύεσθαι μετὰ Σαμψών»[1]· καὶ πάλιν· «Ἦλατο ἐπ' αὐτὸν Πνεῦμα Κυρίου»[2]· καὶ πάλιν· «Ἐξέκλινεν εἰς ἀμπελῶνα Θαμναθὰ καὶ ἰδοὺ σκύμνος λέοντος εἰς ἀπάντησιν αὐτοῦ· καὶ κατεύθυνεν ἐπ' αὐτὸν Πνεῦμα Κυρίου καὶ διέσπασεν αὐτὸν ὡς ἔριφον αἰγῶν»[3]· καὶ πάλιν· «Ἠλάλαξαν», φησίν, «οἱ ἀλλόφυλοι καὶ ἔδραμον εἰς ἀπάντησιν αὐτοῦ» (τοῦτ' ἔστιν Σαμψών)· «καὶ κατεύθυνεν ἐπ' αὐτὸν Πνεῦμα Κυρίου, καὶ ἐγένοντο τὰ καλώδια **[657]** τὰ ἐν τοῖς βραχίοσιν αὐτοῦ, ὡσεὶ στυππίον, ἡνίκα ἂν ὀσφρανθῇ πυρός»[4]. Ὅτε δὲ λοιπὸν σὺν τῇ κόμῃ καὶ τὴν δύναμιν αὐτοῦ ἀπέθετο καὶ ἀπώνατο εἰς ὄλεθρον ἑαυτοῦ τῆς ἀβουλίας, ἀλλόφυλον, οὐ δέον, γυναῖκα ὑπερφιλῶν τὴν Δαλιδά, «Ἐξηγέρθη», φησίν, «ἐκ τοῦ ὕπνου αὐτοῦ, καὶ εἶπεν· Ἐξελεύσομαι καὶ ἀποτινάξομαι καὶ ποιήσω καθὼς ἀεί. Καὶ αὐτὸς οὐκ ἔγνω, ὅτι Κύριος ἀπέστη ἀπ' αὐτοῦ»[5]. Τῆς γὰρ δυναστείας τοῦ Κυρίου τούτου πεῖραν ἔχων καὶ Μωϋσῆς εἶπε· «Πῶς διώξεται εἷς χιλίους καὶ δύο μετακινήσουσιν μυριάδας, εἰ μὴ Κύριος παρέδωκεν αὐτοὺς καὶ ὁ Θεὸς ἀπέδοτο αὐτούς»[6]; Καὶ τὸν ὀφθέντα δὲ τῷ Ἡσαΐα βασιλέα Κύριον Σαβαὼθ καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, ἐν οἴκῳ δόξης πεπληρωμένῳ, καὶ ὑπὸ τῶν σεραφὶμ, τῇ τρισαγίῳ φωνῇ καταγεραιρόμενον[7], ὁ μὲν προφήτης τὸν Πατέρα οἶδεν, ὁ δὲ Ἰωάννης[8] τὸν Υἱόν· ὁ δὲ Παῦλος ἐν ταῖς Πράξεσι διὰ τὴν ταυτότητα τῆς θεότητος, τὸ πάνσοφον Πνεῦμα εἶναι ἐδήλωσε τοιῶσδε· «Καλῶς τὸ Πνεῦμα τὸ Ἅγιον ἐλάλησε πρὸς τοὺς πατέρας ὑμῶν διὰ Ἡσαΐου τοῦ προφήτου, λέγον· Πορεύθητι πρὸς τὸν λαὸν τοῦτον καὶ εἰπὲ αὐτῷ· Ἀκοῇ ἀκούσετε καὶ οὐ μὴ συνῆτε»[9] καὶ τὰ ἑξῆς. Αἱρετικοὶ δέ, κατὰ τὴν ἐξ ἀρχῆς προαίρεσιν διοδεύοντες καὶ τὸν οἰκεῖον σκοπὸν καὶ λόγον ἄγοντες κατὰ τοῦ χάους, ἀποπηδῶσι καὶ πρὸς τὸ λόγιον τοῦτο καὶ συνήθως ἀντιφάσκουσιν οὐκ εὐλόγως καὶ πειρῶνται δυσσεβείᾳ δυσσέβειαν συνδεῖν καὶ συνάπτειν, φημὶ τοῖς προτέροις αὐτῶν ῥήμασι τὰ δεύτερα καὶ τρίτα,

1. Κριτ. 13,25. 2. Πρβλ. Κριτ. 14,6,19. 15,14. 3. Κριτ. 14,5-6. 4. Κριτ. 15,14. 5. Κριτ. 16,20. 6. Δευτ. 32,30. 7. Ἡσ. 6,1,3,5. 8. Ἰω. 12,41. 9. Πράξ. 28,25-26. Πρβλ. Ἡσ. 6,9.

λόγους προϊέμενοι, ὅτι οὐδὲν θαυμαστὸν καὶ θεότητος ἴδιον περὶ τοῦ Ἁγίου Πνεύματος εὑρίσκεται ἐκ τοῦ Παῦλον φάναι· «Καλῶς τὸ Πνεῦμα τὸ Ἅγιον ἐλάλησε πρὸς τοὺς πατέρας ὑμῶν διὰ Ἡσαΐου τοῦ προφήτου λέγον· «Πορεύθητι πρὸς τὸν λαὸν τοῦτον καὶ εἰπὲ αὐτῷ»[1] τάδε καὶ τάδε· διὰ τὸ πολλάκις, φησίν, τὰ αὐτά, ποτὲ μὲν ἐκ προσώπου τοῦ Θεοῦ, ποτὲ δὲ ἐκ προσώπου τοῦ προφήτου ἢ ἀγγέλου εἰρημένα φέρεσθαι· ὡς ἡνίκα φησίν, περὶ τοῦ χωρίου τούτου λέγει Ἰωάννης· «Ταῦτα εἶπεν Ἡσαΐας ὅτε εἶδε τὴν δόξαν αὐτοῦ»[2]. Καὶ ὡς ὁ Σωτὴρ ἐν Ματθαίῳ ἔφη· «Καλῶς προεφήτευσεν Ἡσαΐας λέγων· Ὁ λαὸς οὗτος τοῖς χείλεσί με τιμᾷ, τῇ δὲ καρδίᾳ πόρρω ἀπέχει ἐπ' ἐμοῦ»[3]· καὶ ὡς ὁ Παῦλος ἐν ἄλλῳ κεφαλαίῳ ἔφη· «Καθὼς Δαυὶδ λέγει τὸν μακαρισμόν· Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι»[4]. Οὐκ εἶπε δέ, φησιν· Καθὼς ὁ Θεὸς διὰ Δαυὶδ λέγει. Καὶ ἑτέρωθι· «Καὶ ἦλθεν ὁ Θεὸς πρὸς Βαλαὰμ νυκτὸς καὶ εἶπεν αὐτῷ· Εἰ καλέσαι σε πάρεισιν οἱ ἄνθρωποι οὗτοι, ἀναστὰς ἀκολούθη[660]σον αὐτοῖς· ἀλλὰ τὸ ῥῆμα, ὃ ἂν λαλήσω πρός σε, τοῦτο ποιήσεις»[5]· καὶ μεθ' ἕτερα· «Εἶπεν», φησίν, «ὁ ἄγγελος τοῦ Θεοῦ πρὸς Βαλαάμ· Συμπορεύθητι μετὰ τῶν ἀνθρώπων τούτων· πλὴν τὸ ῥῆμα, ὃ ἐὰν εἴπω πρός σέ, τοῦτο φυλάξῃ ποιῆσαι»[6]· καὶ οὐκ εἶπεν αὐτῷ, φησίν· «Ὃ εἰπέ σοι ὁ Θεός»· ἀλλ', «Ὃ ἐὰν εἴπω σοι»[7]. Ἐν τοιούτοις κακοῖς τὰ κατ' ἐκείνους· καὶ ὡς μὴ κρατοῦντες σεμνυνέσθωσαν. Ἡμεῖς δὲ δείσαντες, μή τισιν δόξωμεν χρῆσθαι, ὡς ἐκεῖνοι, σοφιστοῦ τινος ὡς ἀληθῶς εἰρωνείᾳ, εὐθὺς ὡς ἐκ πρώτης σχεδὸν συλλαβῆς, οὕτω μέχρι καὶ αὐτοῦ τοῦ τέλους, πλείστην τινὰ τῆς ἀληθείας πρόνοιαν ποιήσωμεν, διελέγχοντες αὐτούς. Ἴστε δὴ οὖν, οἱ συγγενόμενοι τῷ τε τῆς προφητείας λόγῳ καὶ τοῖς μνημονευθεῖσι θείοις γραφίοις, ὡς ὁ Ἡσαΐας κελευσθεὶς παρὰ τοῦ καθημένου ἐπὶ τοῦ αἰωνίου θρόνου, προεφήτευσεν, ἅπερ αὐτῷ ἐκεῖνος κατὰ λέξιν εἰπεῖν ἐνετείλατο· ὁ γὰρ προφητεύων Θεοῦ, οὐχὶ ἑαυτοῦ προφήτης ἐστίν. Ὥστε διὰ Ἡσαΐου, ἤτοι παρὰ Ἡσαΐου (ταὐτὸν γάρ ἐστιν εἰπεῖν), ἡ τοῦ ὀφθέντος αὐτῷ κραταιὰ φωνή, ὃν ὁ Παῦλος τὸ Ἅγιον Πνεῦμα εἶναι κατήγγειλεν, ἀπηγγέλθη, ὅτε εἶδε τὴν δόξαν αὐτοῦ· οὐ μέντοι κατ' ἐξουσίαν ἰδίαν ταύτην ἐφθέγξατο, κἄν που ἐλέχθη, ὅτι «Ἡσαΐας εἶπεν», καὶ οὐχὶ ὁ Θεὸς Πατὴρ ἢ ὁ Υἱὸς ἢ τὸ Πνεῦμα αὐτοῦ διὰ Ἡσαΐου. Οὐδὲ μὴν ἐπλανήθησαν οἱ ἀπόστολοι, οἱ ἐκ παίδων εὐθὺς ταῖς Γραφαῖς ἐντεθραμμένοι καὶ πιστευθέντες τῆς νέας χάριτος τὸ κήρυγμα, οἱ ἔχοντες, διὰ τὴν ἀγαθότητα τῆς ἐν μονάδι Τριάδος, ἃ μήπω τις τῶν ἀνθρώπων καὶ ἕτερος. Ἀλλὰ καὶ Ἰωάννης, δῆλός ἐστι, καθά φασι, καὶ τυφλῷ, ταῦτα τὸν Υἱὸν τοῦ Θεοῦ νοήσας εἰρηκέναι· καὶ Παῦλος, τὸ

---

1. Πράξ. 28,25 ἑξ. Πρβλ. Ἡσ. 6,9. 2. Ἰω. 12,41. 3. Πρβλ. Ματθ. 15,7,8. Ἡσ. 29,13. 4. Ρωμ. 4,6-7. Ψαλ. 31,1. 5. Ἀρ. 22,20. 6. Ἀρ. 22,35. 7. Αὐτόθι.

Ἅγιον Πνεῦμα. Κελεύουσι γὰρ αἱ μακάριαι ὑποστάσεις αὗται, εἴκει δὲ ἡ ἀγγέλων καὶ πάντων φύσις. Ἡγεμονεύουσι γὰρ βασιλικῶς καὶ κατάρχουσιν αὐτοφυῶς, διὰ τὴν ἀπαράλλακτον πρὸς τὸν ἐξ οὗ προῆλθον Πατέρα θεότητα καὶ ἀνάγεται πάντα εἰς ἐκεῖνον. Ἔχεται οὖν ἓν τοῦτο· ἕτερον δέ, ὅτι τίς ἂν ὀφθείη ἕτερος, ᾧτινι συμφωνότερον ἢ προσφορώτερον ταῦτα, τὰ ἐκ προσώπου τοῦ Θεοῦ Πατρὸς προφητευθέντα, δόξειεν ἐπιγράφεσθαι ὡς εἰρηκότι; Ποίας δὲ κατακρίσεως οὐκ ἔστιν ἄξιος ὁ τὴν περὶ τοῦ κρείττονος ἀλήθειαν τολμῶν παραχαράττειν καὶ παρευδοκιμεῖν ἐθέλων Ἰωάννην καὶ Παῦλον, τοὺς μήτ' ἀγνοήσαντας, μήτ' ἀποκρύψαντας, ἐναργῶς δὲ καὶ τρανῶς τὰ περὶ τούτου εἰς πάντας ἐξαγορεύσαντας; Καὶ πᾶσα δὲ Γραφὴ ἔχει τι νόημα περὶ τῆς τοῦ μεγαλωνύμου Πνεύματος **[661]** μονότητος, ἤτουν θεότητος, ἐξηρημένον μὲν καὶ ἀσύντακτον παντελῶς τῶν ὅλων, συντεταγμένον δὲ καὶ σύμφωνον τῆς πρωτίστης καὶ γενεσιουργοῦ καὶ ἀσυγκρίτου φύσεως. Τί γὰρ οὐκ ἀεὶ τῶν ἀγαθῶν δι' αὐτοῦ καὶ παρ' αὐτοῦ, ἔτι μὴν καὶ παρὰ τοῦ μονογενοῦς Υἱοῦ εὐδοκίᾳ τοῦ Θεοῦ Πατρός; Ὅταν οὖν λέγῃ ὁ μὲν Ὑμνολόγος· «Τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ»[1]· ὁ δὲ Παῦλος· «Εἰ Πνεῦμα Ἅγιον ἐλάβετε πιστεύσαντες»[2], ἐπιφέρῃ τε· «Εἰς τί οὖν ἐβαπτίσθητε;»[3] εἴ γε μὴ εἰς τὸ Ἅγιον Πνεῦμα ἐβαπτίσθητε· ὁ δὲ μονογενὴς Θεός· «Συμφέρει ὑμῖν, ἵνα ἐγὼ ἀπέλθω. Ἐὰν γὰρ μὴ ἐγὼ ἀπέλθω, ἐκεῖνος οὐκ ἔρχεται, τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται»[4]· καί· «Ὑμεῖς δὲ λήψεσθε δύναμιν τοῦ Ἁγίου Πνεύματος ἐπελθόντος ἐφ' ὑμᾶς»[5]· καὶ ὁ Θεὸς Πατὴρ ἐν τῷ Ἀγγαίῳ· «Μεθ' ὑμῶν ἐγώ εἰμι, λέγει Κύριος παντοκράτωρ, καὶ τὸ Πνεῦμά μου ἐφέστηκεν ἐν μέσῳ ὑμῶν»[6]. Τί φήσομεν αὐτοὺς φάσκειν ἢ ὅτι θεϊκὴν φύσιν καὶ μέθεξιν αὐτοῦ καὶ ἁγιασμὸν καὶ δημιουργικὴν δύναμιν καθαίρουσαν ἡμῶν καὶ οἷον ἀπολαμπρύνουσαν τὴν ζωὴν καὶ ἐν πᾶσιν ἀρωγοῦσαν παραδιδόντες ταῦτ' ἐξεφώνησαν; Ὅταν δὲ καὶ πάλιν λέγῃ ὁ Θεὸς Πατήρ· «Οὐαί, τέκνα! Βουλὴν ἐποιήσατε, οὐ δι' ἐμοῦ· καὶ συνθήκας, οὐ διὰ τοῦ Πνεύματός μου»[7]. Ἆρ' οὐκ ἀραρότως Ἀρειανῶν καὶ Εὐνομιανῶν καὶ Μακεδονιανῶν τὴν ἐπὶ τῇ αἱρέσει ἀθλιότητα καὶ ταλαιπωρίαν ἐπιμέμφεται; Πρὸς τούτοις, φαίημεν ἄν, ὡς διὰ τοῦτο ἐγράφη· «Ταῦτα εἶπεν Ἡσαΐας»· καί· «Καθὰ Δαυὶδ λέγει»· ἵν' ὁ θεῖος θεσμὸς φαίνηται, διὰ ποίου ἁγίου κεκήρυκται. Περὶ δὲ τοῦ κατὰ τὸν Βαλαὰμ ἀγγέλου τοσοῦτον ἐροῦμεν, ὡς οὐκ ἔχει τὰ κατ' αὐτὸν τῶν περὶ τοῦ θείου Πνεύματος ἢ τοῦ Υἱοῦ παρὰ Παύλου καὶ Ἰωάννου κυρίως πεφασμένων εἰκότα λόγον. Ὁ γὰρ ἄγγελος ἀποσταλείς, ἅπερ ὁ Θεὸς ὑπέσχετο ἐπὶ μέλλοντι χρόνῳ δηλώσειν τῷ Βαλαάμ, διήγγειλεν οὐκ αὐτὸς δὲ εἶναι ἐνοήθη ὁ Θεός, καθὰ ὁ Υἱὸς καὶ τὸ Ἅγιον Πνεῦμα ἐνοήθησαν

---

1. Ψαλ. 50,13. 2. Πράξ. 19,2. 3. Πράξ. 19,3. 4. Πρβλ. Ἰω. 16,7. 5. Πράξ. 1,8. 6. Ἀγγ. 2,4-5. 7. Πρβλ. Ἡσ. 30,1.

εἶναι οἱ λελαληκότες τὰ ἐνταλθέντα τῷ Ἡσαΐᾳ παρὰ τοῦ καθεζομένου ἐπὶ τοῦ θεϊκοῦ θρόνου καὶ ἐν φωτὶ ἀφάτῳ καὶ δόξῃ ἀνεικάστῳ ὑπάρχοντος. Κἀνταῦθα τοίνυν, ὡς τὰ ἡμῶν μὲν φαῦλα, τὰ δὲ αὐτῶν σεμνὰ καὶ πλείονος σπουδῆς καὶ πίστεως ἄξια πειρῶνται δεικνύναι. Συμμιγίαν τινὰ καὶ συμφωνίαν τοῦ θείου πρὸς τὰ κτίσματα ἐργάζονται καὶ συγκαταβάλλουσιν, ὡς οὐκ ἴσασι, ταῖς θεϊκαῖς ὑπολήψεσι τοῦ ἀεὶ ὡσαύτως **[664]** ἔχοντος πρὸς τὸν Θεὸν Πατέρα Ἁγίου Πνεύματος, τάς τε αὐτοῦ τοῦ Θεοῦ Πατρὸς καὶ τοῦ μονογενοῦς αὐτοῦ Υἱοῦ καὶ ὑποδηλοῦσι τὸν Ἡσαΐαν, τάχα ἐπὶ τοῦ οὐρανίου καθεσθέντα θρόνου καὶ προστάξαντα ἑαυτῷ· «Πορεύθητι πρὸς τὸν λαὸν τοῦτον καὶ εἰπὲ αὐτῷ»[1], ἅπερ προσετάχθη εἰπεῖν. Ἡμεῖς μὲν οὖν ἄντικρυς θαυμάζομεν, εἰ μὴ ἤδη καὶ αὐτοὶ τῆς ἀτοπίας καὶ ἀσθενείας τῶν οἰκείων δοξασμάτων αἰσθάνονται καὶ ὡς γελοῖοί εἰσι, τοιαῦτα περὶ τοῦ Θεοῦ διανοούμενοι καὶ τὰ σαφῆ ὡς δυσδιαίτητα διαστρέφοντες. Καὶ οἰόμεθα μὴ σφάλλεσθαι οὕτως ἔχοντες, ὅτι τοῖς κατ' αὐτοὺς ὁ μακρόθυμος Θεὸς παριστῶν, ὡς οὐχ ὑπολείπεται αὐτοῖς οὔτ' ἀντιλογίας ὑπόθεσις οὔτ' ἀπολογίας ἀφορμὴ διὰ τοῦ Ἰεζεκιὴλ ἔφη· «Εἰ Πατὴρ ἐγώ εἰμι, ποῦ ἐστιν ὁ φόβος μου; Καὶ εἰ Κύριος ἐγώ εἰμι, ποῦ ἐστιν ἡ δόξα μου»[2]; Ἀλλὰ ταῦτα μὲν οὕτως· ἐφ' ὃ δὲ ἡμῖν ὁ λόγος ὥρμηται, μετιτέον. Ἴδωμεν δέ, τί λέγει καὶ αὖθις ὁ Παῦλος Φιλιππησίοις γράφων· «Βλέπετε τὴν κατατομήν· ἡμεῖς γάρ ἐσμεν ἡ περιτομή, οἱ Πνεύματι Θεοῦ λατρεύοντες καὶ καυχώμενοι ἐν Χριστῷ Ἰησοῦ»[3]. Θεὸς οὖν τὸ Ἅγιον Πνεῦμα πᾶσαν ἀναπεμπομένην θυσίαν σὺν τῷ Πατρὶ καὶ τῷ Υἱῷ δεχόμενον· εὔδηλον γάρ, ὡς ἡ λατρεία τῷ Θεῷ μόνῳ ὀφείλεται. Ἀλλ' οἱ αἱρετικοὶ κόρακες βλέπετε πῶς τοῖς θείοις λυμήνασθαι ἐπεχείρησαν ῥητοῖς, δι' ἑνὸς στοιχείου ὑπαλλαγῆς· τινὲς γὰρ αὐτῶν ἐποίησαν, «Οἱ Πνεύματι Θεῷ λατρεύοντες»[4], ἵνα μὴ δείκνυται ἡ λατρεία τῷ Πνεύματι τοῦ Θεοῦ, ἀλλ' ἐν πνεύματι τῷ Θεῷ καὶ Πατρὶ μόνῳ προσαγομένη. Ὥσπερ καὶ ἐν τῇ πρὸς Κορινθίους τοῦ Παύλου γεγραφότος· «Εἰ δὲ τὸ Πνεῦμα τοῦ ἐγείραντος Ἰησοῦν Χριστὸν ἐκ νεκρῶν οἰκεῖ ἐν ὑμῖν, ὁ ἐγείρας Χριστὸν Ἰησοῦν ἐκ νεκρῶν ζωοποιήσει καὶ τὰ θνητὰ ὑμῶν σώματα διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ Πνεύματος ἐν ὑμῖν»[5]· ἐκεῖνοι ἐναλλάξαντες ἐποίησαν· Διὰ τὸ ἐνοικοῦν αὐτοῦ Πνεῦμα ἐν ὑμῖν· ἵνα μὴ ζωοποιὸν καὶ δημιουργὸν δείκνυται. Καὶ Ῥωμαίοις γράψαντος αὐτοῦ «Ἥ τε ἀίδιος αὐτοῦ δύναμις καὶ θειότης»[6], ἐκεῖνοι ἐποίησαν θεότης· ἔστι δὲ τὸ αὐτό· ἀλλ' ὅμως διὰ τὸ στενοῦσθαι τὰς περὶ τοῦ μεγαλωνύμου Πνεύματος **[665]** ἀποδείξεις, τὰς διὰ τοῦ εἰρῆσθαι αὐτὸ Πνεῦμα θεῖον δηλούσας αὐτὸ Θεόν. Καὶ τοῦ προφήτου Ἀμὼς ἐκ προσώπου τοῦ Ἁγίου Πνεύματος εἰρηκότος· «Ἰδοὺ ἐγὼ στερεῶν βροντήν»[7]· περιεῖλον τὸ «ἐγώ», ἵνα μὴ δείκνυται

---

1. Ἡσ. 6,9. 2. Μαλ. 1,6. 3. Φιλιπ. 3,2-3 4. Ἔνθ' ἀν. 5. Ρωμ. 8,11. 6. Ρωμ. 1,20. 7. Ἀμ. 4,13.

τοῦ Ἁγίου Πνεύματος ἡ φωνή, ἀλλὰ γὰρ τοῦ Πατρὸς ἢ τοῦ προφήτου. Οὐκ ἔστι δὲ τέως τοῦ Πατρὸς καὶ Θεοῦ διὰ τὸ ἔχειν εὐθέως· «Ἀπαγγέλλων εἰς ἀνθρώπους τὸν Χριστὸν αὐτοῦ»[1]· καὶ μὴ εἰπεῖν· Τὸν Χριστόν μου, ὡς ἐν ψαλμῷ λέγει· «Ἡτοίμασα λύχνον τῷ Χριστῷ μου»[2]. Καὶ ἐν πολλοῖς δὲ φαίνονται παρατρώσαντες ἐξεπίτηδες κἀντεῦθεν, τὴν ἀκριβῆ διάγνωσιν τῶν νοθευθέντων τόπων, τό γε ἐπ' αὐτοῖς, ἀφανίσαντες. Καὶ τοῦτο οὔπω ἦν δεινόν, καίπερ ὂν σφόδρα δεινόν, εἰ μὴ οὕτω παρ' ἐκείνων παραποιηθεῖσαι βίβλοι ἦλθον καὶ εἰς ὀρθῶς πιστεύοντας, ἀμαντεύτως ἔχοντας τῆς τοιαύτης ῥαδιουργίας.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'

[668] Περὶ τοῦ τὸ Ἅγιον Πνεῦμα ἀναχαινίζειν ἡμᾶς τῷ βαπτίσματι· καὶ ὡς Δεσπότην ἐλευθεροῦν· καὶ ποιεῖν μετόχους θείας δόξης καὶ υἱοὺς καὶ κληρονόμους τοῦ Πατρός· καὶ τὰ λοιπά. Καὶ περὶ τοῦ ἀνόνητον εἶναι τὸ βάπτισμα τοῖς μὴ πιστεύουσιν ὅτι Θεὸς τὸ Πνεῦμα· καὶ ὅτι ἄλλη ἡλίου δόξα καὶ ἄλλη σελήνης καὶ ἄλλη ἀστέρων.

Ἀλλὰ ταῦτα μὲν ἐπὶ τοσοῦτον ἀπόχρη, ἵνα μὴ πολὺ ὁ λόγος ἐν ἐκτροπῇ γένηται. Ἐπανίωμεν δὲ πάλιν ἐπὶ τὴν μεγαλόδωρον τοῦ Ἁγίου Πνεύματος θεότητα. Ἀνακαινίζειν τοίνυν ἡμᾶς τὸ Ἅγιον Πνεῦμα ἐν τῷ βαπτίσματι, ὡς Θεός, σὺν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ ἀπὸ τοῦ ἀκαλλοῦς εἰς τὸ πρεσβύτερον ἀνάγει κάλλος καὶ τῆς ἑαυτοῦ πίμπλησι χάριτος, ὡς μηδὲν ἔτι τῶν ἀνεράστων δύνασθαι χωρεῖν· καὶ ἐλευθεροῖ ἀπὸ τῆς ἁμαρτίας καὶ τοῦ θανάτου· καὶ ἀπὸ χοϊκῶν, ὅ ἐστιν ἀπὸ γῆς καὶ σποδοῦ»[3]. Ποιεῖ πνευματικοὺς καὶ μετόχους θείας δόξης καὶ υἱοὺς καὶ κληρονόμους τοῦ Θεοῦ καὶ Πατρὸς συμμόρφους τε τῆς εἰκόνος τοῦ Υἱοῦ καὶ συγκληρονόμους αὐτοῦ καὶ ἀδελφοὺς συνδοξασθησομένους καὶ συμβασιλεύσοντας αὐτῷ· καὶ ἀντὶ γῆς πάλιν δωρεῖται τὸν οὐρανὸν καὶ τὸν παράδεισον ἀφθόνως χαρίζεται· καὶ ἀγγέλων ἤδη ποιεῖ τιμιωτέρους· **[669]** καὶ τοῖς θείοις τῆς κολυμβήθρας ῥείθροις τὴν τοσαύτην τῆς γεέννης ἄσβεστον κατασβέννυσι φλόγα. Διτταὶ γὰρ γίνονται κυήσεις ἀνθρώποις, ἡ μὲν ἐκ σώματος ἡμετέρου, ἡ δὲ ἐκ τοῦ θείου Πνεύματος. Περὶ δὲ τούτων οἰκείως ἔγραψαν δογματικοὶ ἄνδρες· παραγράψω δι' ἑκάστου τό τε ὄνομα καὶ αὐτὸ τὸ διήγημα. Ἰωάννης· «Ὅσοι δὲ ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ· οἳ

---

1. Πρβλ. Α' Κορ. 14,25. 2. Ψαλ. 131,17. 3. Πρβλ. Γεν. 18,27.

οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκός, οὐδὲ ἐκ θελήματος ἀνδρός, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν»[1]. Ὅσοι, φησίν, ἐπίστευσαν εἰς τὸν Χριστόν, ἐδέξαντο ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, τοῦτ' ἔστιν τοῦ Ἁγίου Πνεύματος καὶ συγγένειαν κτήσασθαι πρὸς τὸν Θεόν, ἧς οὐκ ἠξιώθησαν ἄγγελοι. Δηλῶν γάρ, ὅτι ὁ γεννῶν Θεὸς τὸ Ἅγιον Πνεῦμά ἐστιν, ἐπήγαγεν ἀπὸ τοῦ Χριστοῦ· «Ἀμήν, ἀμὴν λέγω σοι· ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ Πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. Τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ ἐστιν· καὶ τὸ γεγεννημένον ἐκ τοῦ Πνεύματος Πνεῦμά ἐστιν. Μὴ θαυμάσῃς ὅτι εἶπόν σοι· Δεῖ ὑμᾶς γεννηθῆναι ἄνωθεν. Τὸ Πνεῦμα, ὅπου θέλει, πνεῖ· καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις, ἀλλ' οὐκ οἶδας πόθεν ἔρχεται καὶ ποῦ ὑπάγει. Οὕτως ἐστὶ πᾶς ὁ γεγεννημένος ἐκ τοῦ Πνεύματος»[2]. Τῷ εἰπεῖν· «Ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ Πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ»[3]· καί· «Δεῖ ὑμᾶς γεννηθῆναι ἄνωθεν»[4]· ἐσήμανεν, ὡς, κἂν εἰς τὸ ὄνο**[672]**μα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ πιστεύσωσι καὶ βαπτισθῶσιν καὶ μὴ ἴσως καὶ ὁμοίως εἰς τὴν αὐτὴν θεότητα τοῦ Ἁγίου Πνεύματος, ἅτε μὴ ἔχοντες τὸ τέλειον καὶ μάτην τὰς τρεῖς καταδύσεις δεξάμενοι, ἐν τῷ ἐναλλάττειν μετὰ τὸ βάπτισμα τῇ δοξολογίᾳ τὴν ἰσοτιμίαν τῆς Τριάδος καὶ παραβαίνειν τὰς ἰδίας ὁμολογίας, βασιλείας οὐρανῶν ἀξιωθῆναι οὐ δύνανται»[5]· ἀλλ' ὡς ὁμόλογοι παραβάται ἀκούουσιν, παρὰ μὲν τῶν ἁγίων, τὰ προφητευθέντα ἐν π' ψαλμῷ· «Οἱ ἐχθροὶ Κυρίου ἐψεύσαντο αὐτῷ»[6], παρὰ δὲ τοῦ Υἱοῦ, ὡς ἔχει ἐν μὲν ιζ' ψαλμῷ «Υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι»[7], ἐν δὲ ρ'· «Ποιοῦντας παραβάσεις ἐμίσησα· οὐκ ἐκολλήθη μοι καρδία σκαμβή»[8], παρὰ δὲ τοῦ Ἁγίου Πνεύματος, ὡς Ῥωμαίοις ἐγράφη «Υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν»[9], ἀκούει δὲ λοιπὸν καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ ἐν ξε' ψαλμῷ· «Ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σε οἱ ἐχθροί σου»[10]. Εἶπε δέ· «Δεῖ γεννηθῆναι ἐξ ὕδατος»[11]· ἐπειδὴ τὸ ἀποπλῦναι ἐν τῷ βαπτίσματι τὸν ῥύπον τοῦ σώματος γνώρισμά ἐστι τῶν ἀνακτιζομένων ὑπὸ τοῦ Ἁγίου Πνεύματος. Ὁρατῶς μὲν γὰρ τὸ ὁρατὸν ἡμῶν σῶμα, ἱερέων διακονουμένων ἡ κολυμβήθρα τίκτει· νοητῶς δὲ σῶμα ὁμοῦ καὶ ψυχὴν ἀγγέλων ὑπηρετουμένων, τὸ πάσαις νοήσεσιν ἀόρατον Πνεῦμα τοῦ Θεοῦ βαπτίζει εἰς ἑαυτὸ καὶ ἀναγεννᾷ. Καὶ γὰρ καὶ Βαπτιστὴς ἱστορικῶς καὶ ἑπομένως τῷ «Ἐξ ὕδατος καὶ Πνεύματος»[12] εἶπε περὶ τοῦ Χριστοῦ· «Ἐκεῖνος ὑμᾶς βαπτίσει ἐν Πνεύματι Ἁγίῳ καὶ πυρί»[13]. Ὀστράκινον γὰρ ὂν τὸ **[673]** ἀνθρώπειον σκεῦος, δεῖται πρότερον τοῦ ἀπὸ ὕδατος καθαρσίου, εἶτα καὶ τοῦ στερέμνιον αὐτὸ ἀποτελοῦντος νοητοῦ πυρὸς (ὁ γὰρ Θεὸς πῦρ κατανα λίσκον)[14] καὶ οὕτω τοῦ ἀπαρτίζοντος καὶ ἀνακαι-

---

1. Ἰω. 1,12-13. 2. Ἰω. 3,5-8. 3. Ἰω. 3,5. 4. Ἰω. 3,7. 5. Πρβλ. Ἰω. 3,5. 6. Ψαλ. 80,16. 7. Ψαλ. 17,45. 8. Ψαλ. 100,3-4. 9. Ἡσ. 1,2. 10. Ψαλ. 65,3. 11. Πρβλ. Ἰω. 3,7. 12. Ἰω. 3,8. 13. Ματθ. 3,11. 14. Δευτ. 4,24. 9,3.

νίζοντος 'Αγίου Πνεύματος· ὁπότε οἶδε τό τε πῦρ τὸ πνευματικὸν καὶ ἀρδεύειν, τό τε ὕδωρ καὶ ἀναχωνεύειν. 'Απόδειξις δὲ τούτου, ὁ Παῦλος γράφων Κορινθίοις τὸ δεύτερον· «"Εχοντες δὲ τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσιν»[1]. Τῷ δέ γε εἰπεῖν· «Τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ ἐστιν· καὶ τὸ γεγεννημένον ἐκ τοῦ Πνεύματος Πνεῦμά ἐστιν»[2]· ἐδίδαξεν ἐν ἐπιτόμῳ, ὡς ὁ ἄνθρωπος, ὁ βαπτίσματος μὴ τυχών, σαρκικός ἐστι, τοῦτ' ἔστιν ἀμέτοχος φωτὸς ἐπουρανίου (σαφὲς γάρ, ὡς ἡ σὰρξ ἐν ὅσῳ ζῇ μετὰ τῆς ἰδίας ψυχῆς νοεῖται)· ὁ δὲ βαπτισθεὶς πνευματικός ἐστιν, ἀντὶ τοῦ, μέτοχος ζωῆς ἀθανάτου. Τῷ δὲ εἰπεῖν «Τὸ Πνεῦμα, ὅπου θέλει πνεῖ»[3] τὸ αὐτεξούσιον καὶ παντοδύναμον αὐτοῦ ἐκφαίνει. Τῷ δὲ εἰπεῖν «Καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις, ἀλλ' οὐκ οἶδας πόθεν ἔρχεται καὶ ποῦ ὑπάγει»[4] δηλοῖ ὡς οὐ Νικοδήμῳ τὸ τηνικαῦτα διελέγετο μόνῳ, ἀλλὰ καὶ 'Αρείῳ, Εὐνομίῳ τε καὶ Μακεδονίῳ προενεκάλει, τοῖς τὴν φωνὴν τοῦ 'Αγίου Πνεύματος διὰ τῶν Γραφῶν ἀκούουσιν καὶ οὐκ εἰδόσιν, ὡς ἔρχεται, ἀνάρχως ἐκπορευθὲν παρὰ τοῦ Πατρός, τὸ πανταχοῦ ἀεὶ παρὸν καὶ ὑπάγει πρὸς αὐτόν, ὡς Πνεῦμα αὐτοῦ ἀχώριστον ὑπάρχον τῇ θεότητι· ἀρρήτως γὰρ προῆλθεν ἐξ αὐτοῦ φύσει καὶ ἐπέστραπται πρὸς αὐτόν· καὶ πρόοδον μὲν τὴν ἐκ τοῦ Πατρὸς ἔχει, ὡς ἂν ἐξ αὐτοῦ ἐκπορευόμενον· μόνην δὲ τὴν εἰς τὸν Πατέρα, ὡς ἂν ἓν καὶ ταὐτὸν ὑπάρχον· ἐπιστρέφει δὲ πρὸς τὸν γεννήσαντα προελθόν, ὡς ἂν μιᾶς καὶ τῆς αὐτῆς ὂν οὐσίας καὶ τῆς πατρικῆς ἔξω γενέσθαι συνυπάρξεως μὴ δυνάμενον. Τῷ δὲ εἰπεῖν «Οὕτως ἐστὶ πᾶς ὁ γεγεννημένος ἐκ τοῦ Πνεύματος»[5] διδάσκει, ὡς τὸ Πνεῦμα τοῦ Θεοῦ πνευματικὸν γεννᾷ καὶ λέγεται πνευματικὸς ἐκ τῆς ἕξεως, καθὰ ὁ ἐξ ἀνθρώπου τεχθεὶς καλεῖται ἄνθρωπος. 'Επιφωνεῖ γοῦν τῷ τοιούτῳ ὁ Μελῳδός· «'Ανακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου»[6]· καί· «Μακάριοι, ὧν ἀφέθησαν αἱ ἀνομίαι καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι»[7]. Καὶ Παῦλος δὲ συνιστῶν ὅτι **[676]** τούς τε φωτιζομένους τὸ Πνεῦμα ἀναγεννᾷ καὶ τὴν τοῦ Θεοῦ προσηγορίαν φύσει κέκτηται ἔγραψε, πρὸς μὲν Τίτον, καθὼς ἀνωτέρω ἐλέχθη· «'Αναγεννήσας ἡμᾶς διὰ λουτροῦ παλιγγενεσίας καὶ ἀνακαινίσεως Πνεύματος 'Αγίου»[8]· πρὸς δὲ Ρωμαίους· «Εἰ δὲ Πνεύματι τὰς πράξεις τοῦ σώματος θανατοῦτε, ζήσεσθε· ὅσοι γὰρ Πνεύματι Θεοῦ ἄγονται, οὗτοι υἱοὶ Θεοῦ εἰσιν. Οὐ γὰρ ἐλάβετε Πνεῦμα δουλείας πάλιν εἰς φόβον· ἀλλ' ἐλάβετε Πνεῦμα υἱοθεσίας, ἐν ᾧ κράζομεν· 'Αββὰ ὁ Πατήρ. Αὐτὸ τὸ Πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν, ὅτι ἐσμὲν τέκνα Θεοῦ· εἰ δὲ τέκνα, καὶ κληρονόμοι, κληρονόμοι μὲν Θεοῦ, συγκληρονόμοι δὲ Χριστοῦ»[9]· πρὸς δὲ Τιμόθεον ἐν τῇ δευτέρᾳ 'Επιστολῇ· «Οὐ γὰρ ἔδωκεν ἡμῖν ὁ Θεὸς Πνεῦμα δουλείας, ἀλλὰ δυνάμεως καὶ ἀγάπης καὶ σωφρονισμοῦ»[10]. "Οτι γὰρ περὶ

1. Β' Κορ. 4,7. 2. 'Ιω. 3,6. 3. 'Ιω. 3,8. 4. Αὐτόθι. 5. Αὐτόθι. 6. Ψαλ. 102,5. 7. Ψαλ. 31,1. 8. Πρβλ. Τίτ. 3,5. 9. Ρωμ. 8,13-17. 10. Β' Τιμ. 1,7.

τοῦ Ἁγίου Πνεύματος διαλέγεται εὔδηλον καὶ ἐκ τοῦ εἰπεῖν· «Οὐ γὰρ ἐλάβετε Πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλ' ἐλάβετε Πνεῦμα υἱοθεσίας»[1]. Ἔχοντες γὰρ ἤδη πάντως τὸ ἡμέτερον ἐλάβομεν καὶ τὸ τοῦ Θεοῦ. Σαφὲς δὲ τοῦτο καὶ ἀπὸ τοῦ ἐπαγαγεῖν ὡς «Αὐτὸ τὸ Πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν»[2]. Ὅρα οὖν, πῶς παραδόξως Δεσπότην ἀπαγγέλλει τὸ Ἅγιον Πνεῦμα. Ὁ γὰρ μὴ ὢν δοῦλος ἐλεύθερός ἐστι· καὶ ὁ ἐλευθερῶν δεσπότης καθέστηκεν· οὐδεὶς γάρ, ὃ αὐτὸς οὐκ ἔχει, ἄλλῳ παρέχει. Καὶ ὁ εἰς υἱοθεσίαν καὶ κληρονομίαν ἄγων Θεός ἐστιν, κοινωνίαν οὐσίας καὶ δεσποτείας ἔχων πρὸς ἐκεῖνον, οὗτινος τῆς υἱοθεσίας καὶ κληρονομίας ἀξιοῖ. Κληρονόμον δὲ γράφει, Χριστὸν μέν, ὡς φύσει Υἱόν· ἡμᾶς δέ, ὡς ἀγαθότητι αὐτοῦ τῆς κληρονομίας ἀξιουμένους· συγκληρονόμους δὲ Χριστοῦ, διὰ τὴν ἀνέκλεκτον ἐνανθρώπησιν αὐτοῦ. Κράζει δὲ ἐν ἡμῖν ἀντὶ ἡμῶν· «Ἀββᾶ», ὅ ἐστι Πατήρ· ἐπειδήπερ ἡμεῖς οὔτε γνήσιοι υἱοί, ὡς αὐτὸ γνήσιον Πνεῦμα, καὶ ἄλλως ἀπαρρησίαστοι πρὸς τοιαύτην φωνήν.

Τίς γάρ κεν μεγάλοιο Θεοῦ κατ' ἐναντίον ἔλθοι·
Ἢ εἴποι τι ἔπος θνητὸς ἐὼν γενεήν;

[677] Πρὸς δὲ Γαλάτας περὶ τῶν βαπτισθέντων φησίν· «Οὐκ ἔτι εἶ δοῦλος, ἀλλὰ υἱός· εἰ δὲ υἱός, καὶ κληρονόμος Θεοῦ διὰ Χριστοῦ»[3]. Κορινθίοις δὲ τὰ ἴσα ἐπιστέλλει· «Ἀλλὰ ἀπελούσασθε, ἀλλ' ἡγιάσθητε, ἀλλ' ἐδικαιώθητε ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἐν τῷ Πνεύματι τοῦ Θεοῦ ἡμῶν»[4]. Ἆθρει οὖν καὶ ἐκ τῶν ῥητῶν τούτων, ὡς ἡ ἀπολύτρωσις καὶ ὁ ἁγιασμὸς καὶ ἡ δικαίωσις οὐκ ἄνευ τοῦ ὀνόματος τοῦ θεϊκοῦ Πνεύματος παρέχεται. Καὶ πάλιν ἐν ταῖς Πράξεσιν ἠρώτησε, φησίν, τινὰς μαθητὰς εἰπών· «Εἰ Πνεῦμα Ἅγιον ἐλάβετε πιστεύσαντες»[5]; Τῶν δὲ ἀποκριναμένων «Ἀλλ' οὐδέ, εἰ Πνεῦμα Ἅγιόν ἐστιν, ἠκούσαμεν» ἔφη «Εἰς τί οὖν ἐβαπτίσθητε;»[7] ὡς οὐδὲν ὄφελος ἐσχηκότων ἀπὸ τοῦ μὴ καὶ εἰς τὸ Ἅγιον Πνεῦμα ἐξ ἴσου πιστεῦσαι καὶ βαπτισθῆναι, ὡς ἐπίστευσαν εἰς τὸν Πατέρα καὶ τὸν Υἱόν. Καὶ ἔτι ἀπαγγέλλουσιν αἱ Πράξεις ἀνωφελὲς τὸ βάπτισμα δίχα τῆς τοῦ θεϊκοῦ Πνεύματος ἐπιφοιτήσεως καὶ τοῦ ἁγιασμοῦ αὐτοῦ ἐν συλλαβαῖς τοιαύταις· «Ἀκούσαντες δὲ οἱ ἐν Ἱεροσολύμοις ἀπόστολοι, ὅτι δέδεκται ἡ Σαμάρεια τὸν λόγον τοῦ Θεοῦ, ἀπέστειλαν πρὸς αὐτοὺς Πέτρον καὶ Ἰωάννην· οἵτινες καταβάντες προσηύξαντο περὶ αὐτῶν, ὅπως ἂν λάβωσιν Πνεῦμα Ἅγιον. Οὐδέπω γὰρ ἦν ἐπ' οὐδενὶ αὐτῶν ἐπιπεπτωκός, μόνον δὲ βεβαπτισμένοι ὑπῆρχον εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ. Τότε ἐπετίθεσαν τὰς χεῖρας ἐπ' αὐτοὺς καὶ ἐλάμβανον Πνεῦμα Ἅγιον»[8]. Τὸ γὰρ ἔχειν «Μόνον δὲ βεβαπτισμένοι ὑπῆρχον εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ»[9],

1. Ρωμ. 8,15. 2. Ρωμ. 8,16. 3. Γαλ. 4,7. 4. Α' Κορ. 6,11. 5. Πράξ. 19,2. 6. Αὐτόθι. 7. Πράξ. 19,3. 8. Πράξ. 8,14-17. 9. Πράξ. 8,16.

καὶ τὸ μετέπειτα λαμβάνειν τὸ Πνεῦμα, δηλοῖ, ὡς μόνον οὐχὶ ἔλειπεν αὐτοῖς ἡ περὶ τοῦ Πνεύματος θεογνωσία· ἀλλ' ὅτι καὶ σὺν τῷ Υἱῷ καὶ τῷ Πνεύματι συμπάρεστι καὶ συμμνημονεύεται καὶ συνευεργετεῖ ὁ Πατὴρ καὶ Θεός, κἄν ποτε ἰδικῶς μὴ ὀνομασθῇ· ἢ ὡς δ' αὖ πάλιν, κἂν σιωπηθείη τῷ λόγῳ καὶ μὴ τῇ πίστει, ὁ Υἱὸς ἢ τὸ Πνεῦμα συμπάρεστι καὶ συμμνημονεύεται καὶ συνσῴζει ἅμα τῷ Θεῷ καὶ Πατρί. Καὶ πάλιν· «Καὶ συναυλιζομένοις παρήγγειλεν αὐτοῖς ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι· ἀλλὰ περιμένειν τὴν ἐπαγγελίαν τοῦ Πατρός, ἣν ἠκούσατέ μου· Ὅτι Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ ἐν Πνεύματι Ἁγίῳ βαπτισθήσεσθε, οὐ μετὰ πολλὰς ταύτας ἡμέρας»[1]· καὶ πάλιν ἀπὸ τοῦ Πέτρου περὶ τῶν ἐν Καισαρείᾳ βαπτισθέντων. «Ἐν δὲ τῷ ἄρξασθαί με λαλεῖν, ἐπέπεσε τὸ Πνεῦμα τὸ Ἅγιον ἐπ' αὐτούς, ὥσπερ καὶ ἐφ' ἡμᾶς ἐν ἀρχῇ· ἐμνήσθην δὲ τοῦ ῥήματος τοῦ Κυρίου, ὡς ἔλεγεν· Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν Πνεύματι Ἁγίῳ»[2]. Οἱ οὖν ἐν ψιλῷ ὀνόματι τοῦ Ἁγίου Πνεύματος καὶ οὐχ ὡς ἐν ὀνόματι Θεοῦ καὶ Πνεύματος Θεοῦ, φύσει ὄντος Πνεύματος αὐτοῦ, βαπτι**[680]**ζόμενοι, ὡς ὕδατι ψιλῷ λουόμενοι, ἀνόνητον ἔχουσι τὴν ἐλπίδα. Καταδύοντες μὲν γὰρ ἐν τῇ κολυμβήθρᾳ εὐδοκίᾳ τοῦ Θεοῦ καὶ Πατρὸς γυμνούμεθα τῇ χάριτι τοῦ Πνεύματος αὐτοῦ τῶν ἁμαρτιῶν ἀποτιθέμενοι τὸν παλαιὸν ἄνθρωπον καὶ τῇ βασιλικῇ αὐτοῦ δυνάμει ἀναγεννώμεθα καὶ σφραγιζόμεθα· ἀνιόντες δὲ ἐνδυόμεθά τε τὸν Σωτῆρα Χριστόν, στολὴν ἄφθαρτον καὶ ἰσότιμον τοῦ ἀναγεννήσαντος καὶ σφραγίσαντος ἡμᾶς Ἁγίου Πνεύματος. («Ὅσοι γάρ», φησίν, «εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε»[3])· καὶ τὴν γεγραμμένην εἰκόνα καὶ ὁμοίωσιν τοῦ Θεοῦ ἀπολαμβάνομεν ἣν ἐδεξάμεθα διὰ τοῦ θεϊκοῦ ἐμφυσήματος καὶ ἀπωλέσαμεν διὰ τοῦ ἁμαρτήματος· καὶ αὖθις εὑρισκόμεθα, οἷοί περ ἐπὶ τοῦ πρωτοπλάστου ἐγενήθημεν, ἀναμάρτητοι καὶ αὐτεξούσιοι· ταῦτα γὰρ σημαίνει ἡ εἰκὼν καὶ ὁμοίωσις· ὡς ἁρμόζειν τὴν Παύλου περὶ τῶν βαπτιζομένων Γραφήν· «Ὅπως **[681]** γένησθε κατ' εἰκόνα τοῦ κτίσαντος ὑμᾶς»[4]· καί· «Καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσομεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου»[5]. Ἀναπείσει δὲ περὶ τούτου καὶ αὖθις γράφων ὁ αὐτός, Ῥωμαίοις μέν· «Οὓς προέγνω καὶ προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς»[6]. Ἐφεσίοις δέ· «Καὶ ὄντας ἡμᾶς νεκροὺς τοῖς παραπτώμασι συνεζωοποίησε τῷ Χριστῷ καὶ συνήγειρε καὶ συνεκάθισεν ἐν τοῖς ἐπουρανίοις»[7]. Τίς ἢ πότε ταῦτα παρέσχεν; Ὁ Πατήρ, μετὰ τοῦ ἀνακαινισθῆναι ἡμᾶς ὑπὸ τοῦ Ἁγίου Πνεύματος αὐτοῦ. Ὃν τρόπον γὰρ τὸ πρῶτον ὑπὸ τῆς μακαρίας Τριάδος ἐκτίσθημεν κατὰ τὸ «Ποιήσωμεν ἄνθρωπον»[8], οὕτως τὸ δεύτερον ὑπ' αὐτῆς σῳζόμεθα,

1. Πράξ. 1,4-5. 2. Πράξ. 9,15-16. 3. Γαλ. 3,27. 4. Πρβλ. Κολ. 3,10. 5. Α' Κορ. 15,49. 6. Ρωμ. 8,29. 7. Πρβλ. Ἐφ. 2,5-6. 8. Γεν. 1,26.

ἵν' ὁμοίως τὴν Τριάδα δοξάζωμεν. Δίχα δὲ τοῦ ἀναγεννηθῆναι βαπτίσματι ὑπὸ τοῦ Πνεύματος τοῦ Θεοῦ καὶ σφραγισθῆναι τῷ ἁγιασμῷ καὶ ναὸς αὐτοῦ γενέσθαι, οὐδεὶς τῶν ἐπουρανίων ἔτυχεν ἀγαθῶν, κἂν τὸν ἄλλον βίον ἄμεμπτος εὑρέθη. Ἀλλὰ καὶ οἱ πρὸ βαπτίσματος μαρτυρῆσαι ἐπιτυχόντες, τῷ ἰδίῳ ἀπολουσάμενοι αἵματι, οὕτως ὑπὸ τοῦ Ἁγίου Πνεύματος τοῦ Θεοῦ ἐζωποιήθησαν. Διὸ προτρέπων ὁμοῦ καὶ μαρτυρόμενος ἱερολόγος ἀνὴρ βοᾷ· «Προσέλθετε πρὸς αὐτὸν καὶ φωτίσθητε καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ»[1]. Φῶς γὰρ τὸ ἀληθινὸν καὶ αἴτιον τοῦ αἰσθητοῦ φωτὸς καὶ δόξα ἐκλάμπουσα πανταχοῦ ἐστι τὸ Πνεῦμα τὸ σεπτόν, ᾗ καὶ αὖθις ψάλλει· «Διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς»[2]. Περὶ τούτου καὶ ἐν τῷ κη' ψαλμῷ διδάσκει· «Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων, ὁ Θεὸς τῆς δόξης ἐβρόντησε· Κύριος ἐπὶ ὑδάτων πολλῶν»[3]· καὶ **[684]** ἐν ος' ψαλμῷ· «Φωνὴ τῆς βροντῆς σου ἐν τῷ τροχῷ»[4]. «Ἔφαναν αἱ ἀστραπαί σου τῇ οἰκουμένῃ· εἶδε καὶ ἐσαλεύθη ἡ γῆ»[5]. Διὰ μὲν γὰρ τῶν ὑδάτων τὸ βάπτισμα σημαίνει, ἐν ᾧ γίνεται παρὰ τῶν ἱερέων, καθὰ ψαλμῳδεῖ ὁ αὐτός, «ἐργασία πολλή»[6]· διὰ δὲ τῆς βροντῆς τὴν πανταχοῦ φθάσασαν καὶ μετὰ φόβου ὑποδεχθεῖσαν χάριν τοῦ βαπτίσματος αἰνίττεται· διὰ δὲ τοῦ τροχοῦ, τὸν ἄστατον καὶ ἀλλόκοτον βίον· διὰ δὲ τῶν ἀστραπῶν, τὰ κατὰ Θεὸν κάλλη τῶν φωτιζομένων· διὰ δὲ τοῦ σαλευθῆναι τὴν γῆν τὸ κινηθῆναι σὺν προθυμίᾳ τὴν ἀνθρωπότητα εἰς θεογνωσίαν δηλοῖ. Καὶ τοῦ Δεσπότου δὲ βαπτιζομένου ἐν τῇ οἰκονομίᾳ ἐπὶ τῷ τόν τε δράκοντα[7], τὸν ἐπὶ τοῖς ὕδασι δεξάμενον τὸν Ἰορδάνην[8] ἐν τῷ στόματι, ὡς ἱστορεῖ αἰνιγματωδῶς ὁ Ἰώβ, θανατῶσαι, τόν τε ἡμέτερον ἀποσμῆξαι ῥύπον καὶ τὴν παλαιὰν συγχωρῆσαι ἁμαρτίαν καὶ ποιῆσαι πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ»[9], ἅμα δὲ καὶ διδάξαι πάντας τὴν παλιγγενεσίαν[10] ἀνθρώποις εἶναι σωτηρίαν· παρῆν τὸ Πνεῦμα τὸ Ἅγιον, ὡς ὁ Πατήρ. Ὁ μὲν γὰρ ἐξ οὐρανῶν ἐμαρτύρει τῇ **[685]** γνησιότητι τοῦ οἰκείου τόκου· τὸ δὲ Ἅγιον Πνεῦμα, ἀνοιχθέντων αὐτῷ, ὡς βασιλεῖ καὶ ἀνωτέρῳ τῆς ἀγγέλων φύσεως ὄντι, τῶν οὐρανῶν, κατελθόν, ἐπέμενεν ἐπὶ τὸν Υἱὸν τοῦ Θεοῦ. Φησὶ γάρ· «Ἰδοὺ ἀνεῴχθησαν οἱ οὐρανοί, καὶ εἶδον τὸ Πνεῦμα τοῦ Θεοῦ καταβαῖνον ὡς περιστεράν»[11]. Νόει οὖν, τί ἐστι τὸ Ἅγιον Πνεῦμα, ἅτε τὸν ἑαυτοῦ ναόν, ἡμᾶς, τῷ ὑψίστῳ Θεῷ συγκαθεσθῆναι καὶ συνδοξασθῆναι καὶ συμβασιλεῦσαι ποιεῖ, καὶ ὅτε μένει ἐπὶ τὸν μονογενῆ Θεόν· καὶ εἰ ὁσίως λέγουσιν αἱρετικοὶ μὴ συγκαθέζεσθαι αὐτὸ καὶ συμπροσκυνεῖσθαι καὶ συμβασιλεύειν τῷ Θεῷ Πατρί. Μὴ ὁμοίως δὲ ἡμῶν, τῶν κτιστῶν, καὶ ἐν τοσαύτῃ ἀγαθῶν ἔργων γυμνότητι τηλικαῦτα ἐλπιζόντων, νοηθείη τὸ Ἅγιον

---

1. Ψαλ. 33,6. 2. Ἡσ. 26,9. 3. Ψαλ. 28,3. 4. Ψαλ. 76,19. 5. Ψαλ. 96,4. 6. Ψαλ. 106,23. 7. Ψαλ. 90,13. 8. Ἰωβ 40,23. 9. Λουκ. 10,19. 10. Τίτ. 3,5. 11. Ματθ. 3,16.

Πνεῦμα τοῦ Θεοῦ συγκαθέζεσθαι καὶ συνδοξάζεσθαι καὶ συμβασιλεύειν τῷ Θεῷ· ἀλλ' ὡς Πνεῦμα αὐτοῦ καὶ φύσει Θεὸς καὶ Βασιλεὺς καὶ ἀιδίως συγκαθεζόμενος καὶ πλήρης ἀχράντου δόξης ὑπάρχων. Οἱ γὰρ κτιστοὶ κατὰ χάριν μετὰ τὴν ἀνάστασιν τούτων ἀξιωθήσονται ἀπολαύοντες τῶν ἀγαθῶν τῆς βασιλείας οὐκ ὄντες δὲ βασιλεῖς. Οἶδε γὰρ ἡ Γραφή, ἄλλην μὲν ἡλίου δόξαν, ἄλλην δὲ σελήνης καὶ ἀστέρων· καὶ τούτων πάλιν διάφορον δόξαν· «Ἀστὴρ γάρ», φησίν, «ἀστέρος διαφέρει ἐν δόξῃ»[1]. Καὶ ὁ ὀφθαλμὸς τοῦ σώματος τῶν ἄλλων μελῶν τιμιώτερός ἐστι· πλὴν καὶ αὐτὸς σῶμά ἐστιν· ὥστε τοσοῦτον ἡμᾶς ἀνακαινισθέντας τῆς θείας ἀπολαύειν οἰκειότητος, ὅσον ἡ τῆς ἡμετέρας φύσεως ἐνδέχεται δύναμις, καθὼς λέγουσιν·

Ὅπόσον ἡμέρριόν κε Θεῷ γένος ἰσάζοιτο.

Καὶ Πέτρος ἐκθειάζων τὸ βάπτισμα, ὡς Θεοῦ ὄντος τοῦ ἀνακτίζοντος ἡμᾶς Ἁγίου Πνεύματος, καθολικὸν διὰ τῆς πρώτης Ἐπιστολῆς ἐξεφώνησε κήρυγμα, διαγορεῦον ταυτί· «Ἀναγεγεννημένοι, οὐκ ἐκ σπορᾶς **[688]** φθαρτῆς, ἀλλ' ἀφθάρτου, διὰ λόγου ζῶντος Θεοῦ καὶ μένοντος»[2]. Ἐδεδοίκει γὰρ τὸν παρακελευσάμενον ἐν τῷ κατὰ Μᾶρκον Εὐαγγελίῳ· «Πορευθέντες εἰς τὸν κόσμον πάντα κηρύξατε τὸ Εὐαγγέλιον πάσῃ τῇ κτίσει. Ὁ πιστεύσας καὶ βαπτισθεὶς σωθήσεται· ὁ δὲ ἀπιστήσας κατακριθήσεται»[3]. Τί δὲ τὸ κήρυγμά ἐστιν; «Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος»[4]. Ὅπερ καὶ Παῦλος φυλάττων ἔγραψεν· «Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρὸς καὶ ἡ κοινωνία τοῦ Ἁγίου Πνεύματος μετὰ πάντων ὑμῶν»[5]. Ἥντινα πνευματικὴν κοινωνίαν καὶ τὰ Καθολικὰ προκατωνόμασε χαράγματα οὕτως· «Ἵνα γένησθε θείας κοινωνοὶ φύσεως»[6]. Τίνες δὲ οἱ ἀπιστοῦντες καὶ διὰ τοῦτο κατακρινόμενοι; Οἱ ταύτην μὴ φυλάττοντες τὴν ἰσοτιμίαν τῆς Ἁγίας Τριάδος· οἵστισι καὶ αὖθις διὰ Παύλου παρήγγειλεν ἐν τῇ πρὸς Γαλάτας ἐπιστολῇ· «Εἰσί τινες, οἵτινες ὑμᾶς θορυβοῦσι, θέλοντες στρέψαι τὸ Εὐαγγέλιον Χριστοῦ· ἀλλ', εἰ καὶ ἄγγελος ὑμᾶς ἀπ' οὐρανοῦ ἄλλως εὐαγγελίσηται, παρ' ὃ εὐαγγελίσθητε, ἀνάθεμα ἔστω. Καὶ πάλιν λέγω· Εἴ τις ὑμᾶς εὐαγγελίσηται, παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω»[7]. Παράδοσιν δὲ μὴ παραβαίνεσθαι τὴν προλεχθεῖσαν αὐτοῦ εἶπε θεϊκὴν ἐντολὴν οὐ τὴν Ἀρειανῶν καὶ Εὐνομιανῶν καὶ Μακεδονιανῶν τῶν τὴν προσηγορίαν ταύτην κληρωσαμένων ἀπ' ἐκείνων, ὧν τῇ δοκήσει ἐξηκολούθησαν καί τῶν θείων κηρυγμάτων καταφρονήσαντες νόμον τὴν ἐκείνων ἀδολεσχίαν ἐποιήσαντο, οὐδὲ τῶν ἄλλων ἀκούοντας·

---

1. Α' Κορ. 15,41. 2. Α' Πέτρ. 1,23. 3. Μάρκ. 16,15,16. 4. Ματθ. 28,19. 5. Β' Κορ. 13,13. 6. Β' Πέτρ. 1,4. 7. Πρβλ. Γαλ. 1,7-9.

Ὅσσα κεν ἀθανάτοιο Θεοῦ βουλεύματα φαίνει
Ταῦτα σύ, θνητὸς ἐών, ἴσχε μάλ' ἀσφαλέως·
Μηδὲ νόον δολίοισιν ὑπ' ἀνθρώποισι δουλωθείς
Ἄσχετον ἀθανάτου μῆνιν ἐπισπάσεαι.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'

Περὶ τῶν πρὸς εὐτέλειαν τοῦ Πνεύματος ἐπιφερόντων τό· «Ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ Πνεύματος»[1].

Οὗτοι δὲ λεξιθηροῦντες καὶ τὰ περὶ τοῦ Ἁγίου Πνεύματος καθ' ἑαυτῶν σμικρύνοντές φασιν· Οὐκοῦν ἰσοδύναμον καὶ συνδοξαζόμενον τὸ ὕδωρ τῷ Ἁγίῳ **[689]** Πνεύματί ἐστιν· ἐπειδὴ γράφει· «Ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ Πνεύματος»[2]. Τοῦτο δὲ κατηγορῆσαί ἐστιν ἑαυτῶν, ὡς ἐπιλαμβανομένων τοῦ καλῶς φθεγξαμένου αὐτὰ Χριστοῦ καὶ διαβαλεῖν, ἃ μηδὲ Μῶμος διαβαλεῖν δυνήσεται· οὐ μὴν ἴδιον Χριστιανῶν. Οὐχ ὡς συντάττεται γὰρ ἡ Ἁγία Τριὰς ἐμνημονεύθη καὶ τὸ ὕδωρ· ἀλλ' ὡς ὁ λόγος ἀπέδωκε καὶ ὡς ἐτέρωθι ἅμα τῷ ἀθανάτῳ Θεῷ θνητὰ συνεμνημονεύθη. Γέγραπται γάρ· «Ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ εἰς σέ»[3]· καὶ πάλιν· «Ἐπίστευσεν ὁ λαὸς τῷ Θεῷ καὶ Μωϋσεῖ τῷ θεράποντι αὐτοῦ»[4]· καὶ πάλιν· «Πᾶς ὁ λαὸς ἐφοβεῖτο τὸν Θεὸν καὶ Σαμουήλ»[5]· καὶ πάλιν· «Καὶ ἦν ῥομφαία τῷ Κυρίῳ καὶ τῶν Γεδεών»[6]· καὶ τὸ προσυφανθησόμενον δὲ τούτοις θεώρημα καίριον καὶ ἐπάξιον τῆς ὀρθῆς πίστεώς ἐστιν. Εἰ γὰρ κατὰ τὸν Παῦλον «εἰς τὸν θάνατον τοῦ Χριστοῦ καὶ εἰς Χριστὸν»[7] βαπτιζόμεθα, ὀρθῶς συνεφράσθη τῷ Πνεύματι τὸ ὕδωρ. Ἀπὸ γὰρ τῆς πλευρᾶς τοῦ Σωτῆρος ὕδωρ καὶ αἷμα ὁμοῦ ἔρρευσεν ὡς οὐκ ἀγνοεῖ ἡ λόγχη καὶ ὁ στρατιώτης. Πρὸς τούτῳ, εἰ, ὡς Παῦλος ἔγραψε, Κορινθίοις μὲν «Πάντες βρῶμα τὸ πνευματικὸν ἔφαγον, καὶ πάντες τὸ αὐτὸ πνευματικὸν ἔπινον πόμα. Ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας· ἡ δὲ πέτρα ἦν ὁ Χριστός»[8], αὖθίς τε «Καὶ πάντες ἓν Πνεῦμα ἐποτίσθησαν»[9], Ἑβραίοις δὲ «Ἀδύνατον γὰρ τοὺς ἅπαξ φωτισθέντας, γευσαμένους τε τῆς δωρεᾶς τῆς ἐπουρανίου καὶ μετόχους γενηθέντας Πνεύματος Ἁγίου καὶ καλὸν γευσαμένους Θεοῦ ῥῆμα»[10] (τὸ δὲ Ἅγιον Πνεῦμα, ῥῆμα τοῦ Θεοῦ Πατρὸς ἀνευφημήθη[11]) ἀοράτως ἐν τῷ ὕδατι ὁ Χριστὸς καὶ τὸ Ἅγιον Πνεῦμα καὶ οὐδέποτε παρ' οὐδενὶ ἄνευ

---

1. Ἰω. 3,5. 2. Αὐτόθι. 3. Πρβλ. Λουκ. 15,18. 4. Πρβλ. Ἐξ. 14,31. 5. Πρβλ. Α' Βασ. 12,18. 6. Κριτ. 7,20. 7. Πρβλ. Ρωμ. 6,3. 8. Α' Κορ. 10,3. 9. Πρβλ. Α' Κορ. 12,13. 10. Ἑβρ. 6,4. 11. Ἐφ. 6,17.

τοῦ βαπτιστικοῦ ὕδατος ὁ Χριστὸς καὶ τὸ Ἅγιον Πνεῦμα. Ὅπου οὖν τὸ θεῖον μυστήριον, ὡς τοῦ Υἱοῦ τοῦ Θεοῦ, οὕτω καὶ τοῦ θεϊκοῦ Πνεύματος τεθεσμοθέτηται καὶ τὴν ἴσην μαρτυρίαν ἀπηνέγκαντο ἄμφω αἱ μακάριαι καὶ αὐτοτελεῖς ὑποστάσεις· πῶς οὐκ ἀφθονία καὶ ταῦτα δι' ἀποδείξεων περὶ τῆς ὁμοουσιότητος αὐτῶν ἐστιν; Ἐγὼ οὖν οἶμαι, ὡς καὶ διὰ τοῦτο εἰς οἶνον, καὶ κρείττονα οἴνου, τὸ ὕδωρ μετέβαλε καὶ εὐφροσύνην τῷ γαμικῷ δείπνῳ παρέσχετο· ἀσυμφανῶς διδάξαι βουληθείς, ὅτι καὶ τὸ ὕδωρ εἰς ἀθάνατον χρῆσιν τοῦ βαπτίσματος μετέθηκε καὶ διὰ τοῦ βαπτίσματος τὸ λεῖπον τῆς πίστεως ἀνθρώποις ἀνεπλήρωσε μετὰ τοῦ θεϊκοῦ Πνεύματος συμφωνίᾳ τοῦ Θεοῦ καὶ Πατρός. Καὶ τῆς σκιᾶς γὰρ τοῦ θείου **[692]** τούτου βαπτίσματος τοῦ ἡμῖν δωρηθέντος ἐπιφανείᾳ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος τοῦ Θεοῦ διὰ τὴν ἐπίγνωσιν τὴν εἰς τὰς ἀκηράτους ὑποστάσεις ταύτας, πολλὰ καμόντες οἱ δίκαιοι μόλις ἔτυχον. Ἔστι γὰρ ἡ κολυμβήθρα τῆς Τριάδος ἐργαστήριον πρὸς σωτηρίαν πιστῶν πάντων ἀνθρώπων· καὶ τοὺς λουομένους ἐν αὐτῇ τοῦ δήγματος ἀπαλλάττει τοῦ ὄφεως καὶ μήτηρ πάντων γίνεται τῷ Ἁγίῳ Πνεύματι μένουσα Παρθένος. Ἐν αὐτῇ γάρ, ὡς εἴρηται, πάντα ὑποδεχόμεθα τῆς διανομῆς τὰ χαρίσματα καὶ ἐκεῖσε τοῦ παραδείσου αἱ δωρεαὶ ὑπογράφονται καὶ νύμφην ἑαυτῷ τὴν ἡμετέραν ψυχὴν λαμβάνει ὁ ποιήσας αὐτήν, κατὰ Παῦλον ἐπιστέλλοντα· «Ἡρμοσάμην ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ»[1]. Καὶ τί δὲ συντόμως τὸ μεῖζον οὐ λέγω ἐν αὐτῇ; Ὃν οὐ τολμῶσιν οἱ ἐν οὐρανοῖς Πατέρα καλεῖν, ἡμεῖς μανθάνομεν ἐπὶ γῆς καλεῖν, μηδένα φοβούμενοι. Καὶ τοῦτό ἐστιν, ὃ ἐν κς' ᾄδεται ψαλμῷ· «Ὁ πατήρ μου καὶ ἡ μήτηρ μου ἐγκατέλιπόν με»[2]· (οὐ γάρ, φησίν, ἔμειναν ἀθάνατοι Ἀδὰμ καὶ Εὔα)· «ὁ δὲ Κύριος προσελάβετό με»[3]. Καὶ ἔδωκέ μοι, φησί, μητέρα τὴν κολυμβήθραν, πατέρα τὸν Ὕψιστον, ἀδελφὸν τὸν δι' ἡμᾶς βαπτισθέντα Σωτῆρα. Νῦν οὖν οἶδα ἀληθῶς γεννηθεὶς ὁμοῦ καὶ σωθείς, ὅτε μηκέτι ἀκούω «Κλαύσατε τεθνηκότα, ὅτι ἐξέλιπε φῶς»[4], ἀλλὰ τὴν εὐκταίαν φωνὴν «Δεῦτε πάντες οἱ κεκοπιακότες καὶ πεφορτισμένοι κἀγὼ ἀναπαύσω ὑμᾶς»[5], ἀλείψας, λούσας, ἐνδύσας ἕκαστον ἀδιασπάστως ὅλον ἐμαυτὸν καὶ θρέψας τῷ σώματί μου καὶ τῷ αἵματι.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'

Περὶ τοῦ ἀπὸ καταβολῆς κόσμου τὰ ὕδατα ἡγιάσθαι ὑπὸ τοῦ Ἁγίου Πνεύματος καὶ προοικονομεῖσθαι ἡμῖν τὴν ἀπὸ τοῦ βαπτίσματος σωτηρίαν. Καὶ περὶ τοῦ Ἰσραηλίτας σωτηρίας τετυχηκέναι ἀπὸ τῆς οὔσης

---

1. Β' Κορ. 11,2. 2. Ψαλ. 26,10. 3. Αὐτόθι. 4. Σ. Σειρ. 22,11. 5. Ματθ. 11,28.

ποτὲ εἰκόνος τοῦ βαπτίσματος· πολλῷ δὲ πλέον τοὺς νῦν βαπτιζομένους καὶ προῖκα δικαιουμένους καὶ μακαριζομένους.

Καὶ δὴ καιρὸς ἥκει τῷ λόγῳ τὰς τῷ θεϊκῷ Πνεύματι καὶ τῷ ἀθανάτῳ βαπτίσματι οἰκείας ἀποδείξεις ἀναλεγόμενον ἐκ μέρους καὶ ἀπὸ τῆς πρεσβυτέρας διαθήκης, ὡς ἂν δύνωμαι, γράφειν. Ἄρξομαι δὲ μικρὸν ἄνωθεν. Ἡ ἀδιαίρετος καὶ ἄρρητος Τριάς, προορῶσα ἐξ αἰῶνος τοῦ ἀνθρωπίνου βίου τὰ ὀλισθηρά, ἅμα τῷ παραγαγεῖν ἐκ μὴ ὄντων τὴν ὑγρὰν οὐσίαν, ηὐτρέπισεν ἀνθρώποις τὴν ἐν τοῖς ὕδασιν ἴασιν. Τοιγάρτοι τῇ ἑαυτοῦ ἐπιφορᾷ τὸ Ἅγιον Πνεῦμα ἐκ τότε ἁγιάσαν αὐτὰ καὶ ζωογόνον ἀποτελέσαν φαίνεται. Παντὶ γὰρ πρόδηλον ὑπάρχει, ὡς καὶ τὸ ὑπερκείμενον τῷ ὑποκειμένῳ τῆς οἰκείας με[693]ταδίδωσιν, ἵν' οὕτως εἴπω, ποιότητος καὶ πᾶσα ὑποκειμένη ὕλη τῆς τοῦ ἐπικειμένου φιλεῖ πως ἁρπάζειν ἰδιότητος. Ὅθεν ἀδιακρίτως παντὶ ὕδατι καὶ ἐν θαλάττῃ δέ, ἀνάγκης καταλαβούσης βάπτισμα γίνεται, ὡς μιᾶς τε οὔσης φύσεως ὑδάτων καὶ πάσης ἁγιασθείσης. Ὅπως δὲ τὸ θαλάττιον ὕδωρ ἁλμυρὸν εὑρίσκεται, τοῦ ἑνὸς γένους τῶν ὑδάτων ὑπάρχον, ἑτέρᾳ ἐπιδείξει σὺν Θεῷ φάναι πραγματείᾳ. Αὔταρκες δέ, εἰς τὸ κινούμενον νυνὶ κεφάλαιον, μνημονεῦσαι τοῦ τε κοσμογράφου Μωϋσέως, ἐξηγουμένου κατὰ λέξιν οὕτως· «Καὶ Πνεῦμα Κυρίου ἐπεφέρετο ἐπὶ τῶν ὑδάτων»[1]· τοῦ τε πνευματοφόρου Δαυὶδ ψάλλοντος· «Κύριος ἐπὶ ὑδάτων πολλῶν»[2]. Τοῦτο δὲ συνενδείκνυται οὐ μικρῶς καὶ τὸ ὕπερθεν τῶν Ἰορδανίων ῥείθρων γεγενῆσθαι τὸ Ἅγιον Πνεῦμα τοῦ Δεσπότου βαπτιζομένου καὶ μεμενηκέναι ἐπ' αὐτόν. Ὤφθη δὲ τὸ τηνικαῦτα ἐν εἴδει περιστερᾶς. Ἐπειδὴ τὸ ζῷον τοῦτο ἀκέραιόν τε ἐστι καὶ χολῆς ἐστέρηται. «Γίνεσθε» γάρ, φησίν, «ἀκέραιοι ὡς αἱ περιστεραί»[3]. Εἴπερ δὲ καὶ ἐκ τῆς συναγομένης ψήφου ἀπὸ τοῦ ὀνόματος τοῦ μνημονευθέντος πτηνοῦ ἐπικουρίαν τινὰ δεῖ τῷ λόγῳ τούτῳ πορίζεσθαι καὶ αὐτὴ ὑποσημαίνει πως τὸ ἀπερίγραπτον τοῦ Ἁγίου Πνεύμα[696]τος. Ἔστι γὰρ περιστερὰ μιᾶς καὶ ὀκτακοσίων ψήφου, αἵτινες δηλοῦνται διὰ τοῦ ἄλφα καὶ ω· τὰ δὲ στοιχεῖα ταῦτα ἀρχὴ καὶ τέλος ὅλων καθέστηκε τῶν στοιχείων. Καὶ ὁ κατακλυσμὸς τοίνυν, ὁ τὴν ἀρχαίαν ἀδικίαν ἐκκαθάρας τοῦ κόσμου, προεφήτευεν οἱονεί πως ἐπικεκρυμμένως τὸν ἀπὸ τῆς θείας κολυμβήθρας τῶν ἁμαρτιῶν καθαρισμόν· καὶ ἡ κιβωτὸς αὐτὴ σώσασα τοὺς ἐν αὐτῇ εἰσφρήσαντας εἰκὼν τῆς σεπτῆς ἐτύγχανεν Ἐκκλησίας καὶ τῆς ἐντεῦθεν ὑπαρχούσης ἡμῖν ἀγαθῆς ἐλπίδος· καὶ ἡ περιστερὰ κλάδον ἐλαίας κομίσασα ἐν τῇ κιβωτῷ καὶ τῆς γῆς τὴν ἀνάδειξιν μηνύσασα ἐσήμαινε τοῦ Ἁγίου Πνεύματος τὴν ἐπιφοίτησιν καὶ τὴν ἄνωθεν διαλλαγήν· σύμβολον γὰρ ἡ ἐλαία τῆς εἰρήνης. Ἀλλὰ καὶ ἡ ἐρυθρὰ θάλαττα

1. Πρβλ. Γεν. 1,2. 2. Ψαλ. 28,3. 3. Ματθ. 10,16.

εἰσδεξαμένη Ἰσραηλίτας, οὔτ' ἐνδοιάσαντας, οὔτ' ἐπ' ἀδήλῳ πιστεύσαντας καὶ τῶν ἐπηρτημένων αὐτοῖς κακῶν ἐν Αἰγύπτῳ ἀπὸ Φαραὼ καὶ τοῦ στρατεύματος αὐτοῦ ἀπαλλάξασα καὶ πᾶσα δὲ ἡ ὑπόθεσις τῆς ἀπὸ Αἰγύπτου αὐτῶν ὁδοῦ τύπος ἦν τῆς ἐν τῷ βαπτίσματι σωτηρίας. Ἐμήνυε γὰρ Αἴγυπτος μὲν τὸν κόσμον, ἐν ᾧ οὐ καλῶς βιοτεύοντες πράττομεν κακῶς· ὁ δὲ λαός, τοὺς νῦν φωτιζομένους· τὰ δὲ ὕδατα, μεσιτεύσαντα τῷ λαῷ τὴν ἀσφάλειαν, **[697]** ἐδήλου τὸ βάπτισμα· ὁ δὲ Φαραὼ καὶ οἱ ὁπλῖται, τὸν Σατὰν καὶ τοὺς ὑπηρέτας αὐτοῦ· Μωϋσῆς δέ, τῇ ῥάβδῳ τὸ πικρὸν ὕδωρ χρήσιμον ποιήσας, σωτηρίαν καθολικὴν προηγόρευεν. Αὐτὸς γὰρ τύπον ἔφερε τοῦ Χριστοῦ· ἡ δὲ ῥάβδος τοῦ σταυροῦ· τὸ δὲ πικρὸν ὕδωρ, τοῦ εὐλογηθέντος ὕδατος τῆς κολυμβήθρας, τοῦ δυσχρήστου μέν ποτε φανέντος τοῖς ἀπίστοις, εὑρεθέντος δὲ τοῖς πιστοῖς εἰς πᾶσαν ἀνάψυξιν καὶ «Ὡς δρόσος Ἀερμών, ἡ καταβαίνουσα ἐπὶ τὰ ὄρη Σιών»[1]. Δίδωσι δὲ ἡμῖν εἰς τοῦτο εὐπορίαν μαρτυρίας καὶ ἡ βίβλος τῶν Βασιλειῶν καὶ αὐτὴ ἐν ἀπορρήτῳ τὰ ὅμοια τῶν προκειμένων ὑποφαίνουσα, ἐν ῥήσει καὶ ὑποθέσει τῇ ὑπογεγραμμένῃ· «Ἐλισσαῖος, φησίν, ἐπορεύθη μετ' αὐτῶν· καὶ ἦλθον εἰς τὸν Ἰορδάνην καὶ ἔτεμνον τὰ ξύλα. Καὶ ἰδοὺ ὁ εἷς ὡς καταβάλλει τὴν δοκόν, τὸ σιδήριον ἐξέπεσεν εἰς τὸ ὕδωρ· καὶ ἀνεβόησεν· Ὦ Κύριε· καὶ αὐτὸ κεχρημένον. Καὶ εἶπεν ὁ ἄνθρωπος τοῦ Θεοῦ· Ποῦ ἔπεσεν; Καὶ ἐπέδειξεν αὐτῷ τὸν τόπον. Καὶ ἀπέκλασε ξύλον καὶ ἔρριψεν αὐτὸ ἐκεῖ καὶ ἐπεπόλασε τὸ σιδήριον· καὶ εἶπεν· Ὕψωσον σεαυτῷ. Καὶ ἐξέτεινε τὴν χεῖρα αὐτοῦ καὶ ἔλαβεν αὐτό»[2]. Ἐδηλοῦτο γάρ, διὰ μὲν Ἐλισσαίου τοῦ ἀνθρώπου τοῦ Θεοῦ τοῦ πυθομένου, «Ποῦ ἐξέπεσεν ἡ ἀξίνη;»[3] ὁ μετὰ ἀνθρώπων γενόμενος Θεός, ὁ πάλαι εἰπὼν «Ἀδάμ, ποῦ εἶ;»[4] διὰ δὲ τοῦ ἑνὸς προσώπου, τοῦ τὸ ξύλον καταβάλλοντος καὶ ἐπιδεικνύοντος τὸν τόπον, ἐν ᾧ ἡ ἀξίνη ἔπεσεν, ὁ Ἀδὰμ ὁ τῷ ἀληθήτῳ Θεῷ ἀποκρινάμενος «Γυμνός εἰμι καὶ ἐκρύβην»[5] καὶ τῷ τοιῷδε ῥήματι δείξας τὸν τόπον, ἔνθα αἰδούμενος ἐκρύπτετο, ἔτι δὲ ἐδηλοῦτο καὶ τὸ φυτόν, οὗ ἥψατο οὐκ εἰς δέον διὰ δὲ τοῦ πεσόντος σιδήρου εἰς τὸ βάθος τὸ ἀφανές, ἡ δύναμις τῆς ἀνθρωπείας φύσεως ἐσημαίνετο, ἡ ἐκπεσοῦσα τοῦ φωτὸς ἕνεκα τοῦ ἐπιβαλεῖν χεῖρα εἰς τὸ ξύλον τῆς ζωῆς· διὰ δὲ τοῦ φάναι ὅτι ἦν καὶ αὐτὸ κεχρημένον τὸ δόσει Θεοῦ ἐσχηκέναι τὸν πρωτόπλαστον, ἣν ἀφῆκε δύναμιν, ἣν καὶ ἔδει τῷ δεδωκότι, οἷαν εἴληφεν ἀποδοῦναι· διὰ δὲ τοῦ ληφθέντος ξύλου καὶ ῥιφέντος κατὰ τοῦ τόπου τοῦ ἔχοντος τὸ ζητούμενον, ὁ πολυύμνητος σταυρός· διὰ δὲ τοῦ Ἰορδάνου, τὸ ἀθάνατον βάπτισμα· ἐν γὰρ τῷ Ἰορδάνῃ ὁ τὸν Ἰορδάνην ποιήσας βαπτισθῆναι δι' ἡμᾶς κατηξίωσεν. Διὰ δὲ τοῦ ἐπιπολάσαι τοῖς ὕδασι τὸν σίδηρον καὶ ἐλθεῖν πρὸς τὸν ἀπολέσαντα, τὸ διὰ τοῦ φωτίσματος εἰς τὸ οὐράνιον ἀναφέρεσθαι ὕψωμα καὶ τὴν προτέραν

---

1. Ψαλ. 132,3. 2. Πρβλ. Δ' Βασ. 6,4-7. 3. Δ' Βασ. 6,6. 4. Γεν. 3,9. 5. Γεν. 3,10.

ἀποδέχεσθαι χάριν καὶ τὴν ἀρχαίαν ἀπολαμβάνειν πατρίδα· διὰ **[700]** δὲ τοῦ γράφειν «Ὕψωσον σεαυτῷ»[1] καὶ διὰ τοῦ «Ἐξέτεινε τὴν χεῖρα καὶ ἔλαβε»[2] τὸ δεῖν εἰδέναι, ὡς αὐτὸν τὸν προσιόντα τῷ φωτίσματι, πιστεῦσαι χρεών, καὶ ὑψῶσαι τοῦτ' ἐστι δοξάσαι, οὕτως, ὡς βαπτισθῆναι προστέταχται καὶ ἐκτεῖναι νῦν τὰς χεῖρας καλῶς εἰς τὸν Θεόν, ἃς πάλαι, τῷ κοινῷ λόγῳ τῆς πρὸς τὸν Ἀδὰμ φυσικῆς ἑνώσεως, οὐ καλῶς εἰς τὸ φυτὸν τῆς ζωῆς ἐπέβαλεν. Τὸν δὲ ἀνανεύειν ἐθέλοντα, ὅτι καὶ τὸ χωρίον τοῦτο προφητεία περὶ τοῦ βαπτίσματός ἐστιν, ἄξιον ἀπαιτεῖν, τί τὸ χρήσιμον τῶν τοιῶνδε ῥημάτων καί διηγημάτων, πρὸς ὃ βλέπων ὁ ἱερὸς συγγραφεὺς ταῦτα τέθεικεν. Καὶ τῆς ἐν Ἰεριχὼ δὲ πηγῆς τὸ πικρὸν καὶ ἀγονοποιὸν ὕδωρ, προσηνὲς καὶ γόνιμον ἀποτελέσας ὁ αὐτὸς προφήτης, ἐν τῷ ἅλας καὶ ὕδωρ καὶ εἰς ὑδρίαν καινὴν βαλεῖν καὶ ἀπ' αὐτῆς εἰς τὸ πηγαῖον ὕδωρ καὶ φάναι. «Τάδε λέγει Κύριος· Ἴαμαι τὰ ὕδατα ταῦτα»[3]· προηγόρευσε διὰ μὲν τῆς καινουργίας ὑδρίας καὶ τοῦ ὕδατος, τὴν νέαν κολυμβήθραν, διὰ δὲ τῶν ἁλῶν, τὴν πίστιν καὶ τὴν ἐξ αὐτῆς ὄνησιν· διὰ δὲ τοῦ τὸ ἄποιον ὕδωρ γόνιμον καὶ νόστιμον πᾶσι γεγενῆσθαι προεφήτευσεν, ὡς οἱ προσομιλοῦντες τῷ βαπτίσματι, τῆς παλαιᾶς στυγνότητος ἀποδύονται τοὺς χιτῶνας καὶ ἀποτίθενται τὰ φορτία καὶ τῆς νέας χάριτος ἐνδύονται τὴν δωρεὰν καὶ ἀπολαύουσι τῆς τοῦ σωτηρίου Πνεύματος μετουσίας καὶ υἱοθεσίας. Δοκεῖ μοι καλῶς ὅτι τοῦ Ἁγίου Πνεύματος τὸν ἐπὶ τοῖς βαπτιστικοῖς ὕδασιν ἀρρητότατον πλοῦτον καὶ ἱλασμὸν προδιδάσκων ὁ αὐτὸς καὶ ὅτι εἰς πάντας τοὺς ἐπιστρέφοντας καὶ εἰς πάντας τοὺς ἀνθρωπίνους βίους διατείνει ἡ ἐπὶ πάντων πνευματικὴ πρόνοια, ὡς μηδένα τῶν οὐ θελόντων ἀπόβλητον εὑρίσκεσθαι, Νεεμὰν τὸν Σύρον, τὸν λεπρόν, τὸν ἀλλόφυλον, δεηθέντα αὐτοῦ τῆς περιοδείας, εἰς τὸν Ἰορδάνην ἑπτάκις καταβαπτισθῆναι ἔπεμψεν· ὥστε τῇ ἐπὶ τῶν ὑδάτων τοῦ Κυρίου φωνῇ τὸ πάθος ἀπ' αὐτοῦ ἐξαναλῦσαι καὶ ὅλον αὐτὸν ἐπὶ τὸ καθαρὸν καὶ ὅσιον εἶδος τῆς ψυχῆς ἀναδραμεῖν. Ἑπτάκις δὲ εἶπε βαπτίσασθαι ἢ ἵνα εἰδέναι ἔχοι ὁ ἀλλοεθνής, ὡς ἐν τῇ ἑβδόμῃ ἡμέρᾳ ὁ Θεὸς τῶν ἔργων κατέπαυσε καὶ εὐλόγησεν ἅπερ ἐν ταῖς ἓξ ἐποίησεν (ὅθεν ἑπτάμυξον τῇ συναγωγῇ ἓν ἦν τῶν κειμηλίων) καὶ ὡς πληρωματικός ἐστι καὶ τέλειος ὁ ἀριθμὸς ὁ ἑπτά· ἢ μᾶλλον ὅτι τὸ θεϊκὸν Πνεῦμα ἠνίξατο. Ἡσαΐας γὰρ τὸ παντελὲς καὶ πρὸς τὸν υἱὸν ἀπαράλλακτον τῆς φύσεως αὐτοῦ τῇ πίστει ἐγχωρούντως θεωρήσας, ἑπτὰ σημασίας περὶ αὐτοῦ **[701]** κατέλεξεν ἐν ῥητοῖς τοιοῖσδε· «Ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ καὶ ἄνθος ἐξ αὐτῆς ἀναβήσεται· καὶ ἐπαναπαύσεται ἐπ' αὐτὸν Πνεῦμα σοφίας καὶ συνέσεως. Πνεῦμα βουλῆς καὶ ἰσχύος. Πνεῦμα γνώσεως καὶ εὐσεβείας. Πνεῦμα φόβου Θεοῦ»[4]. Ἀναφέροι δέ τις ἂν ὀρθῶς εἰς ταῦτα καὶ τὰ ἀποκεκρυμμένα τῆς Ζαχαρίου διανοίας, τὰ τῇδε λέγοντα· «Διότι ἰδοὺ ἐγὼ ἄγω τὸν δοῦλόν μου Ἀνα-

---

1. Δ' Βασ. 6,7. 2. Αὐτόθι. 3. Δ' Βασ. 2,21. 4. Πρβλ. Ἡσ. 11,1-2.

τὸλήν· διότι ὁ λίθος, ὃν ἔδωκα <πρὸ> προσώπου Ἰησοῦ ἐπὶ τὸν λίθον τὸν ἕνα, ἑπτὰ ὀφθαλμοί εἰσιν»[1]. Ταῦτα ὁ Θεὸς πρὸς Ἰησοῦν τὸν ἱερέα τὸν μέγαν ἔφη· Ἄγω, φησί, τὸν δοῦλόν μου τὸν Ζοροβάβελ εἰς τὴν ἐξουσίαν τῆς βασιλείας, ἀφ' ἧς ἔσται ὡς Ἀνατολὴ λαμ[704]πρός· ἐκ τοῦ πράγματος τὸ ὄνομα καλέσας· ἐντεῦθέν τε συνεχῆ τὸν λόγον καὶ ἀδιάστατον ποιούμενος, λίθον τὸν Ζοροβάβελ ὀνομάζει, ἐφ' ὃν τὸ πρόσωπον Ἰησοῦ ἐστήρικτο, παρέχον αὐτῷ τὴν ἐκ τῶν εὐχῶν ἐπικουρίαν καὶ ἀντιλαμβάνον παρ' αὐτοῦ τὴν ἀπὸ τῆς βασιλείας εἰρήνην. Εἰπὼν δὲ ἐν τῷ μέσῳ· «Ὀρύσσω βόθρον, λέγει Κύριος παντοκράτωρ καὶ ψηλαφήσω πᾶσαν τὴν ἀδικίαν τῆς γῆς ἐκείνης ἐν ἡμέρᾳ μιᾷ· καὶ συγκαλέσεται ἕκαστος τὸν πλησίον αὐτοῦ ὑποκάτω ἀμπέλου αὐτοῦ καὶ ὑποκάτω συκῆς αὐτοῦ»[2]· ἀντὶ τοῦ, Θάνατον ἐπάγω διὰ τῆς στρατηγίας τοῦ Ζοροβάβελ τοῖς πολεμίοις· ὥστε πάντας πάσης ἀπαλλαγέντας ταραχῆς καὶ ἐν ἀφθόνῳ διάγοντας εὐθηνίᾳ πρὸς ἑστιάσεις ἀλλήλους προτρέπεσθαι· μνημονεύσας δὲ καὶ λυχνίας χρυσῆς, τοῦτ' ἔστι τῆς καθαροτάτης πίστεως, τῆς ἀρχομένης μὲν ἐξ ἡμῶν, ὑψουμένης δὲ καὶ μέχρι τῶν ὑπὲρ ἡμᾶς πραγμάτων (διὰ γὰρ τοῦ χρυσοῦ τὸ καθαρὸν καὶ τίμιον παραλαμβάνεται· οὐ γὰρ πέφυκεν ἰοῦσθαι χρυσός)· εἰπὼν δὲ εἶναι ἐπάνω αὐτῆς καὶ λαμπάδιον, τοῦτ' ἔστι τὴν ὑψόθεν πάντα καταφαίνουσαν θείαν χάριν καὶ ἑπτὰ λύχνους, ἀντὶ τοῦ τῆς πνευματικῆς δωρεᾶς τὴν ἀφθονίαν καὶ τελειότητα· πρὸς τούτοις ὕπερθεν ἑπτὰ ἐπαρυστρίδας, τοῦτ' ἔστι τὸ ἄσβεστον καὶ διαρκὲς τῆς ἐκεῖθεν ἐπιῤῥοῆς καὶ δύο ἐλαίας, αἳ νοοῦνται, ἤτοι ἱερωσύνη καὶ βασιλεία, ἤτοι δύο λαοὶ ἢ οἶκοι Θεοῦ, ὁ Ἰσραηλιτῶν ποτε καὶ ὁ Χριστιανῶν· καὶ διαναστήσας τὸν προφήτην καὶ πρὸς ἀκριβεστέραν τῶν δειχθησομένων κατανόησιν ἐγρηγορέναι καὶ συντετάσθαι πλέον πως παρασκευάσας, πάλιν ἐπιφέρει· «Οὐκ ἐν δυνάμει μεγάλῃ οὐδὲ ἐν ἰσχύι, ἀλλ' ἢ ἐν Πνεύματί μου, λέγει Κύριος παντοκράτωρ· Τίς εἶ σύ, τὸ ὄρος τὸ μέγα, πρὸ προσώπου Ζοροβάβελ, τοῦ κατορθῶσαι καὶ ἐξοῖσαι τὸν λίθον τῆς κληρονομίας ἰσότητα χάριτος»[3]; Ὄρος ἐνταῦθα τὸν πολέμιον καλεῖ, ᾧ διαλέγεται, ὅτι· Τὸν λίθον, φησί, τῆς κληρονομίας τὸν Ζοροβάβελ, καθ' οὗ ἀντιπρόσωπος καὶ ἐναντίος ὁρμᾷς τοσαύτη πνευματικὴ χάρις κατορθοῦντα τὰς μάχας περιβαλεῖ, ὡς ὅλον αὐτὸν δοκεῖν αὐτόχρημα χάριν ὑπάρχειν. Καὶ μετὰ βραχὺ βεβαιῶν ἔτι ταῦτα, προφητεύει οὕτως· **[705]** Καὶ χαρήσονται καὶ ὄψονται τὸν λίθον τὸν κασσιτέρινον ἐν χειρὶ Ζοροβάβελ. Ἑπτὰ οὗτοι ὀφθαλμοὶ Κυρίου εἰσίν, οἱ ἐπιβλέποντες ἐπὶ πᾶσαν τὴν γῆν»[4]. Οἱ οὖν τὴν πᾶσαν κτίσιν ἐφορῶντες ἑπτὰ ὀφθαλμοί, οἱ προλεχθέντες παράδοξοι χρηματισμοὶ τοῦ Ἁγίου Πνεύματός εἰσιν. Κασσιτέρινον δὲ λίθον εἶπεν, ἐπειδὴ ἐν τῷ κασσιτέρῳ τὰ πεπονθότα σκεύη, σιδηρᾶ τε καὶ χαλκᾶ, θεραπεύεται καὶ ἀναπληροῦται καὶ ἑνωτικός ἐστιν ὁ κασσίτερος. Φασὶ δέ τινες, ὅτι σὺν τέχνῃ

---

1. Ζαχ. 3,8-9. 2. Πρβλ. Ζαχ. 3,9-10. 3. Ζαχ. 4,6-7. 4. Ζαχ. 4,10.

καὶ διακρίνει ἐν τῇ χώνῃ ἀπὸ τοῦ χρυσοῦ ἢ ἀργύρου ἢ χαλκοῦ τὸ δόκιμον καὶ ἀδόκιμον. Ἐγῷμαι, ὡς καὶ τὸ ὑπὸ Σολομῶνος ὁμοίως ἐν ἀπορρήτῳ λεχθέν· «Ἡ σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον καὶ ὑπήρεισε στύλους ἑπτὰ»[1] παραδηλοῦν ἐφίεται τὸ τῇ Παρθένῳ εὐαγγελισθὲν ὑπὸ τοῦ Γαβριήλ· «Πνεῦμα Ἅγιον ἐλεύσεται ἐπὶ σέ»[2]· ὅπερ καὶ λειτουργεῖν αὐτῷ τοὺς ἀγγέλους δηλοῖ· καὶ ὡς τῶν ὅλων ὑποστάτης ἐστὶ καὶ τὰς ζωὰς ἀρρήτῳ φωταγωγίᾳ περιλάμπει τὸ θεϊκὸν Πνεῦμα, σὺν τῷ Πατρὶ καὶ τῷ Υἱῷ, μετὰ ἀφράστου ἑνώσεως καὶ συμπνοίας. Ἀξιοῦσθαι οὖν αὐτοῦ τοὺς φωτιζομένους παιδεύων ἡμᾶς ὁ Ἀπόστολος, Γαλάταις ἐχάραξε γράμματα καὶ τοιάδε· «Τοῦτο μόνον θέλω μαθεῖν ἀφ' ὑμῶν· Ἐξ ἔργων νόμου τὸ Πνεῦμα ἐλάβετε ἢ ἐξ ἀκοῆς πίστεως»[3]; Ταῦτα καὶ Δαυὶδ οὐ σιωπῇ παρατρέχει. Συνάπτων γὰρ προφανῶς τὴν φύσιν καὶ ὁμοφροσύνην τοῦ ἐκ φωτὸς φῶς γεννηθέντος Υἱοῦ καὶ τοῦ ἀληθείᾳ ἐξ ἀληθείας ἐκπορευθέντος Ἁγίου Πνεύματος, ψάλλει, ἐν μὲν μβ'· «Ἐξαπόστειλον τὸ φῶς σου καὶ τὴν ἀλήθειάν σου»[4], ἐν δὲ ρμζ'· «Ἐξαποστελεῖ τὸν Λόγον αὐτοῦ καὶ τήξει αὐτά· πνεύσει τὸ Πνεῦμα αὐτοῦ καὶ ῥυήσεται ὕδατα»[5]. Ὃ ἕπεται τὸ Παύλου ῥητόν· «Ἡμεῖς πάντες ἓν Πνεῦμα ἐποτίσθημεν»[6]. **[708]** Τί οὐ καὶ ἄλλο συνῳδόν τι καὶ λαμπρὸν ἐνδείξομαι, ὑπὸ ἐξηγητῇ Ζαχαρίᾳ τῷ ὑστάτῳ προφήτῃ, ἵν' ἔτι καὶ μᾶλλον θαυμάζωμεν; Αὐτοῖς δὲ ἀναμνήσω τοῖς ῥήμασιν αὐτοῦ, ἔχουσιν ὧδε· «Ἐν ταῖς ἡμέραις ἐκείναις ἐξελεύσεται ὕδωρ ζῶν ἐξ Ἰερουσαλήμ»[7]. Τὸ δὲ «ζῶν ὕδωρ»[8] καὶ ἐκ τῆς ἄνω ἐκπορευόμενον Ἰερουσαλήμ, ἆρα καὶ ζῶντας γεννᾷ. Εὕροιμεν δὲ ἂν πρὸς τοῖς μνημονευθεῖσι καὶ τὴν κολυμβήθραν τὴν ἐν Ἰερουσαλήμ, ἣ ὄνομα Ἑβραϊστὶ Βηθεσδά, ὁμολογουμένως εἰκόνα τοῦ βαπτίσματος, ἀλλ' οὐκ αὐτὴν τυγχάνουσαν τὴν ἀλήθειαν· ἡ γὰρ εἰκὼν πρὸς καιρόν, ἡ δὲ ἀλήθεια εἰς αἰωνιότητα κρίνεται. Διὸ καὶ ἅπαξ τοῦ ἐνιαυτοῦ ὑπὸ ἀγγέλου κινηθὲν τὸ ἐν αὐτῇ ὕδωρ καὶ ἕνα μόνον τὸν πρῶτον κατιόντα καὶ σωματικὸν πάθος οὐχὶ δὲ καὶ ψυχικὸν ἐθεράπευεν. Τὸ γὰρ αὐθεντικὸν βάπτισμα, μετὰ τὴν τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος ἐπιφάνειαν καὶ καθ' ἑκάστην ἡμέραν, μᾶλλον δὲ ὥραν· ἀληθέστερον δέ, ἀδιαλείπτως καὶ πάντας τοὺς κατιόντας καὶ ἀπὸ πάσης ἁμαρτίας αἰωνίως ἐλευθεροῖ· καὶ τῶν πολλῶν καὶ διαφόρων καὶ ἀνωμάλων καὶ δυσλύτων διαθέσεων ψυχικῶν τε καὶ σωματικῶν ἡ ἴασις εὑρίσκεται μία καὶ οὐδὲν καθοτιοῦν ἔτι παλαιὸν ἕπεται ἄλγημα τῶν ἐντὸς ἢ τῶν ἐκτός. Πρὸς ἐπὶ τούτοις, πάντας ἐκ χάριτος ἀδελφοὺς πρωτοτόκους καὶ ἀρτιτόκους καὶ αὐτοὺς τοὺς ἐξήλικας καὶ ἀφήλικας ἀναδείκνυσι· καὶ τούτοις αὐτοῖς, οἷς κατὰ νόμον κοσμικὸν τὰ γήινα χρήματα, διὰ τὸ ἀνασφαλὲς τῶν ἐτῶν ἢ τῶν ὀλίγων ἢ τῶν πολλῶν, σὺ καταπιστεύεται, ὁ θεῖος ἅπας ὅλβος ἀσφαλῶς παρακατατεθεὶς εὑρίσκεται· ὡς γεγη-

---

1. Παρμ. 9,1. 2. Λουκ. 1,35. 3. Γαλ. 3,2. 4. Ψαλ. 42,3. 5. Ψαλ. 147,7. 6. Α' Κορ. 12,13. 7. Ψαλ. 16,8. 8. Ἰω. 4,10.

θότας ψάλλειν· «Κύριος ποιμαίνει με καὶ οὐδέν με ὑστερήσει· εἰς τόπον χλόης, ἐκεῖ με κατεσκήνωσεν· ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέ με»[1]· καί· «Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν, ἐξ ἐναντίας τῶν θλιβόντων με. Ἐλίπανας ἐν ἐλαίῳ τὴν **[709]** κεφαλήν μου καὶ τὸ ποτήριόν σου μεθύσκον με ὡσεὶ κράτιστον»[2].

[712] Καὶ αὐτὸς δὲ ὁ ἄγγελος ὁ τὸ ὕδωρ ταράσσων, πρόδρομος ἦν τοῦ Ἁγίου Πνεύματος· οὕτινος ἀγγέλου καθ' ὁμοιότητα Ἰωάννης ἄγγελός τε τοῦ Κυρίου ἐκλήθη καὶ πρόδρομος ἐγένετο τοῦ Δεσπότου καὶ ἐν ὕδασιν ἐβάπτισεν. Καὶ τὸ χρῖσμα δέ, ὅπερ ἐχρίσθησαν Ἀαρών τε ὑπὸ Μωϋσέως, ἔτι μὴν καὶ πάντες οἱ ἀπὸ τοῦ ἱερατικοῦ κέρατος, οἱ ἐπικληθέντες ἀπὸ τοῦ χρίσματος χρηστεί, τύπον ἔφερε τοῦ ἡγιασμένου χρίσματος, οὗ λαμβάνομεν ἡμεῖς. Εἰ γὰρ καὶ σωματικῶς τοῦτο τρέχει, ἀλλ' οὖν ψυχικῶς ὠφελεῖ. Μόνον τε γὰρ ἔλθῃ περὶ τῆς τρισμακαρίας Τριάδος πίστις ἐν καρδίᾳ ἡμῶν καὶ ῥῆμα πνευματικὸν ἐν στόματι καὶ σφραγὶς Χριστοῦ ἐν μετώπῳ· μόνον βάπτισμα ὑποδέξηται καὶ τὸ χρῖσμα ῥώσῃ· εὐθὺς ἵλεως εὑρίσκεται ἡ τὴν φύσιν ἀγαθοδότις ὑπάρχουσα Τριάς· εὐθὺς παρ' ἡμῖν καταντᾷ αὐτῇ τῇ ῥοπῇ τὰ ἀκάθαρτα πνεύματα ἀπὸ τῶν καθαρῶν ἀναχωρεῖ, παραχρῆμα τὰ κοσμικὰ πράγματα οἴχεται καὶ τὰ σωματικὰ παντοῖα πάθη ἐκποδὼν καθίσταται· τὰ πταίσματα πάντα ἀφίεται, τὰ ὀνόματα ἡμῶν ἀνεξαλείπτοις ἐγγράφεται βίβλοις, τὰ οὐράνια ἡμῖν ἐπιτρέπεται ἀγαθά· ὡς διὰ τὴν ἄφατον αὐτῆς ἑτοιμότητα καὶ προμηθίαν καὶ τὸ ἐθέλειν ἀεὶ πάντων καλῶν πρωτεύειν προφθάνεσθαι ὑπ' αὐτῆς καὶ αὐτὴν τὴν τοιάνδε πρόθεσιν ἡμῶν ἢ προκατάρχεσθαι. Καὶ ἵνα συλλήβδην εἴπω, φυλάτ-**[713]**των δηλονότι τὸ σέβας τὸ μεταξὺ ἀληθείας καὶ σκιᾶς καὶ ἡ εἰκὼν αὐτὴ τοῦ βαπτίσματος ἐφώτιζέ τε πάντοτε πάντας τοὺς κατ' ἐκεῖνον τὸν καιρὸν Ἰσραηλίτας καὶ ἔσωζε καὶ ἐδείκνυ τῆς ὁμοουσίου Τριάδος κοινὴν εἶναι τὴν παρεχομένην σωτηρίαν, ὡς Παῦλος ὁ νομομαθὴς ἐν τῇ πρὸς Κορινθίους Α' Ἐπιστολῇ ἔγραψεν· «Οὐ θέλω γὰρ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ὅτι οἱ πατέρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν καὶ πάντες διὰ τῆς θαλάσσης διῆλθον καὶ πάντες εἰς τὸν Μωϋσῆν ἐβαπτίσθησαν ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ· καὶ πάντες βρῶμα τὸ πνευματικὸν ἔφαγον καὶ πάντες τὸ αὐτὸ πνευματικὸν ἔπιον πόμα· ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας· ἡ δὲ πέτρα ἦν ὁ Χριστός»[3]· καὶ ὡς προφητεύουσιν, Ἰεζεκιὴλ μέν· «Τάδε λέγει Κύριος· Ῥανῶ ἐφ' ἡμᾶς ὕδωρ καθαρόν, καὶ καθαρισθήσεσθε ἀπὸ πασῶν τῶν ἁμαρτιῶν ὑμῶν· καὶ τὸ Πνεῦμά μου δώσω ἐν ὑμῖν καὶ ἔσεσθέ μοι εἰς λαὸν καὶ ἐγὼ ἔσομαι ὑμῖν εἰς Θεόν»[4]. Δαυὶδ δέ· «Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι· πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι»[5]. Ῥαντισμὸν γὰρ ὑσσώπου τὸν Ἰουδαϊκὸν καθαρισμὸν τὸν ἕως νῦν εἰωθότα παρ' αὐτοῖς

---

1. Ψαλ. 22,1-2. 2. Ψαλ. 22,5. 3. Α' Κορ. 10,1. 4. Ἐξ. 36,25,27. 5. Ψαλ. 50,9.

γίνεσθαι· ὑπὲρ χιόνα δέ, φωτισμὸν Χριστιανῶν, τὸ βάπτισμα λέγει. Ἡσαΐας δέ· «Ἅγιοι κληθήσονται πάντες οἱ γραφέντες εἰς ζωὴν ἐν Ἰερουσαλήμ· ὅτι ἐκπλυνεῖ Κύριος τὸν ῥύπον τῶν υἱῶν καὶ τῶν θυγατέρων Σιὼν καὶ τὸ αἷμα ἐκκαθαριεῖ ἐκ μέσου αὐτῶν **[716]** ἐν Πνεύματι κρίσεως καὶ ἐν Πνεύματι καύσεως»[1]. Καὶ ἵνα δείξῃ Πέτρος ἐν τῇ πρώτῃ Ἐπιστολῇ, ὡς, εἰ τὸ γενόμενόν ποτε ἐν σκιᾷ βάπτισμα ἔσωζε, πόσῳ μᾶλλον τὸ γενόμενον ἐν ἀληθείᾳ ἀπαθανατοῖ καὶ ἀποθεοῖ ἡμᾶς, ἔγραψεν οὕτως· «Ὃ καὶ ὑμᾶς ἀντίτυπον νῦν σῴζει βάπτισμα, οὐ σαρκὸς ἀπόθεσις ῥύπου, ἀλλὰ συνειδήσεως ἀγαθῆς ἐπερώτημα εἰς Θεὸν δι' ἀναστάσεως Ἰησοῦ Χριστοῦ, ὅστις ἐκάθισεν ἐν δεξιᾷ τοῦ Θεοῦ πορευθεὶς εἰς οὐρανόν, ὑποταγέντων αὐτῷ ἀγγέλων καὶ ἐξουσιῶν καὶ δυνάμεων»[2]. Ἐπερώτημα δὲ λέγει εἰς Θεὸν τὴν ὁμολογίαν τῆς συνειδήσεως, ἣν ἐκτιθέμεθα, συντιθέμενοι βαπτίζεσθαι εἰς Πατέρα καὶ Υἱὸν καὶ Ἅγιον Πνεῦμα κατὰ τὴν τοῦ Κυρίου φωνήν. Ἡσαΐας οὖν αὖθις βοᾷ πρὸς τοὺς μὴ πιστεύοντας τῷ Ἁγίῳ Πνεύματι καὶ διὰ τοῦτο μὴ ἔχοντας τὴν μέλλουσαν κληρονομίαν· «Ἔστι, φησί, κληρονομία τοῖς θεραπεύουσι Κύριον καὶ ὑμεῖς ἔσεσθε δίκαιοι, λέγει Κύριος. Οἱ διψῶντες, πορεύεσθε ἐφ' ὕδωρ· καὶ ὅσοι μὴ ἔχετε ἀργύριον, βαδίσαντες ἀγοράσατε καὶ φάγετε ἄνευ ἀργυρίου καὶ τιμῆς οἶνον καὶ στέαρ»[3]. Ὕδωρ εἶπε τὸ Πνεῦμα τὸ Ἅγιον καὶ τῆς κολυμβήθρας αὐτοῦ τὰ νάματα· οἶνον καὶ στέαρ, τότε μὲν τὰ τῆς προθέσεως τῆς Ἰουδαϊκῆς ἐσήμανεν, νῦν δὲ τὴν ἀθάνατον κοινωνίαν τοῦ σώματος καὶ αἵματος τοῦ δεσποτικοῦ· ἤντινα σὺν τῷ ἀνακαινισμῷ ἅμα μὲν ἀγοράζομεν πίστιν καὶ οὐκ ἀργύριον κατατιθέμενοι ἅμα δὲ καὶ χάρισμα λαμβάνομεν. Ὅτι δὲ ὕδωρ τὸ Ἅγιον Πνεῦμα ἔτι μὴν καὶ τὸ τοῦ βαπτίσματος αὐτοῦ λέγει καὶ Ἰωάννης μαρτυρεῖ ἀπὸ τοῦ Σωτῆρος εἰπών· «Ὁ πιστεύων εἰς ἐμέ, καθὼς εἶπεν ἡ Γραφή· ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος»[4]. Καὶ εὐθὺς προσέθηκε τῷ λόγῳ· «Τοῦτο δέ, φησίν, ἔλεγε περὶ τοῦ Πνεύματος, οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες»[5]. Ὅτι δὲ καὶ προῖκα δικαιούμεθα, ἀνάξιοι ὄντες, δι' ὑπερβάλλουσαν ἀγαθότητα τῆς Τριάδος, Παύλου πρὸς Ῥωμαίους διέδειξε λόγος· «Πάντες γάρ, φησίν, ἥμαρτον καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ, δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ χάριτι διὰ τῆς ἀπολυτρώσεως τῆς ἐν Χριστῷ Ἰησοῦ»[6]. Τῆς δωρεᾶς ταύτης μακαρίζων τοὺς ἀξιουμένους, ὁ μὲν Κύριος παρὰ Λουκᾷ ἔλεγε πρὸς τοὺς μαθητάς· «Μακάριοι οἱ ὀφθαλμοὶ οἱ βλέποντες ἃ βλέπετε. Λέγω γὰρ ὑμῖν, ὅτι πολλοὶ προφῆται καὶ βασιλεῖς ἠθέλησαν ἰδεῖν, ἃ **[717]** ὑμεῖς βλέπετε καὶ οὐκ εἶδον· καὶ ἀκοῦσαι ἃ ἠκούσατε καὶ οὐκ ἤκουσαν»[7]. Οἱ δὲ πνευματικοὶ μόνον οὐχὶ βλέπομεν καὶ ἀκούομεν ἀλλὰ καὶ δωρεὰν ὑπὸ τοῦ Ἁγίου Πνεύματος φωτιζόμεθα καὶ ἀπολαύομεν, σώματος Χριστοῦ μεταλαμβάνοντες καὶ πηγῆς ἀθανάτου γευόμενοι.

1. Ἡσ. 4,3-4. 2. Α' Πέτρ. 3,21-22. 3. Ἡσ. 54,17. 55,1. 4. Ἰω. 7,38. 5. Ἰω. 7,39. 6. Ρωμ. 3,23-24. 7. Λουκ. 10,23-24.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'

Περὶ τοῦ τὴν Γραφὴν ἐν πολλοῖς καὶ μάλιστα ἐπὶ τοῦ Βαπτίσματος μόνου τοῦ Ἁγίου Πνεύματος καὶ τῆς σφραγῖδος Αὐτοῦ, ἧς ἔχομεν μνημονεύειν.

Ἐν πολλοῖς οὖν φαίνεται ἡ Γραφὴ οὐχ ἥκιστα δὲ ἐπὶ τοῦ ἁγίου βαπτίσματος διὰ τὴν πρὸς τὸν Πατέρα καὶ τὸν Υἱὸν τῆς οὐσίας καὶ ἐνεργείας ταυτότητα, μόνου τοῦ Ἁγίου Πνεύματος καὶ τοῦ σωτηρίου αὐτοῦ σημάντρου, ἐν ᾧ κατασφραγιζόμενοι ἀναστοιχειούμεθα εἰς εἰκόνα τὴν πρώτην, μνημονεύουσα. Ἀσφράγιστον γὰρ πρόβατον εὐάλωτον τοῖς λύκοις οὐκ ἔχον τὴν ἀπὸ τῆς σφραγῖδος συμμαχίαν, οὐδὲ γιγνωσκόμενον ὁμοίως τῶν ἄλλων παρὰ τοῦ καλοῦ ἡμῶν Ποιμένος, ἐπειδὴ μηδὲ αὐτὸ γινώσκει τὸν πάντων Νομέα. Ἀποδείξεις δὲ τούτων εἰσίν, ὡς ἡνίκα ὁ Σωτὴρ λέγῃ· «Ὅταν ἔλθῃ τὸ Πνεῦμα τῆς ἀληθείας, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν»[1]· καὶ πάλιν· «Ὑμεῖς βαπτισθήσεσθε ἐν Πνεύματι Ἁγίῳ»[2]. Καὶ ὡς ὅταν Παῦλος ἐπιστέλλῃ, πρὸς μὲν Κορινθίους· «Πάντες ἐν ἑνὶ σώματι εἰς ἓν Πνεῦμα ἐβαπτίσθημεν εἴτε Ἰουδαῖοι εἴτε Ἕλληνες εἴτε δοῦλοι εἴτε ἐλεύθεροι· καὶ πάντες ἓν Πνεῦμα ἐποτίσθημεν»[3]· πρὸς δὲ Ἐφεσίους· «Μὴ λυπεῖτε τὸ Πνεῦμα τὸ Ἅγιον τοῦ Θεοῦ, ἐν ᾧ ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως»[4]· καὶ πάλιν· «Ἐν ᾧ πιστεύσαντες ἐσφραγίσθημεν τῷ Πνεύματι τῆς ἐπαγγελίας τῷ Ἁγίῳ»[5]· ὅπερ προφητεύων ἔψαλλε Δαυίδ· «Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύ[720]ριε»[6]· φῶς τοῦ θεϊκοῦ προσώπου τὸ Πνεῦμα εἰπών. Εἰ οὖν εἰς ὄνομα Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος ἴσως σφραγιζόμεθα καὶ βαπτιζόμεθα· ἄρα ἐν μιᾷ θεότητι καὶ βασιλείᾳ ἡ Τριάς. Οὐ γὰρ ἐπὶ κτίσμασι ταῦτα δεχόμεθα οὐδὲ ξυμπαραλαμβάνει ὁ Θεὸς κτίσματος ὄνομα τῷ ἑαυτοῦ ἢ σφραγῖδα, ὡς μόνος σῴζειν οὐ δυνάμενος. Μετερχόμενοι τοίνυν εἰς τὴν ὀρθοδοξίαν, κἂν τυχὸν ὦσιν βεβαπτισμένοι, βαπτίζονται μὲν (οὐ γὰρ λέγομεν ἀναβαπτίζονται, ἐπειδὴ μὴ ἔχουσι τὸ ἀληθὲς βάπτισμα)· οἱ δὲ Εὐνομιανοὶ μέν, διὰ τὸ μίαν κατάδυσιν ποιεῖσθαι, λέγοντες μόνον εἰς τὸν θάνατον τοῦ Κυρίου βαπτίζεσθαι· Φρύγες δέ, διὰ τὸ μὴ εἰς τὰς τρεῖς ἁγίας ὑποστάσεις βαπτίζειν, ἀλλὰ πιστεύειν τὸν αὐτὸν εἶναι Πατέρα καὶ Υἱὸν καὶ Ἅγιον Πνεῦμα. Χρίονται **[721]** δὲ οἱ ἀπὸ πάσης αἱρέσεως μετερχόμενοι, ἐπειδὴ οὐκ ἔχουσι τὸ ἅγιον χρῖσμα. Ἐπίσκοπος δὲ μόνος τῇ ἄνωθεν χάριτι τελεῖ τὸ χρῖσμα.

---

1. Πρβλ. Ἰω. 16,13. 2. Πράξ. 1,5. 3. Πρβλ. Α' Κορ. 12,13. 4. Ἐφ. 4,30. 5. Ἐφ. 1,13. 6. Ψαλ. 4,7.

ΚΕΦΑΛΑΙΟΝ ΙϚ'

Περὶ τοῦ ἐπιτετελεχέναι ἀεὶ τυπικῶς Ἰσραηλίτας, εἰς μὲν τιμὴν καὶ δόξαν τοῦ ἁγίου Πάσχα τοῦ Χριστοῦ τὴν ἡμέραν τῶν Ἀζύμων, εἰς δὲ τιμὴν καὶ δόξαν τῆς σεπτῆς ἐπιδημίας τοῦ Ἁγίου Πνεύματος, τὴν παρ' ἐκείνοις ἡμέραν τῆς Πεντηκοστῆς· προηγορεῦσθαι δὲ διὰ τῆς ἑορτῆς τῶν Σκηνοπηγιῶν τὰς συνάξεις τῶν Ἐκκλησιῶν καὶ μαρτύρων.

Εὑρίσκομεν δέ, ὅτι, καθάπερ τὴν τῶν Ἀζύμων ἡμέραν εἰς τιμὴν καὶ δόξαν τοῦ ἁγίου καὶ τριποθήτου Πάσχα τοῦ Χριστοῦ τυπικῶς ἐπετέλουν Ἰσραηλῖται, οὕτω καὶ τὴν παρ' ἐκείνοις ἡμέραν τῆς Πεντηκοστῆς εἰς τιμὴν καὶ δόξαν τῆς σωτηρίου καὶ σεπτῆς ἐπιδημίας τοῦ Ἁγίου Πνεύματος ἐν εἰκόνι ἑορτάζοντες ἐτύγχανον. Καὶ οὐ τοῦτο μόνον, ἀλλὰ μυστικῶς διὰ τῆς ἑορτῆς τῶν Σκηνοπηγιῶν τὰς συνάξεις προηγόρευον τῶν ἁγίων Ἐκκλησιῶν καὶ μαρτυρίων, αἵτινες ἄγουσιν ἡμᾶς διὰ πίστεως καὶ καλλιεργείας ἐπὶ τὰς οὐρανίους σκηνάς· περὶ ὧν ὁ πήξας αὐτὰς ἔλεγε· «Ποιήσατε ἑαυτοῖς φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας, ἵν' ὅτε ἐκλίπητε, δέξωνται ὑμᾶς εἰς τὰς οὐρανίους σκηνάς»[1]. Οὐ διέλιπε γάρ ποτε ἡ παναπείρατος φαιδρότης τῶν ἑορτῶν τούτων. Καὶ πρὸς αὐτὴν ἀφορῶν ὁ Μελῳδός, ἐν τῷ παναρμονίῳ δεκαχόρδῳ πρὸς τὸν Θεὸν ἐκελάδει· «Εὐλογήσεις τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου»[2]. Ὁ γὰρ στέφανος περιφερὴς ὤν, πανταχόθεν εἰς ἑαυτὸν ἀνακυκλοῦται οὐδὲ ἀρχὴν ἔχων οὐδὲ πέρας.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'

Περὶ τοῦ τὸ Ἅγιον Πνεῦμα συμπαρεῖναι καὶ συνενεργεῖν ἀεὶ τῷ Θεῷ Πατρὶ καὶ ἐνδυναμοῦν ἡμᾶς. Καὶ τὴν ἐπιφάνειαν αὐτοῦ καὶ τὴν διδασκαλίαν, ὁμότιμον καὶ σύμφωνον εἶναι τῆς τοῦ Υἱοῦ· καὶ εὔχεσθαι τὸν πνευματοφόρον Δαυὶδ στηριχθῆναι ὑπ' αὐτοῦ.

Καὶ ἵνα, οἵας δόξας φυλάττομεν περὶ τοῦ Θεοῦ Πατρός, τοιαύτας ἔχωμεν καὶ περὶ τοῦ παντεφόρου Πνεύματος αὐτοῦ, μὴ λέγοντες βασιλεύτερον ἢ προ **[724]** γενέστερον αὐτοῦ· ἀλλ' εἰδότες ὅτι οὐδὲν ἀνθρώποις βέβαιον, ἂν ἡ Τριὰς μὴ συμμαχῇ, οὖσα πάντων πλησίον,

---

1. Λουκ. 16,9. 2. Ψαλ. 64,12.

καὶ πάντων ἐπίκουρος («Ψευδὴς» γὰρ «ἵππος εἰς σωτηρίαν»[1], φησίν· «ἐγγὺς δὲ Κύριος τοῖς φοβουμένοις αὐτόν»[2] καὶ «γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ»[3] ἡ Γραφὴ δηλοῖ, ὡς συμπάρεστιν ἀεὶ καὶ συνεργεῖ τῷ Πατρὶ καὶ ἐφ' ἑκάστῳ βοηθεῖ ἡμῖν καὶ ἰσχὺν ἐντίθησιν, καὶ τῆς τοῦ Υἱοῦ παρουσίας καὶ διδαχῆς ἡ αὐτοῦ ἐπιφάνεια ὁμότιμός ἐστιν καὶ ἡ διδασκαλία σύμφωνος τυγχάνει οὖσα. Ἀμέλει τοι ὁ Θεὸς καὶ Πατὴρ τὴν ἀδιαίρετον καὶ μόνην βεβαίαν καὶ ἀήττητον βοήθειαν αὐτοῦ καὶ τοῦ Λόγου καὶ τοῦ Πνεύματος, αὐτοῦ ὑπισχνούμενος τῷ Ζοροβάβελ καὶ ἀποφαίνων τρανέστατα, ὡς οὐ διαφέροιεν, οὔτ' ἀφεστᾶσιν ἀλλήλων αἱ θεῖαι ὑποστάσεις, εἶπε δι' Ἀγγαίου τοῦ προφήτου· «Καὶ νῦν κατίσχυε, Ζοροβάβελ, λέγει Κύριος, καὶ κατίσχυε, Ἰησοῦ ὁ τοῦ Ἰωσεδὲκ ὁ ἱερεὺς ὁ μέγας καὶ κατισχυέτω πᾶς ὁ λαὸς τῆς γῆς· διότι μεθ' ὑμῶν ἐγώ εἰμι, λέγει Κύριος παντοκράτωρ, καὶ τὸ Πνεῦμά μου ἐφέστηκεν ἐν μέσῳ ὑμῶν»[4]. Διὰ δὲ Ἡσαΐου πραΰπαθῶς καταμέμφεται τοῖς ἐπ' ὀνόματι αὐτοῦ καὶ τοῦ Πνεύματος αὐτοῦ μὴ πορευομένοις, οὑτωσὶ λέγων· «Οὐαί, τέκνα! Βουλὴν ἐποιήσατε, οὐ δι' ἐμοῦ· καὶ συνθήκας, οὐ διὰ τοῦ Πνεύματός μου»[5]. Καὶ πάλιν Ἡσαΐας περὶ τῶν πλημμεληκότων εἰς τὸ θεῖον κράτος τοῦ Πνεύματος λέγει· «Αὐτοὶ ἠπείθησαν καὶ παρώξυναν τὸ Πνεῦμα τὸ Ἅγιον καὶ ἐστράφη αὐτοῖς εἰς ἔχθραν»[6]. Ὀργῆς μὲν γὰρ καὶ ἔχθρας καὶ ἀπὸ τῶν τοιούτων πάντων ἐκβέβηκε τὸ Πνεῦμα τὸ Ἅγιον· καὶ οὐ παρασαλεύεται, οὐδ' ὑποκινεῖται. Πνεῦμα πραότητος ὂν καὶ ἀγαθὸν καὶ τῆς πρωτίστης καὶ ἀπαθοῦς καὶ παντοκρατορικῆς φύσεως· καὶ αὐτὸ μᾶλλον τοὺς ὀργιζομένους καὶ θυμοῦντας ἰώμενον καὶ ὅλης ἀφαιρούμενον τῆς κτίσεως τὸ φλεγμαῖνον καὶ ἀντεισφέρον εἰρήνην, ὡς ἐστι δῆλον τοῖς νοοῦσιν, ὅτι πᾶς ὁ πεισθεὶς τοῖς λόγοις αὐτοῦ, ἔζησεν ἡμέρως. Ὃν τρόπον δὲ πολλαχοῦ ἐγράφη· «Παρεπίκραναν τὸν Θεὸν καὶ Πατέρα καὶ ὠργίσθη αὐτοῖς»[7]· καὶ ὡς ἐν ρε΄ ψαλμῷ φάσκει· «Αὐτοὶ δὲ παρεπίκραναν αὐτὸν ἐν τῇ βουλῇ αὐτῶν»[8]· οὕτω νῦν ὁμοιοτρόπως περὶ τοῦ Πνεύματος αὐτοῦ προφητεύει, διὰ τὸ τῆς θεότητος καὶ ἐξουσίας καὶ δυνάμεως ἀπαράλλακτον. Καὶ Μιχαίας δὲ ὁμοίως ἀποκλαίεται τὸν Ἰσραήλ, ὡς Θεῷ προσκρούσαντα, λέγων· «Ὁ **[725]** οἶκος τοῦ Ἰακὼβ παρώργισε τὸ Πνεῦμα Κυρίου»[9]. Καὶ ὁ πνευματοφόρος δὲ Δαυὶδ, τὸ πρὸς τὸν Πατέρα ἰσότιμον καὶ ἰσοδύναμον τοῦ Πνεύματος αὐτοῦ συνομολογῶν καὶ τὸ δίχα τοῦ Ἁγίου Πνεύματος μηδοτιοῦν τῶν ἀγαθῶν ὑπάρχειν τῇ κτίσει, ηὔχετο· «Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ»[10]· καί· «Πνεύματι ἡγεμονικῷ στήριξόν με»[11]· τοῦτ' ἐστι τῷ Πνεύματί σου τῷ ἀρχικῷ καὶ ἐξουσίαν ἔχοντι στερέωσον, ἵν' οὕτω δυνηθῶ τῆς τε ἁμαρτίας καθαρισθῆναι,

---

1. Ψαλ. 32,17. 2. Πρβλ. Ψαλ. 144,18. 3. Ψαλ. 32,16. 4. Ἀγγ. 2,4-5. 5. Πρβλ. Ἡσ. 30,1. 6. Ἡσ. 63,10. 7. Πρβλ. Ἰεζ. 2,3. Ψαλ. 5,11. 8. Ψαλμ. 105,43. 9. Μιχ. 2,7. 10. Ψαλ. 142,10. 11. Ψαλ. 50,14.

καὶ τῆς προφητείας μὴ ἐκπεσεῖν. Καὶ ἐν Εὐαγγελίῳ τοὺς ἀποστόλους διδάσκων ὁ Δεσπότης, ὅτι τῆς ἑαυτοῦ ἐπιφανείας οὐχ ἥσσων ἔσται ἡ παρουσία τοῦ Ἁγίου Πνεύματος καὶ ἡ ἐκεῖθεν περιγινομένη σωτηρία τῇ κτίσει· ἀλλ' ἴση καὶ ἡ αὐτή, διὰ τὴν μίαν θεότητα καὶ ἐνέργειαν, λέγει· «Συμφέρει ὑμῖν, ἵνα ἐγὼ ἀπέλθω. Ἐὰν γὰρ μὴ ἐγὼ ἀπέλθω, ἐκεῖνος οὐκ ἔρχεται, τὸ Πνεῦμα τὸ Ἅγιον»[1]. Καὶ σύμφωνον δὲ τῇ ἑαυτοῦ τὴν τοῦ Ἁγίου Πνεύματος διδασκαλίαν παριστῶν ἔφη· «Ὅταν ἔλθῃ τὸ Πνεῦμα τὸ Ἅγιον, ἐκεῖνο ὑμᾶς διδάξει καὶ ἀναμνήσει πάντα, ἃ εἶπον ὑμῖν»[2]· καί· «Οὐκ ἐστὲ ὑμεῖς οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρὸς τὸ λαλοῦν ἐν ὑμῖν»[3]. Εἰ δὲ τὸ Πνεῦμα τοῦ Πατρὸς ὁμότιμον τῷ Πατρί, ὡς ἀποδέδεικται, ὁμότιμον δὲ καὶ τῷ Υἱῷ, ὡς ὡμολόγηται· δῆλον ὅτι τὴν ἴσην καί πρὸς ἀλλήλας ἔχουσι σχέσιν αἱ θεῖαι ὑποστάσεις. Τὰ γὰρ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἴσα πάντως ἐστίν· ἴσος δὲ ὁ Υἱὸς τῷ Πατρί, ἴσον δὲ καὶ τὸ Πνεῦμα τῷ Υἱῷ· δῆλον, ὅτι ὁμοίως ἴσον ἐστὶ καὶ τῷ Πατρί. Αὐτοῦ τοίνυν εἰπόντος τὸ θεσπέσιον Πνεῦμα λαλεῖν ἐν τοῖς ἀποστόλοις, ὁ Παῦλος διὰ τὴν ἀπαραλλαξίαν τῆς φύσεως καὶ διδαχῆς τὸν Χριστὸν ἰσχυρίζεται λαλεῖν ἐν αὐτῷ γράφων· «Εἰ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ»[4]. Σημειωτέον δέ, ὡς ὅλα ταῦτα τὴν ἐπιφάνειαν τοῦ Πνεύματος αὐθεντικῶς δηλοῖ γεγενῆσθαι· καὶ ἐν τῷ Λουκᾷ δέ, ὡς προελέχθη, προείρηκεν αὐτοῖς· «Ὑμεῖς δὲ καθίσατε ἐν τῇ πόλει, ἕως οὗ ἐνδύσησθε δύναμιν ἐξ ὕψους»[5]. Αὕτη ἐτύγχανεν ἡ τοῦ θεϊκοῦ Πνεύματος.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'

Περὶ τοῦ τοὺς δώδεκα ἀποστόλους τῇ δυνάμει τοῦ Πνεύματος καθοπλισθέντας, μόνους ἀντιστῆναι τῇ οἰκουμένῃ καὶ τῷ διαβόλῳ, λαλοῦντας καὶ νοοῦντας πᾶσαν γλῶσσαν. Καὶ περὶ τοῦ εἰπόντος εὐνούχου· Ἰδοὺ ὕδωρ· τί κωλύει με βαπτισθῆναι;

Ἥντινα ἀλκὴν ἐνδυσάμενοι οὐκ ἔτι εὐκατάπληκτοι καθεστήκεσαν, ὡς γέγραπται, ὅτι ἦσαν κεκλεισμέναι αἱ θύραι, τῶν μαθητῶν κρυπτομένων διὰ τὸν φόβον τῶν Ἰουδαίων[6] καὶ ὅτι Πέτρος ὁ πρόκριτος **[728]** τῶν ἀποστόλων, διὰ κόρης ἀπειλὴν διωμνύετο μὴ εἰδέναι τὸν Κύριον, τὸν ποιήσαντα αὐτὸν κλειδοῦχον τῶν οὐρανῶν· ἀλλ' οἱ δυοκαίδεκα μόνοι, καὶ αὐτοὶ οὐχ ὑφ' ἓν ὄντες, ἀντέστησαν μονονουχὶ πάσῃ τῇ οἰκουμένῃ δήμοις ὅλοις ἀντικράζοντες· «Οὐ δυνάμεθα ἡμεῖς ἃ εἴδομεν καὶ ἠκούσαμεν μὴ λαλεῖν»[7]. Ἀλλὰ καὶ πάσῃ τῇ διαβολικῇ

---

1. Ἰω. 16,7. 2. Πρβλ. Ἰω. 14,26. 3. Ματθ. 10,20. 4. Β' Κορ. 13,3. 5. Λουκ. 24,49. 6. Ἰω. 20,19. 7. Πράξ. 4,20.

πλάνῃ παρετάξαντο καὶ τὴν κτισματολατρείαν ἀπήλασαν καὶ τὴν λεγομένην ἀχλὺν ἀφεῖλον τῆς τῶν ἀνθρώπων ψυχῆς ἢ πρὶν ἐπῆεν, ὥς φασιν,

Ὄφρ' εὖ γινώσκοιεν ἠμὲν Θεὸν ἠδὲ καὶ ἄνδρα.

Διὰ δὲ τῆς τῶν χειρῶν ἐπιθέσεως ποικίλων νόσων ἀπήλλατον τοὺς ἀνθρώπους· ὡς Πέτρου μὲν καὶ τὴν ἀποπίπτουσαν τοῦ σώματος σκιάν[1], Παύλου δὲ καὶ τὰ σουδάρια τοῦ χρωτὸς ἰάσεις ἀποτελεῖν[2]. Καὶ Παῦλος μὲν Ῥωμαίοις ἔγραφεν· «Ἐν τῷ πιστεύειν εἰς τὸ περισσεύειν ὑμᾶς ἐν τῇ ἐλπίδι, ἐν δυνάμει Πνεύματος Ἁγίου»[3]· Πέτρος δὲ μετὰ παρρησίας τὸν διάβολον κατειργάζετο καὶ τοῦ Ἁγίου Πνεύματος τὴν θεϊκὴν οὐσίαν ἀνεφθέγγετο πρὸς τὸν Ἀνανίαν λέγων· «Διὰ τί ἐπείρασεν ὁ Σατανᾶς τὴν καρδίαν σου ψεύσασθαί σε τὸ Πνεῦμα τὸ Ἅγιον»[4]; Τίς γὰρ ὁ ψευσθείς; Εἶπεν ἐπαγαγών· «Οὐκ ἐψεύσω ἀνθρώπῳ, ἀλλὰ τῷ Θεῷ»[5]. Οὐκ ἦν γὰρ αὐτοῖς ἐν αἰδοῖ τις, ἥττων χρημάτων ὑπάρχων ἢ ἄδικον ἀναπνέων ἢ σῶφρον μὴ βλέπων ἢ μὴ διακείμενος περὶ τὴν ὁμοούσιον Τριάδα εἰλικρινῶς, κἂν τυχὸν ἦν τοῖς πρώτοις ἐπιβεβηκὼς κοσμικοῖς θρόνοις καὶ τὰς ἄκρας ἐν χεροῖν ἔχων ἀρχάς. Ὑπερεώρων δὲ καὶ αὐτῆς τῆς βασιλικῆς ἁλουργίδος καὶ κρείττονες ἦσαν χρημάτων τὸν ἀμείωτον θησαυρὸν ἔχοντες τοῦ Ἁγίου Πνεύματος. Ἐλάλουν δὲ **[729]** καὶ ἑτέραις γλώσσαις, «καθώς», φησιν, «τὸ Πνεῦμα ἐδίδου ἀποφθέγγεσθαι αὐτούς»[6]. Καὶ συνίεσαν ὁμιλίαν οἱ Γαλιλαῖοι Πάρθων, Μήδων, Περσῶν καὶ ἀλλοθρόων ἄλλων ἀνθρώπων, ἔτι δὲ καὶ τὴν Ἑλλάδα καὶ Αὐσονίαν γλῶτταν· πολύφωνοί τε ἐγίνοντο καὶ ἀνεδείκνυντο οἷοί περ ἐν τῷ μέλλοντι αἰῶνι εὑρίσκεσθαι μέλλομεν τῶν τοῦδε τοῦ κόσμου ἀπολυθέντες δεσμῶν, κατὰ τὴν Παύλου φωνήν· «Ὅπου οὐκ ἔνι Ἕλλην, βάρβαρος, Σκύθης· ἀλλὰ καὶ τὰ πάντα ἐν πᾶσι Χριστός»[7]. Πρόδηλον δέ, ὡς διὰ τὸ τῆς Τριάδος ταυτούσιον εἶπε· «Πάντα ἐν πᾶσι Χριστός»[8]· ἐπεὶ ποῦ ζητοῦμεν τὸν .....

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

Περὶ τῶν λεγόντων· Διὰ τί, ὡς ὁ Υἱὸς τρανῶς Θεὸς προσηγόρευται, μὴ καὶ τὸ Ἅγιον Πνεῦμα; Καὶ περὶ τοῦ κοινὸν ὄνομα εἶναι τῇ Ἁγίᾳ Τριάδι τὸ Θεὸς καὶ τὸ Κύριος, ὡς ἡ θεότης καὶ κυριότης μία.

.....

ἢ τὸ Πατὴρ ἐνηνθρωπηκέναι νομισθείη. Τὸ καὶ περὶ τοῦ Ἁγίου Πνεύ-

---

* Τὸ τέλος τοῦ ΙΗ' κεφαλαίου ὡς καὶ ἡ ἀρχὴ τοῦ ΙΘ' δὲν διεσώθησαν.

1. Πράξ. 5,15. 2. Πράξ. 19,12. 3. Ρωμ. 15,13. 4. Πράξ. 5,3. 5. Πράξ. 5,4. 6. Πράξ. 2,4. 7. Κολ. 3,11. 8. Αὐτόθι.

ματος ἀμυδρῶς ὁμοῦ καὶ τηλαυγῶς ἐμνημόνευε πρὸς τὸ αὐτοὺς κατὰ μέρος τὴν ὄψιν φωτιζομένους εἰς νόησιν τῶν θείων λογίων καὶ κατὰ τὸν Παῦλον, «ἀπὸ δόξης εἰς δόξαν»[1] ἐρχομένους, δυνηθῆναι μαθεῖν τὰς αὐτοτελεῖς τρεῖς ὑποστάσεις. Καὶ τοῦτό ἐστιν ὅπερ ἐν ιζ' φέρεται ψαλμῷ· «Λαός, ὃν οὐκ ἔγνων, ἐδούλευσέ μοι, εἰς ὑπακοὴν ὠτίου ὑπήκουσέ μοι»[2]. Ἀμέλει Δαυὶδ τοπικῶς τηνικαῦτα τὸν Πατέρα μόνον ἐγνῶσθαι εἰδὼς ἔψαλλεν· «Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ Θεός· ἐν δὲ **[732]** τῷ Ἰσραὴλ μέγα τὸ ὄνομα αὐτοῦ»[3]. Ἐπιφανέντος δὲ τοῦ Θεοῦ Λόγου καὶ πιστευθέντος, ἡ Νέα Διαθήκη ἤρξατο καὶ αὐτὸν μὲν τρανέστερον κηρύττειν Θεόν, κατὰ μέρος δέ, πρὸς τὴν δύναμιν τῶν δεχομένων, ἐχορήγει πάλιν ἡσύχως τὴν περὶ τοῦ Ἁγίου Πνεύματος γνῶσιν. Τοῖς γὰρ ἄρτι κεκλημένοις εἰς ἐπίγνωσιν ἀληθείας καὶ οὐκ ἐντριβῆ τοῖς ἐπ' αὐτῇ θεωρήμασι τὴν διάνοιαν ἔχουσι δυσπρόσιτός πως εἶναι ἐδόκει ἡ τοιάδε τελειωτάτη πίστις. Καὶ τί δεῖ περὶ τούτου διαπορεῖν, ἔχοντας εἰς ἀπόδειξιν τοὺς περὶ τὸ χάος κάτω νενευκότας καὶ ἕως τῆς δεῦρο μηδὲ τῇ θεότητι τοῦ Μονογενοῦς πιστεύοντας; Οὐκ ἁμάρτυρα δὲ ταῦτα Παῦλος ποιεῖ, γράφων Κορινθίοις μὲν τὸ πρῶτον· «Κἀγώ, ἀδελφοί, οὐκ ἠδυνήθην λαλῆσαι ὑμῖν ὡς πνευματικοῖς, ἀλλ' ὡς σαρκικοῖς. Ὡς νηπίους ἐν Χριστῷ γάλα ὑμᾶς ἐπότισα καὶ οὐ βρῶμα· οὔπω γὰρ ἠδύνασθε· ἀλλ' οὐδὲ ἔτι νῦν δύνασθε· ἔτι γὰρ σαρκικοί ἐστε»[4]· Ἑβραίοις δέ· «Καὶ γὰρ ὀφείλοντες εἶναι διδάσκαλοι διὰ τὸν χρόνον, πάλιν χρείαν ἔχετε τοῦ διδάσκειν ὑμᾶς, τίνα τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ Θεοῦ· καὶ γεγόνατε χρείαν ἔχοντες γάλακτος, οὐ στερεᾶς τροφῆς. Πᾶς γὰρ ὁ μετέχων γάλακτος ἄπειρος λόγου δικαιοσύνης· νήπ ος γάρ ἐστι· τελείων δέ ἐστιν ἡ στερεὰ τροφὴ τῶν διὰ τὴν ἕξιν τὰ αἰσθητήρια γεγυμνασμένα ἐχόντων πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ»[5]. Ἀρκεῖ οὖν ὁ Πατὴρ λέγων Πνεῦμα εἶναι αὐτὸ ἑαυτοῦ· ἀρκεῖ δὲ καὶ ὁ Υἱὸς θεσπίσας δι' ἑνὸς μὲν ὀνόματος τριῶν δὲ ὑποστάσεων ὁμοτίμων πᾶσαν τὴν οἰκουμένην εἰς ἑνότητα συνάγεσθαι πίστεως. Εἰ γὰρ τοῦ Πατρὸς τὸ ὄνομα Θεός· εὖ δῆλον, ὡς, ὅπερ ἐστὶν ὁ Πατὴρ (τοῦτ' ἔστιν Θεός), τοῦτο ὑπάρχει ὅ τε Υἱὸς τό τε Ἅγιον Πνεῦμα τοῦ Θεοῦ. Ὅπερ καὶ τὰ σεραφὶμ δηλοῖ λέγοντα τρίτον «Ἅγιος»[6] καὶ ἅπαξ «Κύριος»[7]. Καὶ ἐτέρωθι δὲ οὐκ ἄλλο ἢ τοῦτο διδάσκων ἔλεγεν ὁ Υἱὸς περὶ μὲν ἑαυτοῦ τοῖς μὴ πιστεύουσιν αὐτῷ, ὡς Θεῷ ἀληθινῷ· «Ἐγὼ ἐν τῷ ὀνόματι τοῦ Πατρός μου ἐλήλυθα (τοῦτ' ἔστι Θεὸς τοιοῦτος, οἷος ἐκεῖνος) καὶ οὐ λαμβάνετέ με (ἀντὶ τοῦ οὐ πιστεύετέ μοι), ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ὀνόματι τῷ ἰδίῳ ἐκεῖνον λήψεσθε»[8], τὸν Ἀντίχριστον ὑπεμφαίνων, περὶ δὲ τοῦ Ἁγίου **[733]** Πνεύματός φησιν· «Τὸ Πνεῦμα, ὃ πέμψει ὁ Πατὴρ ἐν τῷ ὀνόματί μου»[9]. Καὶ ὃν τρόπον τὴν ἕνωσιν καὶ τὸν σύνδεσμον τῆς ἀκροτάτης καὶ ἀπερι-

1. Β' Κορ. 3,18. 2. Ψαλ. 17,44. 3. Ψαλ. 75,2. 4. Α' Κορ. 3,1-3. 5. Ἑβρ. 5,12-14. 6. Ἡσ. 6,3. 7. Αὐτόθι. 8. Ἰω. 5,43. 9. Ἰω. 14,26.

γράφου θεϊκῆς εἰρήνης εἰσάγων εἶπε· «Πνεῦμα Κυρίου ἐπ' ἐμέ»[1]· καί· «Ἐγὼ ἐν τῷ Πατρί, καὶ ὁ Πατὴρ ἐν ἐμοί»[2]· καί· «Ὁ Πατὴρ ὁ ἐν ἐμοὶ μένων»[3]· καὶ· «Κατέβη», φησίν, «ἐξ οὐρανοῦ τὸ Πνεῦμα καὶ ἔμεινεν ἐπὶ τὸν Χριστόν[4]· οὕτως ἐνταῦθα ἓν ὄνομα ἐδήλωσεν εἰπὼν ἑαυτὸν μὲν ἐν τῷ ὀνόματι τοῦ Πατρός, τὸ δὲ Ἅγιον Πνεῦμα ἐν τῷ ὀνόματι τῷ αὐτοῦ ἐληλυθέναι· καὶ ἀπὸ τοῦ προστάξαι βαπτίζειν «εἰς τὸ ὄνομα»[5] καὶ οὐχὶ «εἰς τὰ ὀνόματα», ὡς ἑνὸς ὀνόματος τῇ Τριάδι ὄντος, τοῦ «Θεὸς» καὶ μιᾶς οὐσίας καὶ δόξης. Καὶ ὁ μὴ ἔχων τὸ Πνεῦμα οὐδὲ τὸν Υἱὸν ἔχει· καὶ ὁ μὴ ἔχων τὸν Υἱὸν οὐδὲ τὸν Πατέρα ἔχει· καὶ ἔστι τὸ πᾶν ὁ τοιοῦτος ἄθεος, ὡς ὁ ἐκ τοῦ ἐναντίου μακαριώτατος. Φασὶ γάρ·

Ὅλβιος, ὅστε Θεοῖο σοφῆς ἀπέλαυσεν ἀρωγῆς,
Αὐτὸς ἑοῖς στέρνοισι φέρων Θεὸν ἀστυφέλικτον.

Τὸ ἓν τοίνυν ὄνομα τοῦτο καὶ ἡ Παλαιὰ Διαθήκη ἐμήνυσεν, ὅτε τῷ Ἰακὼβ συγκαταβὰς ἐπάλαισεν ὁ Θεός. Φησὶ γάρ, «Ἵνα τί ἐρωτᾷς τὸ ὄνομά μου» ; Καὶ τοῦτό ἐστιν θαυμαστόν, ὅπερ ὑμνεῖ Δαυὶδ ψάλλων· «Κύριε, ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ»[7]· καὶ πάλιν· «Ἐμεγάλυνας ἐπὶ πάντας τὸ ὄνομα τὸ ἅγιόν σου»[8] ἀφεὶς τὸ λέγειν· Ἐν τῷ Ἰσραὴλ μόνῳ. «Οὐ γάρ ἐστιν ἕτε[736]ρον ὄνομα δεδομένον ὑπὸ τὸν οὐρανόν, ἐν ᾧ δεῖ σωθῆναι»[9]. Καὶ Ζαχαρίας δὲ λέγει· «Καὶ ἔσται Κύριος εἰς βασιλέα ἐπὶ πᾶσαν τὴν γῆν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. Ἔσται Κύριος, Κύριος εἷς, καὶ τὸ ὄνομα αὐτοῦ ἓν κυκλοῦν πᾶσαν τὴν ἔρημον»[10]· καὶ πάλιν ὁ Ἱεροψάλτης· «Αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν εἰς τὸν αἰῶνα καὶ γνώτωσαν ὅτι τὸ ὄνομά σου Κύριος· σὺ εἶ μόνος Ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν»[11]. Εἰ γὰρ μιᾷ τις ἀφορίσῃ ὑποστάσει τὸ «Ὁ Θεὸς»[12] καὶ τὸ «Κύριος»[13] καὶ «Μόνος Ὕψιστος»[14], ἐκβάλλει τὴν ἑτέραν. Καὶ ἀπὸ τῆς φυσικῆς δὲ ἡμῶν κινήσεως καὶ τῆς συνηθείας ἐστὶ τούτῳ ἐπιστῆναι. Εὐχόμενοι γὰρ εἴτε εἴπομεν «Κύριε, ἐλέησον»[15] εἴτε «Ὁ Θεός, βοήθησον»[16] εἴτε τὰ συναμφότερα, οὐ διαμαρτάνομεν τοῦ σκοποῦ· συμπεριλαμβάνομεν γὰρ τὴν ἐν μιᾷ θεότητι Ἁγίαν Τριάδα. Ἡ οὖν μὴ ἀγράφῳ διαστροφῇ τὰς προκειμένας μεγαλοφυεῖς περὶ τοῦ Πνεύματος τοῦ Θεοῦ ἐγγράφους καὶ ἀναμφιβόλους ἀποδείξεις, ἀκυροῦν βιαζέσθωσαν ἢ λεγέτωσαν καὶ αὐτοί, πῶς τὸν Υἱὸν παραπλησίως ἡμῶν καλοῦσι Θεὸν

---

1. Ἡσ. 61,1. Λουκ. 4,18. 2. Ἰω. 14,11. 3. Ἰω. 14,10. 4. Πρβλ. Ἰω. 1,32. 5. Ματθ. 28,19. 6. Πρβλ. Γεν. 32,30. 7. Ψαλ. 8,2. 8. Ψαλ. 137,2. 9. Πράξ. 4,12. 10. Ζαχ. 14,9-10. 11. Πρβλ. Ψαλ. 82,18-19. 12. Μάρκ. 10,18. Λουκ. 18,19. 13. Ψαλ. 82,19. 14. Αὐτόθι. 15. Πρβλ. Ματθ. 9,27. 16. Ψαλ. 69,6.

καὶ ἀγαθὸν τῶν Γραφῶν λεγουσῶν· «Εἷς ὁ Θεός»[1]· καὶ «Οὐδεὶς ἀγαθός, εἰ μὴ εἷς ὁ Θεός»[2]. Ἢ πῶς τὸν Πατέρα λέγουσιν ἅγιον καὶ Κύριον ἀκούοντες· «Εἷς ἅγιος, εἷς Κύριος Ἰησοῦς Χριστός»[3]· καὶ πάλιν· «Ὁ δὲ Κύριος τὸ Πνεῦμά ἐστιν»[4].

ΚΕΦΑΛΑΙΟΝ Κ′

Περὶ τοῦ τὸν χοϊκὸν ἄνθρωπον μὴ ἔχειν τὸ Ἅγιον Πνεῦμα, ἀλλὰ τὸν πιστὸν καὶ βαπτίσματος καταξιωθέντα· αὐτόν τε δύνασθαι πρὸς τὸ μέτρον τῆς φύσεως ἡμῶν καὶ τὴν δόξαν τοῦ Ἁγίου Πνεύματος, τῷ τῆς ψυχῆς ὄμματι καθορᾶν.

Διορίζει δὴ οὖν ἡμᾶς ὁ τὴν οἰκονομίαν πιστευθεὶς Ἀπόστολος καὶ τοὺς μὲν πνευματικοὺς καλεῖ, τοὺς δὲ ψυχικούς, τοὺς δὲ σαρκικοὺς ἢ χοϊκούς, ἀπὸ τοῦ πλείονος καὶ ἐπικρατοῦντος ἑκάστοις τὰς τοιάσδε **[737]** προσηγορίας ἁρμόσας. Καὶ γὰρ ψυχὴν μέν, ἣν καὶ πνεῦμά φαμεν, ἔτι δὲ καὶ τὸ διὰ τοῦ στόματος ἀναπνεόμενον ἀνύπαρκτον πνεῦμα, ὃ καὶ ἄσθμα καλοῦμεν, πᾶς ἄνθρωπος ἔχει· τὸ δὲ Ἅγιον Πνεῦμα τοῦ Θεοῦ οὐ πᾶς ὁστισοῦν καταπεπλούτηκεν. «Πνευματικοὺς»[5] τοίνυν προσαγορεύει τοὺς ἐμπρεπέσιν ἐνθυμήσεσι καὶ πράξεσιν οἱονεί πως ἀναθρώσκοντας καὶ τῆς ἑαυτῶν φύσεως ἀνωτέρω χωροῦντας καὶ τὰς μὲν αἱρετικὰς θεοστυγεῖς νοήσεις ἀποσκευαζομένους, τὸ δὲ ἀνυμνεῖν τὸ Ἅγιον Πνεῦμα Θεὸν περιπτυσσομένους καὶ ἑαυτοὺς διὰ τούτων ἀξίους τῆς ἐπιφοιτήσεως αὐτοῦ ἀποφαίνοντας. Οὗτοι γὰρ μόνοι ἔχουσί τε αὐτὸ καταμένον παρ' αὐτοῖς, ἅμα τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ θείῳ αὐτοῦ φωτὶ καταλάμπονται καὶ πνευματικοὶ ἀποτελοῦνται, ἐξομοιούμενοι κατὰ δύναμιν οἱ φωτιζόμενοι τῷ φωτίζοντι καὶ μεταλαμβάνοντες ὡς τοῦ φωτός, οὕτω καὶ τοῦ ὀνόματος καὶ εἰσδεχόμενοι ἐν ἑαυτοῖς ῥέουσαν ἀνεμποδίστως τῆς θείας χάριτος τὴν μετάδοσιν· εἶτα λοιπὸν καὶ τῷ πτερῷ αὐτοῦ, τῷ κατελθόντι σωματικῷ εἴδει περιστερᾶς ἀνίπτανται τὴν καρδίαν καὶ τὴν διαβολικὴν ἐκφεύγοντες παγίδα, ἐρρῶσθαί τε πρὸς τὰ ἄστατα καὶ ἀβέβαια τοῦ βίου φράζοντες, τὴν μὲν μεγαλοπρέπειαν αὐτοῦ θεωροῦσιν ὑπεράνω πάντων τῶν οὐρανῶν ἐπηρμένην, καὶ ὑπὸ τῶν ἄνω δυνάμεων δοξαζομένην καὶ προσκυνουμένην σὺν τῷ Πατρὶ καὶ τῷ Υἱῷ· καὶ ὅσῳπερ ἂν ἀγόμενοι πρὸς τὸν ἐκείνου πόθον, ἐγγυτέρω αὐτοῦ τῇ προθέσει γίνονται, τόσῳ δὴ μᾶλλον αὐτοῦ τὸ ἀκατάληπτον τῆς θεότητος νοοῦσιν, ὡς ἅπαξ τῆς ἔνδοθεν ὄψεως τὸ ὄμμα καθαρὸν κεκτημένοι ἀπὸ πάντων τῶν

---

1. Μάρκ. 10,18. Λουκ. 18,19. 2. Αὐτόθι. 3. Πρβλ. Α′ Κορ. 8,6. 4. Β′ Κορ. 3,17. 5. Α′ Κορ. 2,13,15.

ἐπιπροσθούντων· καὶ ὃν ἰδεῖν οὕτως, ὥς ἐστιν, καὶ χωρῆσαι ὅλον, διὰ τὴν τῆς φύσεως ἡμῶν πολλὴν ὕφεσιν, οὐ δύνανται, τοῦτον ὡς ἐγχωρεῖ, ὁρῶσι καὶ ὑποδέχονται διὰ τὴν ἔφεσιν.

Κατανοοῦντες τέως, οἷα δ' ἄν τις μεγάλα εἴπῃ, περὶ αὐτοῦ, τῆς ἀκριβοῦς ἀληθείας ἀφέστηκεν, οὐχ ὅσον οὐρανός ἐστιν ἀπὸ γῆς μόνον, ἀλλ' ἔτι πολλῷ πλέον, κράζουσιν μετὰ τοῦ Ἱεροψάλτου· «Ἐγὼ εἶπα ἐν τῇ ἐκστάσει μου· Πᾶς ἄνθρωπος ψεύστης»[1], οὐχὶ τῷ φεύγειν τὴν Θεῷ φίλην ἀλήθειαν, ἀλλὰ τῷ μηδὲν ἄξιον δύνασθαι νοῆσαι ἢ φράσαι περὶ τῆς θεότητος τοῦ Ἁγίου Πνεύματος· οὐ περὶ μεγέθους ἢ φωτός· πάντα γὰρ ἔχει ὑφ' ἑαυτὸ καὶ φωτίζει καί ἐστιν ἐν πᾶσιν· οὐ περὶ δυνάμεως· πάντα γὰρ ὑπ' αὐτοῦ ἐστήρικται καὶ ζωογονεῖται· οὐ περὶ σχήματος ἢ ποιότητος· ἀόρατος γὰρ καὶ ἀκατάληπτος, ὡς πνοὴ Παντοκράτορος (εἰ γὰρ ὁ **[740]** παντοκράτωρ Πατὴρ ἀσχημάτιστος καὶ ἀόρατος, καθ' ὃ καὶ ὑπερασώματος καὶ ὑπὲρ πᾶσαν νόησιν ἀναβεβηκώς, δῆλον ὅτι καὶ τὸ ἐξ αὐτοῦ ἐκπορευόμενον ζωογόνον Πνεῦμα)· οὐ περὶ ἀγαθότητος ἢ ἀιδιότητος ἢ δόξης θεϊκῆς· Πνεῦμα γάρ ἐστιν Ἅγιον, ἐξ Ἁγίου Θεοῦ Πατρὸς ἐκφανθέν. Διαλέγεται οὖν πρὸς τοὺς πνευματικοὺς οὑτωσεί· «Ὑμεῖς οὐκ ἐστὲ ἐν σαρκί, ἀλλ' ἐν Πνεύματι, εἴπερ Πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν»[2]· καὶ πάλιν· «Ἀδελφοί, ἐὰν καὶ προληφθῇ ἄνθρωπος ἐξ ὑμῶν ἔν τινι παραπτώματι, ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον ἐν πνεύματι πραότητος»[3]. Ἐγράφη δὲ καὶ περὶ τοῦ Δανιήλ, ὅτι «Πνεῦμα περισσὸν ἦν ἐν αὐτῷ»[4], αἰνιγματωδῶς δὲ τὸ Ἅγιον ἐδηλοῦτο Πνεῦμα. Ψυχικοὺς δὲ ὀνομάζει Ἕλληνας, Ἰουδαίους καὶ αἱρετικούς, ἐπειδὴ συλλογισμοῖς καὶ διαλογισμοῖς στρεβλοῖς ἐναβρυνόμενοι γνωσιμαχοῦσι καὶ οὐχ ὁμολογοῦσι Θεὸν τὸ Ἅγιον Πνεῦμα τοῦ Θεοῦ. Ἐπιστέλλει δὲ καὶ πρὸς αὐτοὺς οὕτω που· «Ψυχικοὶ Πνεῦμα μὴ ἔχοντες»[5]· καὶ αὖθις· «Ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ Πνεύματος τοῦ Θεοῦ· μωρία γὰρ αὐτῷ ἐστιν καὶ οὐ δύναται γνῶναι». «Ὁ δὲ πνευματικὸς ἀνακρίνει μὲν πάντας, αὐτὸς δὲ ὑπ' οὐδενὸς ἀνακρίνεται»[6]. Καὶ πάλιν, τὸ πρὸς τὴν μόνην ἡμερωτάτην φύσιν, ἐπίκοινον τοῦ Ἁγίου Πνεύματος δηλῶν ἔφη· «Εἴ τις κοινωνία Πνεύματος»[7]. Σαρκικοὺς δὲ ἢ χοϊκοὺς καλεῖ τοὺς τῇ γῇ κατανενευκότας· ἐπειδὴ ἀκρασίαν λυττῶντες καὶ τὰ δι' αβεβλημένα τοῖς τιμίοις παραμετροῦντες καὶ τοῖς ὑλικοῖς ὑποκαθήμενοι πάθεσιν καὶ ὡσανεὶ βορβόρῳ ταῖς αἰσχραῖς ἀεὶ ἐγκυλινδούμενοι πράξεσι καὶ αὐτοὶ παράλληλοί πως τοῖς ψυχικοῖς καθεστᾶσιν. Ὡς γὰρ ὑπό τινος λήμης τὸ διορατικὸν τῆς ψυχῆς ἄμφω ἐπισκεπτόμενοι, οὐ δύνανται καταλάμπεσθαι ὑπὸ τοῦ ἀειζώου καὶ ἀπόνου φωτὸς τοῦ Ἁγίου Πνεύματος· ἀλλ' ἐν ἀποπτώσει γίνονται καὶ ἐσπάμπαν ἀπόλλυνται, ὡς μύρον βορβόρῳ συμπλακέν· οὐδὲ συνιέν-

---

1. Ψαλ. 115,2. 2. Ρωμ. 8,9. 3. Γαλ. 6,1. 4. Δαν. (Θδτ.) 5,12. 6,4. 5. Ἰούδα 19. 6. Α' Κορ. 2,14,15. 7. Φιλιπ. 2,1.

τες τάχα, ὡς τοῦ ἑνὸς καὶ μόνου στεροῦνται ἀγαθοῦ. Πηλίκη γὰρ ἡ ἐντεῦθεν ζημία, μᾶλλον δὲ παντελὴς ἀπώλεια, οὐδεὶς λόγῳ παραστῆσαι δύναται, κἂν πάσῃ χρήσηται δ ανοίας ὑπερβολῇ. Διαγορεύει δὲ καὶ περὶ τούτων ὁ μὲν Θεὸς ἐν τῇ Γενέσει τοιῶσδε· «Οὐ μὴ καταμείνῃ τὸ Πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις εἰς τὸν αἰῶνα, διὰ τὸ εἶναι αὐτοὺς σάρκας»[1]· ὁ δὲ Παῦλος· «Οἷος ὁ χοϊκὸς ἄνθρωπος, τοιοῦτοι καὶ οἱ χοϊκοί· καὶ οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι»[2]· ἡ δὲ Σοφία· «Σκολιοὶ γὰρ λογισμοὶ χωρίζουσιν ἀπὸ Θεοῦ· δοκιμαζομένη δὲ ἡ δύναμις ἐλέγχει τοὺς ἄφρο[741]νας· ὅτι εἰς κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία οὐδὲ κατοικήσει ἐν σώματι κατάχρεῳ ἁμαρτίας»[3].

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'

Περὶ τῶν λεγόντων, ὅτι ἐν τῷ Ἁγίῳ Πνεύματι δοξάζεται ὁ Θεός, οὐ μὴν τὸ Ἅγιον Πνεῦμα. Καὶ περὶ τοῦ· «Οὐδεὶς δύναται εἰπεῖν Κύριον Ἰησοῦν, εἰ μὴ ἐν Πνεύματι Ἁγίῳ». Καὶ περὶ τοῦ τὸ ἀναγεννᾶν τῷ βαπτίσματι τοῦ δοξάζεσθαι ἢ προσκυνεῖσθαι μεῖζον καὶ τιμιώτερον καθεστάναι.

Οὐχ ὡς αἱρετικοῖς δοκεῖ διὰ τὸ δοξάζεσθαι τὸν Θεὸν ἐν τῷ Ἁγίῳ Πνεύματι καὶ ἐν αὐτῷ, καθὰ δι' ὀργάνου τινός, πᾶσαν λατρείαν ἀναπέμπεσθαι, λέγει Ἰωάννης μέν· «Τοὺς δὲ προσκυνοῦντας τὸν Θεὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν»[4]. Παῦλος δέ· «Οὐδεὶς δύναταί εἰπεῖν Κύριον Ἰησοῦν, εἰ μὴ ἐν Πνεύματι Ἁγίῳ»[5] καὶ ὅσα τοιαῦτα. Μάλιστα μὲν γὰρ τὸ «Ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν»[6] ἀντὶ τοῦ, ἐξ ὅλης ψυχῆς καὶ ἀνυποκρίτως εἶπε τῇ Σαμαρείτιδι ὁ Σωτὴρ νομιζούσῃ ἐν τόπῳ ὡρισμένῳ τὸν Θεὸν προσκυνεῖσθαι καὶ λεγούσῃ αὐτῷ· «Οἱ πατέρες ἐν τῷ ὄρει τούτῳ τὸν Θεὸν προσεκύνησαν»[7]. Ὅτι γὰρ τῷ Ἁγίῳ Πνεύματι, ὡς Θεῷ, προσκύνησις καὶ λατρεία προσφέρεται, Παῦλος ἔγραψεν· «Οἱ Πνεύματι Θεοῦ λατρεύοντες»[8]. Εἰ δὲ μὴ καταβαίνει αὐτοῖς ἡ ὄντως ἀλήθεια, ἀκουέτωσαν, ὅτι οὔκουν, Ἐν Πνεύματι καὶ Υἱῷ, εἶπεν. Αὐτὸς γὰρ παρ' Ἰωάννῃ λέγει· «Ἐγώ εἰμι ἡ ἀλήθεια»[9]. Καὶ ὃν τρόπον ἐν τῷ Υἱῷ προσκυνοῦντες τὸν Πατέρα, προσκυνοῦμεν καὶ τὸν Υἱόν, τὸν ἴσον τρόπον ἐν τῷ Ἁγίῳ Πνεύματι προσκυνοῦντες, συμπροσκυνοῦμεν καὶ αὐτό. Τὸ δὲ «Οὐδεὶς δύναται εἰπεῖν Κύριον Ἰησοῦν, εἰ μὴ ἐν Πνεύματι Ἁγίῳ»[10],

---

1. Γεν. 6,3. 2. Α' Κορ. 15,48. 3. Σ. Σολ. 1,3-4. 4. Πρβλ. Ἰω. 4,24. 5. Α' Κορ. 12,3. 6. Ἰω. 4,24. 7. Ἰω. 4,20. 8. Φιλιπ. 3,3. 9. Πρβλ. Ἰω. 14,6. 10. Α' Κορ. 12,3.

τοῦτο δηλοῖ ἀντὶ τοῦ, Αἱρεσιομάχοι οὐ μετέχουσι τοῦ θεϊκοῦ Πνεύματος· οἱ δὲ μὴ μετέχοντες ἡνωμένου αὐτοῦ τῷ Υἱῷ τῇ φύσει, οὐ δύνανται τὴν μνημονευθεῖσαν ἀξίως ῥῆξαι φωνήν. Ὁμοιότροπον γὰρ περὶ μὲν τοῦ Πατρός. . . . . *

ΚΕΦΑΛΑΙΟΝ ΚΒ′

Περὶ τοῦ, διὰ τὸ τέλειον τῆς περὶ τὸ Ἅγιον Πνεῦμα καὶ τὸν Υἱὸν πίστεως, μείζονα εἶναι τὴν Ἐκκλησίαν τῆς συναγωγῆς.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ′

Καὶ περὶ δοξολογίας.

Ὀφείλεσθαι δὲ αὐτῷ δόξαν οὐκ ἐκ τῆς μνημονευθείσης ἐν τοῖς προάγουσι μόνον τοῦ Κυρίου δεδιδάγμεθα παραδόσεως, ἀλλὰ διαφόρως· ὡς, ὅταν Πέτρος γράφῃ· «Εἰ ὀνειδίζεσθε ἐν ὀνόματι Χριστοῦ, μακάριοί ἐστε· ὅτι τὸ τῆς δόξης καὶ δυνάμεως Πνεῦμα ἐφ' ὑμᾶς ἀναπέπαυται»[1]· Καὶ ὡς ἡνίκα τὸν ὀφθέντα τῷ Ἡσαΐᾳ ἐπὶ θρόνου θεϊκοῦ ἐπηρμένον καὶ **[744]** δοξαζόμενον βασιλέα καὶ Κύριον δυνάμεων, ὁ Ἀπόστολος τὸ Ἅγιον εἶναι δείκνυσι Πνεῦμα· καὶ ὡς ὅταν ὁ αὐτὸς ἐπιστέλλῃ, κοινωνίαν εἶναι φάσκων τῷ Πνεύματι πρὸς τὸν Πατέρα καὶ τὸν Υἱόν, δῆλον δὲ ὅτι θεότητος καὶ βασιλείας καὶ δόξης, ὡς προείρηται καὶ αὖθις ῥηθήσεται οὕτως Κορινθίοις ἐν τῇ δευτέρᾳ Ἐπιστολῇ· «Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρός, καὶ ἡ κοινωνία τοῦ Ἁγίου Πνεύματος»[2]· καὶ ἑτέρωθί φησιν· «Εἴ τις κοινωνία Πνεύματος»[3]. Ἐφεσίοις δέ· «Σπουδάζοντες τηρεῖν τὴν ἑνότητα τοῦ Πνεύματος ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης»[4]. Κατανόησον, ὡς ἑνότητα εἶπε διὰ τὴν πρὸς τὸν Πατέρα τῆς φύσεως ἕνωσιν. Καὶ πάλιν Κορινθίοις· «Ἢ οὐκ οἴδατε, ὅτι τὰ σώματα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν Ἁγίου Πνεύματός ἐστιν, οὗ ἔχετε ἀπὸ τοῦ Θεοῦ καὶ οὐκ ἐστὲ ἑαυτῶν; Ἠγοράσθητε γὰρ τιμῆς. Δοξάσατε δὴ τὸν Θεὸν τὸν ἐν τοῖς σώμασιν ὑμῶν»[5]· τοῦτ' ἔστιν, τὸ Ἅγιον Πνεῦμα. Καὶ πάλιν προαναφωνήσας «Ὁ δὲ Κύριος τὸ Πνεῦμά ἐστιν»[6] ἐπάγει· «Ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμενοι, τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ Κυρίου Πνεύματος»[7]· καὶ πάλιν· «Εἰ δὲ ἡ διακονία τοῦ θανάτου ἐν γράμμασιν ἐντετυπωμένη λίθοις ἐγενήθη ἐν δόξῃ, ὥστε μὴ δύνασθαι

---

* Τὸ τέλος τοῦ ΚΑ′ κεφαλαίου ὡς καὶ ὁλόκληρον τὸ ΚΒ′ δὲν διεσώθησαν.

1. Α′ Πέτρ. 4,14. 2. Β′ Κορ. 13,13. 3. Φιλιπ. 2,1. 4. Ἐφ. 4,3. 5. Α′ Κορ. 6,19-20. 6. Β′ Κορ. 3,17. 7. Β′ Κορ. 3,18.

ἀτενίσαι τοὺς υἱοὺς Ἰσραὴλ εἰς τὸ πρόσωπον Μωϋσέως, διὰ τὴν δόξαν τοῦ προσώπου αὐτοῦ τὴν καταργουμένην· πῶς οὐχὶ μᾶλλον ἡ διακονία τοῦ Πνεύματος ἔσται ἐν δόξῃ»[1] παραπλησία τῷ ὑπὸ Ἰωάννου εἰρημένῳ· «Ἴδομεν τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρὰ Πατρός· πλήρης χάριτος καὶ ἀληθείας»[2]. Καὶ ὁ σοφὸς Ζοροβάβελ φησίν· «Πᾶσα ἡ γῆ τὴν ἀλήθειαν καλεῖ καὶ ὁ οὐρανὸς εὐλογεῖ καὶ πάντα τὰ ἔργα σείεται καὶ τρέμει»[3]· ἀλήθειαν δὲ τὸ Ἅγιον Πνεῦμα λέγει, ὡς ἀνωτέρω μεμαρτύρηται. Καὶ αὐτὸ δὲ τὸ Πνεῦμα τοῦ Θεοῦ διὰ τοῦ Ψαλμῳδοῦ λέγει· «Τοὺς δοξάζοντάς με δοξάσω καὶ οἱ ἐξουθενοῦντές με ἐξουθενηθήσονται»[4]. Ὅτι δὲ καὶ συμπροσκυνεῖται τῷ Πατρὶ καὶ τῷ Υἱῷ, ὁ προπάτωρ ἐδίδαξεν ἐν τῇ δρυὶ τῇ Μαμβρῇ, τὴν Ἁγίαν ὁμοτίμως δε**[745]**ξιωσάμενος καὶ προσκυνήσας Τριάδα[5], ὡς ἐν τῷ πρώτῳ εἴρηται λόγῳ. Καὶ ὁ Παῦλος δὲ ἔγραψεν, ὡς ἀνωτέρω εἰς τὰς θεολογίας τοῦ Πνεύματος ἐδείχθη, ὅτι «Πεσὼν ἐπὶ πρόσωπον προσκυνήσει»[6]. Αἱρετικοὶ δέ, τῷ περὶ τὸ βάπτισμα δεσποτικῷ θεσπίσματι καὶ τῷ Ἀποστόλῳ ἀντινομοθετοῦντες καὶ περὶ πλείονος ποιούμενοι, μήποτε φωραθεῖεν ἀπηχὲς μὴ προέμενοι κατὰ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, κατ' οἰκείαν ὥσπερ σύνθεσιν τὴν δοξολογίαν ἀναπέμπουσι.

ΚΕΦΑΛΑΙΟΝ ΚΔ'

Περὶ τῶν ἀντιδιατατταμένων καὶ παρερμηνευόντων τὰς Γραφὰς αἱρετικῶν. Ἐν ταὐτῷ, περὶ τοῦ μὴ παραβλέπειν Πατέρας.

Τοὺς δὲ ἀντιδιατατταμένους καὶ ἰδίαις παραδόσεσιν ἐναμείβοντας τὴν ἐντολὴν τοῦ Θεοῦ, μάτην ἐλπίζειν τῆς βασιλείας αὐτοῦ τυχεῖν ὁ Σωτὴρ διδάσκων ἐν τῷ κατὰ Μᾶρκον Εὐαγγελίῳ, τοῖς Φαρισαίοις παραπλήσια αἱρετικοῖς φρονήσασιν εἶπε· «Διὰ τί ἀθετεῖτε τὴν ἐντολὴν τοῦ Θεοῦ, ἵνα τὴν παράδοσιν ὑμῶν τηρήσητε; Μωϋσῆς γὰρ εἶπεν· Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου· καί· Ὁ κακολογῶν πατέρα ἢ μητέρα θανάτῳ τελευτάτω. Ὑμεῖς δὲ λέγετε· Ἐὰν εἴπῃ ἄνθρωπος τῷ πατρὶ ἢ τῇ μητρί, Κορβάν, ὃ ἐὰν ἐξ ἐμοῦ ὠφελήθης· καὶ οὐκ ἔτι ἀφίετε αὐτὸν οὐδὲν ποιῆσαι τῷ πατρὶ αὐτοῦ ἢ τῇ μητρὶ αὐτοῦ, ἀκυροῦντες τὸν λόγον τοῦ Θεοῦ, τῇ παραδόσει ὑμῶν»[7]. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· Ὁ τοῦ φιλοψύχου Θεοῦ νόμος παρακελεύεται μὴ ἀθετεῖσθαι, μήτε κακηγορεῖσθαι πατέρας, καθὰ προγέγραπται· ὡς δ' αὖ πάλιν ἀγαπᾶσθαι τοὺς παῖδας ὑπ' αὐτῶν καὶ μὴ παροργίζε-

---

1. Β' Κορ. 3,7-8. 2. Πρβλ. Ἰω. 1,14. 3. Α' Ἔσδρ. 4,36. 4. Πρβλ. Α' Βασ. 2,32. 5. Πρβλ. Γεν. 18,1-2. 6. Α' Κορ. 14,25. 7. Μάρκ. 7,9-13.

σθαι[1] προστάττει. Τὸ δὲ Ἰσραηλιτῶν ἔθος ἐβούλετο ἕκαστον τοῦ λαοῦ, ἀφιεροῦντα ἑαυτὸν τῷ ναῷ, φανερὰ πρὸς τὴν δύναμιν προσφέρειν τῷ ἱερῷ, ἅτινα ἐλέγετο Κορβάν, ὃ ἑρμνεύεται δῶρον, ὡς δὴ τῷ Θεῷ ἀνακείμενα· κέρδος δὲ ἐγίνετο τῶν ἱερέων. Ὀκνηρῶς οὖν ἐχόντων μάλιστα τῶν πατράσι τὰ ἀναγκαῖα χορηγεῖν ὀφειλόντων πρὸς τοῦτο τὸ δῶρον καὶ καλῶς λεγόντων, ὅτι οὐ θεμιτὸν τὸν ὀφείλοντα μὴ ἀποτῖσαι, μάλιστα τοῖς γενομένοις οἱ ἱερεῖς νεαλογοῦντες ἐδίδασκον, ὥστε τοὺς γενομένους μᾶλλον ἢ τὸ προσφέρειν δῶρον παραβλέπειν καὶ τέκνοις ὑπετίθεντο λέγειν τοκεῦσιν, ὅτι Τὰ προσόντα ἡμῖν, δῶρόν ἐστιν καὶ ὅπερ ἐὰν λήψεσθε παρ' ἡμῶν, τοῦτο ἀπὸ τοῦ δώρου τοῦ ἤδη ὑποσχεθέντος ἢ ἀνατεθέντος, ὥσπερ τῷ Θεῷ ἀφαιρεῖσθε· κατεχόμεθα γάρ, φησίν, τῷ περὶ εὐχῆς λόγῳ, τῷ κελεύοντι, εὐξάμενον ἀποδιδόναι. Ἐλθὼν οὖν ὁ Θεὸς Λόγος ὁ μὴ ἐξ ἐνδείας γονέων αὐτὸς τιμᾶσθαι βουλόμενος, μήτε πατέρας υἱῶν ἀτιμοτέρους ὑπάρχειν, ἀλλὰ μήτε τούτους ἐκείνων καὶ τὴν προλεχθεῖσαν εὑρὼν ἀσεβῆ τῶν ἱερέων παράδοσιν, **[748]** ἐναντίως ἔχουσαν πρὸς τὴν ὁσίαν αὐτοῦ ἐντολήν, ἐγκαλεῖ τὰ μνημονευθέντα.

ΚΕΦΑΛΑΙΟΝ ΚΕ'

Ἐπανάληψις, ἤγουν ἐπαναδίπλωσις.

Ὑπερφυῶν τοίνυν ἀποδείξεων μαρτυρουσῶν, ὅτι ἐκ τῆς μιᾶς καὶ ἀνωτάτω θεϊκῆς φύσεως ἐξεφάνη συναϊδίως τὸ Ἅγιον Πνεῦμα καὶ ἔχει κατά τε τὴν οὐσίαν καὶ τὴν δύναμιν τὸ ἄπειρον καὶ τὸ ἄφθαρτον καὶ τὸ αὐτεξούσιον καὶ τὸ ἀγαθὸν καὶ τὸ ἅγιον καὶ τὰ προειρημένα πάντα ἀπαραλλάκτως πρὸς τὸν Πατέρα καὶ τὸν Υἱὸν οὕτως, ὥστε ἐξ αὐτοῦ γνωρίζεσθαι τὸν Θεὸν οἰκεῖν ἐν ἡμῖν· καὶ τοῦ Πατρὸς ἐκφανῶς διὰ τοῦ δεικνύειν Πνεῦμα αὐτοῦ εἶναι αὐτὸ μαρτυροῦντος, ὅτι καὶ ὁμοούσιον αὐτῷ καὶ Θεὸς ἀγένητός ἐστιν· οὐκ ἀπαξιώσαντος δὲ οὔτε τοῦ Υἱοῦ, διὰ τὴν περὶ αὐτὸ τῆς θεότητος καὶ βασιλείας καὶ δόξης κοινωνίαν· καὶ ἐν αὐτῷ χρισθῆναι καὶ ἔχειν αὐτὸ μένον παρ' αὐτῷ καὶ δι' ἑαυτοῦ προεξαγγεῖλαι τὴν ἐπιδημίαν αὐτοῦ καὶ τὴν ἰσοτιμίαν αὐτῷ ἀπονεῖμαι, ἣν καὶ ὁ Ἀπόστολος ἐφύλαξεν, ἔτι δὲ καὶ κοινωνίαν καὶ ἑνότητα αὐτοῦ ἔγραψεν· ὁμοίως δὲ καὶ πασῶν τῶν ἄλλων Γραφῶν μίαν εἶναι φύσιν θείαν δηλουσῶν καὶ ἓν ὄνομα τῇ παντίμῳ Τριάδι λεγουσῶν καὶ συνταττουσῶν αὐτὸ ἐν τοσούτοις καὶ τηλικούτοις χαρίσμασιν, ἢ μετὰ τοῦ Υἱοῦ, ἢ καὶ αὐτοῦ κατὰ μόνας ἐπὶ θεϊκῶν ἔργων καὶ δυνάμεων μνημονευουσῶν, καὶ καλουσῶν αὐτὸ κατ' ἐξαίρετον Πνεῦμα Ἅγιον, Πνεῦμα τοῦ Θεοῦ καὶ ἐκ τοῦ Θεοῦ καὶ ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται»[2] καὶ Πνεῦμα ἓν[3] καὶ Πνεῦμα ἀληθείας[4]

---

1. Πρβλ. Ἐφ. 6,4. 2. Ἰω. 15,26. 3. Α' Κορ. 12,11,12. 4. Ἰω. 15,26.

καὶ Πνεῦμα θεῖον καὶ Πνοὴ τοῦ Παντοκράτορος, ἃ καὶ μόνα αὐτάρκη πρὸς πάσας αἱρετικὰς διαστροφάς· μαρτυρουσῶν δέ, ὅτι τοῦ Θεοῦ ἡμᾶς υἱοὺς ποιεῖ καὶ θεοποιεῖ καὶ ἐλευθεροῖ καὶ ἀνακτίζει καὶ ἁμαρτιῶν ἀφέσεως ἀξιοῖ καὶ σοφίαν καὶ γνῶσιν παρέχει καὶ πᾶν τὸ πεποιημένον ἁγιάζει καὶ πληροῖ τὴν οἰκουμένην καὶ συνέχει τὰ πάντα καὶ αὐτὸ τῶν οὐρανῶν ἥδρασεν καὶ ἐνίσχυσε τὰς δυνάμεις καὶ ἀνεῴχθησαν αὐτῷ καταβαίνοντι καὶ ἀπὸ καταβολῆς κόσμου φερόμενον ἐπὶ τῶν ὑδάτων ἡγίαζεν αὐτὰ καὶ προφήτας καὶ ἀποστόλους ἐνήχησε καὶ ἔπεμψεν, ὡς Δεσπότης καὶ συνεργεῖ τῷ Πατρὶ καὶ τῷ Υἱῷ, μόνος τε οἶδε τὰ τοῦ Θεοῦ, καθὰ ὁ Μονογενὴς καὶ πνεῖ ἔνθα προείρηται, καὶ θεϊκὰ δωρεῖται ὡς βούλεται καὶ ναὸν ἔχει τὸν πιστὸν ἄνθρωπον ἴσως τῷ Πατρὶ καὶ καθάπερ εἰς τιμὴν καὶ δόξαν τῆς τοῦ Μονογενοῦς θεότητος τὸ ἅγιον Πάσχα, οὕτω καὶ τοῦ Πνεύματος ἡ ἑορτὴ τῆς Πεντηκοστῆς ἐξ ἀρχῆς ἐπετελέσθη καὶ διακονεῖ αὐτῷ ὁ Γαβριήλ, ὡς τῷ παντοκράτορι Θεῷ Πατρί· πῶς κατὰ αἱρετικοὺς οὐ Θεὸς ὁ ἡμᾶς θεοποιῶν; Καὶ οὐ Κύριος ὁ ἡμᾶς ἐλευθερῶν; Καὶ οὐ βασιλεὺς καὶ δοξαζόμενος ὁ μὴ ὑμνῶν μετὰ τῆς κτίσεως, ὁ ἡμᾶς διὰ τοῦ βαπτίσματος συμβασιλεύσειν καὶ συνδοξασθήσεσθαι Χριστῷ καταξιώσων; Καὶ γὰρ ἐν πᾶσι τοῖς προλεχθεῖσι περὶ τοῦ θείου Πνεύματος, οὐδὲν ἴδιον κτισμάτων εὑρίσκεται, οὐδ' ὑπῆρξεν οὐρανίοις δυνάμεσι συμμνημονεύεσθαι ἐπὶ θεϊκῆς δωρεᾶς ἢ ἐνεργείας ἢ δοξολογίας μετὰ τοῦ Θεοῦ **[749]** καὶ Πατρὸς καὶ τοῦ Υἱοῦ. Τὰ δὲ μὴ ἴδια τῶν ποιημάτων, δῆλον, ὅτι Θεοῦ μόνου ἴδια ὑπάρχει· Θεὸς δὲ οὐ κτίζεται. Ἀλλ' οἱ κτίσμα ἢ δοῦλον λέγοντες (ταὐτὸν γάρ ἐστιν) καὶ μὴ θεολογοῦντες καὶ δοξάζοντες αὐτό, τῇ τε δουλείᾳ τῆς Ἄγαρ συνεκβάλλονται καὶ τῇ τοῦ Χὰμ κατακρίνονται, ἀκούοντες· «Ἐπικατάρατος Χὰμ δουλεύσει τοῖς ἀδελφοῖς αὐτοῦ»[1]· μετὰ Σίμωνός τε τοῦ Μάγου ἀναγράφονται, τοῦ νομίσαντος ἀργυρίων δύνασθαι τὴν ἄπρατον ἐξαγοράσασθαι τοῦ Ἁγίου Πνεύματος χάριν· καὶ διὰ τῆς βίβλου τῶν ἀποστολικῶν Πράξεων ἀκούουσιν· «Οὐ γάρ ἐστιν ὑμῖν μερὶς οὐδὲ κλῆρος ἐν τῷ λόγῳ τούτῳ»[2].

ΚΕΦΑΛΑΙΟΝ ΚΣ'

Περὶ τῆς ὁρισθείσης ὑπὸ τοῦ Θεοῦ ἀπειλῆς κατὰ τῶν ἀθετούντων τὸν Υἱὸν αὐτοῦ καὶ τὸ Ἅγιον Πνεῦμα.

Ὡς ἀληθῶς γάρ, ἐπειδὴ μὴ ἔστιν κοινωνία τῷ σκότει πρὸς τὸ φῶς καὶ τοῖς ἐστερημένοις τῆς θείας γνώσεως πρὸς τοὺς ὑπ' αὐτῆς καταυγαζομένους· εἰκότως γέγραπται περὶ τῶν κακοδόξων· Τὸ Πνεῦμα «οὐκ ἔγνωσαν, οὐδὲ συνῆκαν· ἐν σκότει διαπορεύονται»[3]. Δικαίως δὲ

---

1. Πρβλ. Γεν. 9,25. 2. Πράξ. 8,21. 3. Ψαλ. 81,5.

καὶ ἐπιστέλλουσι περὶ αὐτῶν, ὁ μὲν Ἰωάννης, ὅτι «Ἐπ' ἐσχάτου τοῦ χρόνου ἐλεύσονται ἐμπαῖκται, κατὰ τὰς ἑαυτῶν ἐπιθυμίας πορευόμενοι τῶν ἀσεβειῶν. Οὗτοί εἰσιν οἱ ἀποδιορίζοντες ψυχικοί, Πνεῦμα μὴ ἔχοντες»[1]· ὁ δὲ Παῦλος, πρὸς μὲν Τιμόθεον· «Τὸ δὲ Πνεῦμα ῥητῶς λέγει, ὅτι ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως προσέχοντες πνεύμασι πλάνοις καὶ διδασκαλίαις δαιμονίων, ἐν ὑποκρίσει ψευδολόγων κεκαυτηριασμένων τὴν ἰδίαν συνείδησιν»[2]· πρὸς Ἑβραίους δέ· Ἀθετήσας τις νόμον Μωϋσέως, χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει· πόσῳ, δοκεῖ, τίς χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν Υἱὸν τοῦ Θεοῦ καταπατήσας καὶ τὸ αἷμα τῆς Διαθήκης κοινὸν ἡγησάμενος, ἐν ᾧ ἡγιάσθη καὶ τὸ Πνεῦμα τῆς χάριτος ἐνυβρίσας»[3]. Ἐφεσίοις δέ· «Μὴ λυπεῖτε τὸ Πνεῦμα τὸ Ἅγιον τοῦ θεοῦ, ἐν ᾧ ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως»[4]. Καὶ ὁ Δεσπότης δὲ ἐν Ματθαίῳ, τῷ ἁλόντι ἐπὶ βλασφημίᾳ τοῦ Ἁγίου Πνεύματος, ὡς ἀναπολόγητα πταίσαντι, παρατείνει τὴν κόλασιν, οὐχ ἕως τοῦ παρόντος αἰῶνος, ἀλλὰ καὶ τοῦ μέλλοντος· ἵνα σφόδρα φυλαττώμεθα τοιοῦτο μηδὲ κατὰ ἄγνοιαν ἁμαρτῆσαι, λέγων· «Πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις, ἡ δὲ εἰς τὸ Πνεῦμα βλασφημία οὐκ ἀφεθήσεται αὐτοῖς· **[752]** καὶ ὃς ἂν εἴπῃ λόγον κατὰ τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· ὃς δ' ἂν εἴπῃ κατὰ τοῦ Πνεύματος τοῦ Ἁγίου, οὐκ ἀφεθήσεται αὐτῷ, οὔτε ἐν τῷ αἰῶνι τούτῳ, οὔτε ἐν τῷ μέλλοντι»[5]. Ἄλλος δὲ ποῖός ἐστι λόγος κατὰ τοῦ Ἁγίου Πνεύματος ἢ ἄλλη ποία νοεῖται περὶ αὐτοῦ βλασφημία ἢ τὸ μὴ ὁμολογεῖν αὐτὸ Θεὸν ὁμοούσιον καὶ συνάναρχον τῷ Πατρὶ καὶ τῷ Υἱῷ; Ἰδικῶς γὰρ ἐπὶ τοῦ Θεοῦ τὸ βλασφημεῖν εἴρηται. Ὥρισε δὲ ἀφίεσθαι μὲν τὴν κατὰ τοῦ Υἱοῦ τοῦ ἀνθρώπου βλασφημίαν, τὴν δὲ περὶ τοῦ Ἁγίου Πνεύματος μὴ ἀφίεσθαι· ἐκεῖνο δηλῶν, ὅτι τῷ κἂν γοῦν ὀψέ ποτε μὴ πιστεύσαντι ἐκ τοῦ Θεοῦ Πατρὸς ὁμοουσίως αὐτὸ ἐκπεπορεῦσθαι· τῷ γὰρ ἐπιγνόντι ἀφίεται. Φησὶ γάρ· Ἐπὶ τοῦ Υἱοῦ ἀφορμὴν γοῦν, εἰ καὶ μὴ εὔλογον, ἔχουσι τὰ περὶ τῆς ἀφράστου ἐνανθρωπήσεως μικροπρεπῆ ῥήματα· περὶ δὲ τοῦ Ἁγίου Πνεύματος, οὐδεμίαν ἔχουσι σκῆψιν. Διὸ καὶ ἡ Σοφία θεολογοῦσα τὸ θεϊκὸν Πνεῦμα καὶ ἀπ' αὐτοῦ ἀπειλοῦσα τοῖς βλασφημοῦσιν αὐτό, λέγει· «Φιλάνθρωπον γὰρ Πνεῦμα σοφίας καὶ οὐκ ἀθωώσει βλάσφημον ἀπὸ χειλέων αὐτοῦ, ὅτι τῶν νεφρῶν αὐτοῦ μάρτυς ὁ Θεὸς καὶ τῆς καρδίας αὐτοῦ ἐπίσκοπος ἀληθὴς καὶ τῆς γλώσσης ἀκουστής· ὅτι Πνεῦμα Κυρίου πεπλήρωκε τὴν οἰκουμένην καὶ τὸ συνέχον τὰ πάντα γνῶσιν ἔχει φωνῆς»[6]. Οἱ γὰρ τῇ θεότητι αὐτοῦ ἀπιστοῦντες, καθὰ ὁ Ἀπόστολος Τιμοθέῳ ἐν τῇ Α' γράφει Ἐπιστολῇ, ἀφομοιωθέντες Ὑμεναίῳ καὶ Ἀλεξάνδρῳ, «περὶ τὴν πίστιν ἐναυάγησαν καὶ παρεδόθησαν τῷ Σατανᾷ ἵνα παι-

---

1. Ἰούδ. 18-19. 2. Α' Τιμ. 4,1-2. 3. Ἑβρ. 10,28-29. 4. Ἐφ. 4,30. 5. Ματθ. 12,31-32. 6. Σ. Σολ. 1,6-7.

δευθῶσι μὴ βλασφημεῖν»[1]. Εἰκότως· αἴσιον γὰρ αὐτοῖς τὸ Ἅγιον Πνεῦμα πνεῖν οὐκ ἠθέλησαν καὶ τὴν πάσης ἀγκύρας βεβαιοτέραν ἐπίλαμψιν αὐτοῦ ἠθέτησαν καὶ ἔχειν αὐτοῦ τε καὶ τοῦ Χριστοῦ τελείαν τὴν κυβέρνησιν οὐκ ἠνέσχοντο τῆς θεοπρεποῦς καὶ ἰσοτίμου δόξης ἑαυτοὺς στερήσαντες. Καὶ γάρ, ὡς ἐν τῇ Α′ τῶν Βασιλειῶν εἴρηται παρὰ τοῦ Εἰλί· «Ἐὰν ἁμάρτῃ, ἀνὴρ εἰς ἄνδρα καὶ προσεύξονται περὶ αὐτοῦ πρὸς τὸν Κύριον· ἐὰν δὲ τῷ Κυρίῳ ἁμάρτῃ, τίς προσεύξεται περὶ αὐτοῦ»[2]; Ὁ δὲ «Κύριος τὸ Πνεῦμά ἐστιν»[3], ὡς ἔγραψε Παῦλος.

ΚΕΦΑΛΑΙΟΝ ΚΖ′

Περὶ τοῦ καὶ Ἑλλήνων τοὺς λογάδας τὸ πρὸς τὸν Θεὸν ὁμοούσιον τοῦ Ἁγίου Πνεύματος γεγραφέναι καὶ τὸ ἐξ αὐτοῦ ἐκπορεύεσθαι.

[753] Ἀκουστέον δὲ (χαλεπὸν γὰρ οὐδὲν ἐκ τούτου, ἀλλὰ καὶ ἐπωφελὲς) καὶ στίχων τῶν παρ' Ἕλλησι μετρίαν περὶ τῆς πρὸς τὸν Θεὸν Πατέρα συντάξεως τοῦ Υἱοῦ Λόγου καὶ τοῦ Πνεύματος συναίσθησιν δεξαμένων καὶ πρόσφορα καὶ ἀληθῆ θεωρησάντων εἶναι τὰ ὀνόματα ταῦτα· καὶ ὡς οὐ διέζευκται τὸ παγκρατὲς Ἅγιον Πνεῦμα, οὐ φύσει, οὐ δυνάμει, οὐ δόξῃ τοῦ Θεοῦ Πατρός, ὡς οὐδὲ ὁ Μονογενής· ἀλλὰ καὶ πρόεισιν ἐξ αὐτοῦ οὐ συμμετρότερον καὶ παρ' αὐτῷ μένει, πληροῦν τῇ ἑαυτοῦ ὑπερτάτῃ καὶ ἁπλέτῳ χάριτι καὶ δυνάμει ἅπαντα, κατὰ τὸ κοινὸν αὐτῷ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἀγαθὸν βούλημα. Εἰσὶ δὲ οἱ στίχοι χρησμοῦ οὕτως.

Πνεῦμα μὲν ἀθανάτοιο Θεοῦ Πατρὸς ἐκ-
προπόρευμα·
Αὐτόθεν, ἔνθεν ἔβη, μένον ἔμπεδον οὔτι με-
ριστόν·
Ἀλλὰ Θεοῖο Λόγοιο μένον ζαθέοις ὑπὸ κόλ-
ποις,
Πάντα τελεῖ, ἅτε θεῖος ἁ μήδεται ἀρχέ-
γονος φρήν·
Κτίσμασι δὲ ξύμπασι φέρει χάριν, ἦ ὕπο
πάντα,
[756] Ἔργα Θεοῦ ζώει, καὶ ἀίδιον ἔλλαχ' ἁρωγήν.

Καὶ πάλιν·

Ὄφρα τὰ πάντα Τριὰς συνέχῃ κατὰ πάντα
μετροῦσα.

---

1. Πρβλ. Α′ Τιμ. 1,19-20. 2. Α′ Βασ. 2,25. 3. Β′ Κορ. 3,17.

Ὀρφέως τοῦ παρ' Ἕλλησι πρώτου θεολόγου·

Πάντα γὰρ ἀθανάτοιο Θεοῦ μεγάλη ὑπ' ἀρωγῇ
Ἄνθρωποι τελέουσι, σοφῇ ὑπὸ Πνεύματος ὁρμῇ.

Πλάτωνος τοῦ Κωμικοῦ, ὃς ἀνηθρῶς ἐν τοῖς ὑπογεγραμμένοις ἰάμβοις θεότητα μοναδικῶς ἐκτεινομένην εἰς Τριάδα, ἀφ' ἧς τὰ ὅλα γέγονέ τε καὶ σώζεται.

Θεὸς γάρ ἐστιν εἷς Πατὴρ ὑπέρτατος·
Λόγῳ τὰ πάντα πανσόφως καὶ Πνεύματι
Στήσας ὁλισθαίνοντα, κἀκ βυθοῦ πλάνης
Εἰς φῶς ἀνέλκων ἐκ μακρᾶς ἀταξίας.

Ἑρμοῦ Τρισμεγίστου ἐκ τῶν πρὸς τὸν Ἀσκληπιὸν λόγων τριῶν. Ἐρομένου τινὸς τον ἀγαθὸν δαίμονα περὶ τοῦ τρισαγίου Πνεύματος ἔχρησεν οὕτως·

«Εἰ μὴ πρόνοιά τις ἦν τοῦ πάντων Κυρίου, ὥστε μοι τὸν λόγον τοῦτον ἀποκαλύψαι, οὐδὲ ὑμᾶς τοι[757]οῦτος, ἕρως κατεῖχεν, ἵνα περὶ τούτου ζητήσητε. Νῦν δὲ τὰ λοιπὰ τοῦ λόγου ἀκούετε. Τούτου τοῦ Πνεύματος, οὗ πολλάκις προεῖπον, πάντα χρῄζει. Τὰ πάντα γὰρ βαστάζον, κατ' ἀξίαν τὰ πάντα ζωοποιεῖ καὶ τρέφει καὶ ἀπὸ τῆς ἁγίας πηγῆς ἐξήρτηται, ἐπίκουρον πνεύμασι καὶ ζωῆς ἅπασιν ἀεὶ ὑπάρχον, γόνιμον ἓν ὄν».

Αὖθίς τε τῇ εὐγενεστέρᾳ γνώμῃ καθυποτάττων τοὺς πολλούς, καὶ οὐκ ἀκριβεῖς περὶ τὴν γνῶσιν, τὴν ἕνεκα τῆς ἀχράντως, ἀμετρήτως, ἀφάτως, καὶ ἀεὶ καὶ ὡσαύτως ἐχούσης αὐτοτελοῦς Τριάδος, περὶ ἧς οὐδεὶς οὕτως μεγαλοφρονέστατος, οὐδὲ ὑψηλονούστατος ἀνθρώπων ἐστίν, ὃς ἄξιόν τι τῆς τοσαύτης ὑπεροχῆς αὐτῆς θεωρῆσαι δύναται, ἀποφθέγγεται τοιάδε·

«Οὐ γὰρ ἐφικτόν ἐστιν εἰς ἀμυήτους τοιαῦτα μυστήρια παρέχεσθαι· ἀλλὰ τῷ νῷ ἀκούσατε· Ἓν μόνον ἦν φῶς νοερὸν πρὸ φωτὸς νοεροῦ, καί ἐστιν ἀεὶ νοῦς νοὸς φωτεινός· καὶ οὐδὲν ἕτερον ἦν ἢ ἡ τούτου ἑνότης. Ἀεὶ ἐν αὐτῷ ὤν, ἀεὶ τῷ [760] ἑαυτοῦ νοὶ καὶ φωτὶ καὶ πνεύματι πάντα περιέχει».

Καὶ μεταξὺ ἄλλων ἐπάγει·

«Ἐκτὸς τούτου οὐ Θεός, οὐκ ἄγγελος, οὐ δαίμων, οὐκ οὐσία τις ἄλλη. Πάντων γάρ ἐστι Κύριος καὶ Πατὴρ καὶ Θεὸς καὶ πηγὴ καὶ ζωὴ καὶ δύναμις καὶ φῶς καὶ νοῦς καὶ Πνεῦμα καὶ πάντα ἐν αὐτῷ καὶ ὑπ' αὐτόν ἐστι».

Νοῦν ἐκ νοῦ καὶ φῶς νοερὸν ἐκ φωτὸς νοεροῦ, ἔτι δὲ καὶ Πνεῦμα,

ᾧ πάντα περιέχει· τὸν Θεὸν Πατέρα καὶ τὸν Μονογενῆ καὶ τὸ ἓν αὐτοῦ Ἅγιον Πνεῦμα δηλοῖ· ὡς ἡ Σοφία λέγει· «Πνεῦμα Κυρίου πεπλήρωκε τὴν οἰκουμένην»[1]. Ἀγγέλους δὲ καὶ δαίμονας καὶ τοὺς λεχθέντας μὲν ὑπὸ Ἑλλήνων, οὐκ ὄντας δὲ ἀληθῶς θεοὺς καὶ πᾶσαν φύσιν ὑπὸ ταύτην εἶναι τὴν ἀδιαίρετον ἐξουσίαν τὴν μίαν πάντων δημιουργικὴν ἀρχήν. Καὶ Πορφύριος δέ, καίτοι τὸ παράπαν οὐ σωφρονῶν περὶ τὸ ὄντως θεῖον, ἀλλ' αὐτοχολωτῶν, ὡς εἰπεῖν, ὅμως Πλάτωνος ἐκτιθέμενος δόξαν καὶ πῶς ποτε συνελαθεὶς ὑπὸ τῆς ἀληθείας ἢ τάχα καὶ τὸν Πλάτωνα αἰδεσθείς, φάναι διενοήθη ταυτί·

«Ἄχρι γὰρ τριῶν ὑποστάσεων ἔφη Πλάτων τὴν τοῦ θείου προελθεῖν οὐσίαν· εἶναι δέ, τὸν μὲν ἀνωτάτω Θεὸν τ' ἀγαθόν, μετ' αὐτὸν δὲ καὶ δεύτερον τὸν Δημιουργόν, τρίτην δὲ καὶ τὴν τοῦ κόσμου ψυχήν· ἄχρι γὰρ ψυχῆς τὴν θειότητα προελθεῖν»[1].

Ὡς τὸ ἔνδον τεθολωμένος καὶ βεβλαμμένος διορατι**[761]**κὸν ὁ ἐπάρατος Πορφύριος καὶ πρὸς τὴν τελεωτάτην ἀδυνατῶν θεολογίαν ἄτε μήτε κατ' ἐπιθυμητικὴν καὶ φοιτικὴν αὐτοῦ ὁρμὴν τὴν παροῦσαν ποιούμενος ἐξήγησιν, ἀμυδρῶς τὸ ἓν καὶ σωστικὸν Ἅγιον Πνεῦμα τοῦ Θεοῦ ψυχὴν πρσηγόρευσεν· οὐ τὴν ἀνθρώπου δὲ ὅμως, ἀλλὰ τὴν τῷ παντὶ διαπεφοιτηκυῖαν κόσμῳ. Ἔχεις οὖν καὶ τοὺς τῶν ἔξω σοφοὺς μαρτυροῦντας, ὡς αἱ τρεῖς μακάριαι ὑποστάσεις ἐν μιᾷ θεότητι καὶ οὐκ ἄλλοτε καὶ ἄλλοτε ἐξεφάνησαν· ἀλλ' ὅτε ἡ πρώτη, τότε σὺν αὐτῇ ἅμα καὶ ἐξ αὐτῆς καὶ ἡ ἄλλη καὶ ἡ ἑτέρα συναϊδίως, ὡς καὶ τὸ ἀπαύγασμα τῷ πυρί. Κείσθω δέ τι κατὰ φυσικὸν λόγον καὶ ἐκ τῶν ἡμετέρων μαρτυροῦν τῇ ἀνάρχῳ ἐκπορεύσει καὶ τῇ πρὸς τὸν μονογενῆ Θεὸν Λόγον ὁμοουσιότητι τοῦ θεϊκοῦ ἑνὸς Πνεύματος. Ἔστι δὲ τοῦτο· Λόγος οὐ γεννᾶται ἢ ἐκφαίνεται, μὴ συνορμῶντος καὶ συμπροερχομένου ἅμα αὐτῷ Πνεύματος. Πολλοὶ δὲ τοιοῦτοι ἐξ Ἑλληνικῶν βίβλων λόγοι καὶ οὐκ ἀπόβλητοι· ἀλλ' ἔτι τῶν ἀπογεγραμμένων ἐνταῦθα συμφυέστεροι καὶ ἰδιώτεροι ἐπὶ πλέον εἰσαῦθις, ἐὰν τῷ Θεῷ δοκῇ, εἰς μέσον προενεχθήσονται πρὸς ἡμῶν. Ἐγὼ γὰρ καὶ οἱ ἐμοί, ὡς ἴσασιν οἱ μνήμης μοι τῆς περὶ τὴν ἄναρχον καὶ ἀεὶ ὡσαύτως καὶ κατὰ ταὐτὰ ἔχουσαν μακαρίαν Τριάδα, τῆς διδούσης ἀεὶ καλά, οὐκ ἀφαιρουμένης δέ, οὐδ' ὀνειδιζούσης, ἐν ταῖς παρ' ἡμέραν ταύταις συνουσίαις κοινωνήσαν**[764]**τες, οὐκ ἔστιν ὅτε ἢ ἐπαυσάμην ἢ (ἐν τῷ ὀνόματι δὲ αὐτῆς τῷ παναγίῳ πάντα λεγέσθω καὶ πραττέσθω καὶ σιγῇ βουλευέσθω) ἐμαυτῷ καὶ τοῖς ἐμαυτοῦ παρέχων τὸ πᾶν (χρήζει γὰρ αὕτη, πάντων αἰτία οὖσα οὐδενός, εἰ μὴ τῆς ἡμῶν ὠφελείας), προσκυνῶν τε καὶ δοξάζων καὶ πρὸς δύναμιν τὴν οὖσάν μοι ἐγκωμιάζων αὐτήν· ἢ οὐ πολλὰ ἔφην ἀδικεῖσθαι πρὸς ἑαυτῶν τοὺς μὴ σπουδάζοντας σοφόν τι περὶ αὐτῆς ἢ μαθεῖν ἢ διδάξαι. Καὶ νῦν δὲ συνήθως πιστεύων, ὡς σταθερὰ καὶ βέβαια ἐκεῖνά ἐστιν μόνα, ὧν

---

1. Σ. Σολ. 1,7.

προηγεῖται αὕτη, ἀνατείνων σὺν τῷ σώματι τῆς διανοίας τὰ ὄμματα, λίσσομαι ὑπέρ τε ἐμαυτοῦ καὶ τῶν ἐξ ἐμοῦ καὶ τῶν ἀπ' αὐτῶν ὄντων τε καὶ ἐσομένων, ἔτι μὴν καὶ ὑπὲρ πάντων, πειθόμενος τῷ παρακελευσαμένῳ Σωτῆρι Χριστῷ εὔχεσθαι ὑπὲρ ἀλλήλων, λέγων, ἅπερ ὁ ἐν ο' ψαλμῷ προσευχόμενος· «Ἐπὶ σοί, Κύριε, ἤλπισα· μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα· ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με καὶ ἐξελοῦ με· κλῖνον πρός με τὸ οὖς σου καὶ σῶσόν με. Γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστὴν καὶ εἰς τόπον ὀχυρὸν τοῦ σῶσαί με· ὅτι στερέωμά μου καὶ καταφυγή μου εἶ σύ. Ὁ Θεός μου, ῥῦσαί με ἐκ χειρὸς ἁμαρτωλοῦ, ἐκ χειρὸς παρανομοῦντος καὶ ἀδικοῦντος· ὅτι σὺ εἶ ἡ ὑπομονή μου, Κύριε, Κύριε, ἡ ἐλπίς μου ἐκ νεότητός μου. Ἐπὶ σὲ ἐπεστηρίχθην ἀπὸ γαστρός, ἐκ κοιλίας μητρός μου σύ μου εἶ σκεπαστής. Ἐν σοὶ ἡ ὕμνησίς μου διὰ παντός. Ὡσεὶ τέρας ἐγενήθην τοῖς πολλοῖς καὶ σύ, Κύριε, βοηθός μου κραταιός. Πληρωθήτω τὸ στόμα μου αἰνέσεως, ὅπως ἀνυμνήσω τὴν δόξαν σου, ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου. Μὴ ἀπορρίψῃς με εἰς καιρὸν γήρους· ἐν τῷ ἐκλείπειν τὴν ἰσχύν μου μὴ ἐγκαταλίπῃς με»[1]. Οὕτω γὰρ ἄν, σοῦ ἕνεκα τῆς οὐκ ἐχούσης τὸ ἀντιτασσόμενόν σοι, ἐν τῷ βουλεύεσθαι ἐλεεῖν καὶ τοὺς ἁμαρτωλοὺς ἡμᾶς, ἀγαθωτάτη καὶ παναλκεστάτη Τριάς, ἀφ' ἧς καὶ παρ' ἧς πᾶν ἀγαθόν, καὶ εἰς ἣν πάντων πᾶσα πάντοτε ἐλπὶς καὶ μεθ' ἣν παντελῶς οὐδέν, ῥυσθείημεν τῶν τε **[765]** ἡμαρτημένων ἡμῖν ψυχικῶν καὶ σωματικῶν ἐν γνώσει καὶ ἀγνοίᾳ ἐν λόγῳ καὶ ἔργῳ, ὧδε καὶ «ὅτε νικᾷς ἐν τῷ κρίνεσθαι»[2] τὰ κρυπτὰ τῶν ἀνθρώπων, τῶν τε ἐν κόσμῳ ἐπαχθῶν καὶ τοῦ τοῖς ἀγαθοῖς ἀεὶ φθονοῦντος καὶ ἐναντίου ἱσταμένου δαίμονος καὶ παντὸς πνεύματος πονηροῦ καὶ ἀκαθάρτου καὶ τοῦ μισοκάλου Ἀντιχρίστου, οὗτινος, ὡς τεκμηριοῖ τὰ πράγματα, ὁ ἀγωνίας δεινῆς γέμων χρόνος ἤγγικεν ἤδη· ὥστε μηδένα, μὴ τῶν νῦν, μὴ τῶν τότε εὑρισκομένων ἀπολέσθαι. Οὕτως ἂν πᾶν κακὸν ἐκποδὼν γένηται, διοικηθείη τε καλῶς καὶ ἡσύχως, κατὰ τὸ σὸν ἄφθονον καὶ φιλόψυχον θέλημα, τά τε κοινά, τά τε ἰδιωτικὰ πράγματα· καὶ αἱρετὴ λοιπὸν καὶ εὐκταία πᾶσιν ἔσται ἡ ἐν ἑκάστῃ πόλει, μενοῦνγε ἡ ἐν ἀγρῷ εὐσεβὴς καὶ ἰδιοπράγμων οἴκησις· καὶ ὑπάρξῃ παντί, ὡς τοῖς ὁσίοις πατράσιν καὶ τοῖς πρὸ ἐκείνων, τὸ ὡς ἐρᾷ καὶ βούλεται κατ' ἐξουσίαν πλεῖν, ὁδοιπορεῖν, οἴκοι μένειν, γεωργεῖν, ἐπιμελῶς εἰς πανηγύρεις παραβάλλειν, λαλεῖν χαρίεντα καὶ ἐπ εικῇ καὶ τὸ μεῖζον τούτων, τὸ ἀπερισπάστως καὶ νηφαλέως μεμνῆσθαί σου καὶ παντὸς πράγματος ἐκ σοῦ ἀρχὴν ποιεῖσθαι καὶ τελευτὴν μεταδιδόναι τε πρὸς δύναμιν τοῖς ἐνδεομένοις, ἀρχόμενον ἀπὸ τῶν πρὸς γένος καὶ τῶν οἰκείων καὶ παρὰ σοῦ τὸ δάνειον εἰς τὸ μέλλον ἐκδέχεσθαι καὶ ἐπίμετρον ζωὴν αἰώνιον. «Νηστεία» γάρ, φησίν, «καὶ προσευχὴ ἐκ θανάτου ῥύεται»[3], ἐλεημοσύνη δέ, ὑπὲρ τὰ ἀμφότερα»[4]. Ὡς γὰρ καὶ οἱ ἔξω φασίν·

1. Ψαλ. 70,1-10. 2. Ψαλ. 50,6. 3. Πρβλ. Τωβὶτ 12,8-9. 4. Πρβλ. Σ. Σειρ. 40,24.

Εὐσεβίης οὐδὲν προφερέστερον ἐν μερόπεσσιν.

Οὕτως ἂν πρὸς τούτοις ἐγγένηται τὸ μὴ νοσεῖν ὑπερηφανίαν καὶ τῦφον, μηδ' εἶναι καυχηματίαν· δι' ἃ ἄφυκτα πάθη ὁ μὲν ἔχθιστος Σατὰν τοῦ ἄνω φω[768]τὸς καὶ τῆς τῶν δοκίμων ἀγγέλων ἑταιρίας ἐξέπεσε καὶ εἰς τοὺς ζοφωδεστάτους ταρταραίους μυχοὺς κατωλίσθησεν· ὁ δ' ὑπὸ νόμον τραφεὶς καὶ νηστεύων καὶ ἀποδεκατῶν τὰ ἑαυτοῦ ὑπάρχοντα καὶ ἐπικουρῶν τοῖς προσαιτοῦσιν Φαρισαῖος, ἀνόνητον ἔσχε τέως ἐν κόσμῳ, ὅσον ἐν γράμμασιν ἱεροῖς, τὴν ἐντεῦθεν ἐλπίδα. Ἔτι δὲ ὑπάρξῃ τὸ μάχης ἀφεστάναι, ζῆν ἐν βιβλίοις καὶ ἀχώριστον εἶναι μετὰ καθαροῦ συνειδότος τῶν ἐκκλησιαστικῶν συνάξεων, ἐν οἷς ἰδικώτερον πρόκεισαι πᾶσιν οὕτως ἔσται οὐκ ἔτι ἐπονείδιστος καὶ διεπτυσμένη, ἀλλὰ καί, ὡς πάλαι καὶ πρόπαλαι, ἐπαινετὴ ἡ τῆς ἀρετῆς καὶ πάσης ἐπιστήμης γενομένη παρὰ τὴν ἀρχὴν διδάσκαλος ἡ συμμετρία. Καὶ σωφρονεστέρα φανείη τῆς ἀρχαίας ἡ ἐξῆς πολιτεία, ὅσῳ καὶ ὑπὸ τῆς Χριστιανῆς, τῆς παντ' εὖ πεποιηκυίας, κατανύττεται θεσμοθετήσεως. Καὶ γλυκὺ φῶς ἀνατείλῃ καὶ λαμπρόν· καὶ εὐαρχία μὲν καὶ εἰρήνη ἀνὰ πᾶσαν γῆν καὶ θάλατταν κατὰ πάντα τρόπον καὶ λόγον ἔσται βαθεῖα· καὶ μεστὸν τοῦ Νείλου τὸ ῥεῖθρον καὶ εὐετηρία πλείστη· σπάνις δὲ πολλὴ καὶ παντοία τῶν σπουδαρχιδῶν· καὶ οὐκ ἔτ' ὀδύρηται ἄλλος ἐπ' ἄλλῳ· καὶ ὃν ἐμαυτῷ νόμον ἔθηκα, φυλάξαι δυνηθῶ σὺν ὥρᾳ καὶ χάριτι καὶ σεμνότητι βίου καὶ λόγων· πανταχόθεν τε ἡμῖν παντεκνεὶ καὶ πανοικεὶ καὶ παγγενεὶ καὶ ὁλικῶς ἐκβῇ τὰ πράγματα, εὐχῆς καλλίω καὶ τῶν πρότερον βελτίω. Καὶ πάντα ταῦτα, ναί, ναί, ναί, τετελεσμένα καὶ τελεσθησόμενα ἔσται· ὅπως ἐς ἀεὶ ἐργάζηται τὸ ἐν Ἡσαΐᾳ παρηγορικὸν καὶ ἰαματικὸν ῥῆμά σου, τὸ περιέχον οὕτως· «Ἐγώ εἰμι αὐτὸς ὁ λαλῶν· πάρειμι ὡς ὥρα ἐπὶ τῶν ὀρέων, ὡς εὐαγγελιζόμενος ἀγαθά· ὅτι ἀκουστὴν [769] ποιήσω τὴν σωτηρίαν σου, λέγων· Σιών, βασιλεύσει σου ὁ Θεός»[1]. Καὶ σχοίημεν ἀτελεύτητον καὶ μετὰ τελευτὴν τὴν ζωὴν καὶ τὴν χάριν διαιωνίζουσαν, διὰ τὸ ἀγαθώτατον καὶ μεγαλοπρεπέστατον καὶ σωστικώτατον καὶ δεδοξασμένον καὶ εὐχαριστούμενον εἰς ἀπεράντους αἰῶνας αἰώνων ὄνομά σου, τοῦ ἐπὶ πάντων καὶ διά πάντων καὶ ἐν πᾶσιν Θεοῦ Πατρὸς παντοκράτορος καὶ τοῦ μονογενοῦς Υἱοῦ σου καὶ τοῦ παναγίου καὶ ζωοποιοῦ καὶ δημιουργοῦ Πνεύματός σου. Ἀμήν, ἀμήν, ἀμήν. Καὶ ἐροῦσι πάντοτε πάντες πανταχοῦ οἱ ὀρθόδοξων Χριστιανῶν λαοί· Γένοιτο, γένοιτο, γένοιτο.

---

1. Πρβλ. Ἡσ. 52,6-7.

ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ

ΠΡΟΒΛΗΜΑΤΑ ΑΙΡΕΤΙΚΩΝ ΑΠΟ ΤΩΝ ΔΙΑΓΟΡΕΥΟΥΣΩΝ ΓΡΑΦΩΝ ΤΑ ΥΠΟΤΕΤΑΓΜΕΝΑ ΡΗΜΑΤΑ ΚΑΙ ΑΝΤΙΘΕΣΕΙΣ ΟΡΘΟΔΟΞΩΝ*

Κεφ. Α'. Πρόλογος περὶ παθῶν τῶν ἐκ σώματος καὶ προαιρέσεως ψυχῆς.

Κεφ. Β'. Θεολογιῶν κεφάλαια νε'.

Κεφ. Γ'. «Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ»[1].

Κεφ. Δ'. «Πρωτότοκος πάσης κτίσεως· ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς»[2].

Κεφ. Ε'. «Ἐγώ εἰμι ἡ ἀρχὴ καὶ τὸ τέλος»[3].

Κεφ. Ϛ'. «Γινωσκέτω πᾶς οἶκος Ἰσραήλ, ὅτι καὶ Κύριον αὐτὸν καὶ Χριστὸν ὁ Θεὸς ἐποίησε»[4]· καί· «Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ»[5]· καί· «Δέξασθε τὸν ἀρχιερέα»· καί· «Ὃς ἐγενήθη σοφία ὑμῖν ἀπὸ Θεοῦ»[6]· καί· «Ἐκλελοχισμένος ἀπὸ μυριάδων»[7].

Κεφ. Ζ'. «Χριστὸν Θεοῦ δύναμιν καὶ Θεοῦ σοφίαν»[8].

Κεφ. Η'. Πρὸς τὸ γεγράφθαι ἄμπελον τὸν Χριστὸν κλήματα ἀνθρώπους, γεωργὸν τὸν Θεὸν Πατέρα[9].

Κεφ. Θ'. «Μέγα σοί ἐστι κληθῆναί σε παῖδά μου»[10]· καί· Ὁ ὁρισθεὶς Υἱὸς Θεοῦ «ἐν δυνάμει κατὰ Πνεῦμα ἁγιωσύνης»[11]· καί· «Ὁ Θεὸς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ Πατὴρ τῆς δόξης»[12]· καί· «Ἀναβαίνω πρὸς τὸν Πατέρα μου καὶ Θεόν μου»[13].

Κεφ. Ι'. «Διὸ καὶ ὁ Θεὸς αὐτὸν ὕψωσε καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα»[14]· καί· «Ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος»[15].

Κεφ. ΙΑ'. «Ἐγὼ ζῶ διὰ τὸν Πατέρα»[16].

Κεφ. ΙΒ'. «Καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τοῦ πέμψαντός με Πατρός»[17].

---

* Κατὰ τὴν ἔκδοσιν J.-P. Migne, Patrologiae Cursus Completus. Series Graeca, τόμ. 39, στ. 769-992.

1. Παρμ. 8,22. 2. Κολ. 1,15. 3. Πρβλ. Ἀποκ. 21,6. 4. Πράξ. 2,36. 5. Ψαλ. 2,6. 6. Α' Κορ. 1,30. 7. Ἆσμα 5,10. 8. Α' Κορ. 1,24. 9. Πρβλ. Ἰω. 15,5. 10. Ἡσ. 49,6. 11. Πρβλ. Ρωμ. 1,4. 12. Ἐφ. 1,17. 13. Ἰω. 20,17. 14. Φιλιπ. 2,9. 15. Ἐνθ. ἀν. 2,7. 16. Ἰω. 6,57. 17. Ἰω. 6,38,39.

Κεφ. ΙΓ′. «Διὰ τοῦτο ἔχρισέ σε, Θεέ, ὁ Θεός σου»[1]· καί· «Ὃν ὁ Πατὴρ ἡγίασε καὶ ἀπέστειλεν εἰς τὸν κόσμον»[2].

Κεφ. ΙΔ′. «Οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδου»[3]· καὶ περὶ τοῦ· «Τὸν Χριστὸν Ἰησοῦν ὁ Θεὸς ἤγειρεν ἐκ νεκρῶν»[4].

Κεφ. ΙΕ′. «Οὐδεὶς ἀγαθός, εἰ μὴ εἷς ὁ Θεός»[5].

Κεφ. ΙϚ′. «Τῷ δὲ βασιλεῖ τῶν αἰώνων, ἀφθάρτῳ, ἀοράτῳ, μόνῳ σοφῷ Θεῷ τιμὴ καὶ δόξα»[6]· καί· «Μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον»[7] καὶ περὶ τῶν λεγόντων· Οὐκ εἰσὶν οὖν αἱ ψυχαὶ καὶ οἱ ἄγγελοι ἀθάνατοι καὶ ἀόρατοι;

Κεφ. ΙΖ′. «Ὥσπερ γὰρ ὁ Πατὴρ ζωὴν ἔχει ἐν ἑαυτῷ, οὕτως ἔδωκε τῷ Υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ»[8]· καί, «Ἐξουσίαν ἔδωκεν αὐτῷ κρίσιν ποιεῖν, ὅτι Υἱὸς ἀνθρώπου»[9]· καὶ πάλιν· «Οὓς ἔδωκάς μοι ἐκ τοῦ κόσμου, σοὶ ἦσαν καὶ ἐμοὶ αὐτοὺς ἔδωκας»[10]· καὶ πάλιν· «Πάντα μοι παρεδόθη παρὰ τοῦ Πατρός»[11]· καὶ πάλιν· «Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς»[12]. Καὶ ὅσα τοιαῦτα. Καὶ τὸ τοῦ Δαυὶδ· «Αἴτησαι παρ' ἐμοῦ καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου»[13].

Κεφ. ΙΗ′. «Ὁ πέμψας με»[14] πατὴρ μείζων μου ἐστίν»[15]. Ἐν ταὐτῷ περὶ Μοντανιστῶν καὶ Μανιχαίων.

Κεφ. ΙΘ′. «Ὁ Πατὴρ ἐντολήν μοι δέδωκε, τί εἴπω καὶ τί λαλήσω»[16]. Περὶ δὲ τοῦ τοῦ Ἁγίου Πνεύματος· «Ἀφ' ἑαυτοῦ οὐ λαλήσει»[17]· καί· Ἀπ' ἐμαυτοῦ οὐκ ἐλάλησα»[18]· καί· «Καθὼς ἐνετείλατό μοι ὁ Πατὴρ, οὕτω ποιῶ»[19]· καί· «Ὁ λόγος ὃν ἀκούετε, οὐκ ἔστιν ἐμός, ἀλλὰ τοῦ πέμψαντός με»[20].

Κεφ. Κ′. Ὅταν παραδιδῷ τὴν βασιλείαν τῷ Θεῷ καὶ Πατρὶ καὶ ὅτ' ἂν ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς ὁ Υἱὸς ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα, ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσιν»[21]. Ἐν ταὐτῷ, ὅτι τὴν οἰκονομίαν· ὅτε ἄνθρωποι, τότε καὶ ἄγγελοι διὰ τοὺς ἀνθρώπους ἔγνωσαν.

Κεφ. ΚΑ′. «Πάτερ, εἰ δυνατόν, παρελθέτω τὸ ποτήριον τοῦτο»[22]· καὶ περὶ τοῦ· «Σῶσόν με ἐκ τῆς ὥρας ταύτης»[23]· καί· «Θεέ μου, Θεέ μου, ἵνα τί ἐγκατέλιπές με»[24]; Καί· «Περίλυπός ἐστιν ἡ ψυχή

---

1. Ψαλ. 44,8. 2. Ἰω. 10,36. 3. Ψαλ. 15,10. 4. Ρωμ. 4,24. 5. Ματθ. 19,18. 6. Α′ Τιμ. 1,17. 7. Α′ Τιμ. 6,16. 8. Ἰω. 5,26. 9. Ἰω. 5,27. 10. Ἰω. 17,6. 11. Ματθ. 11,27. 12. Ματθ. 28,18. 13. Ψαλ. 2,8. 14. Ἰω. 8,29. 15. Πρβλ. Ἰω. 14,28. 16. Ἰω. 5,49. 17. Πρβλ. Ἰω. 16,13. 18. Πρβλ. Ἰω. 12,49. 19. Ἰω. 14,31. 20. Ἰω. 14,24. 21. Α′ Κορ. 15,28. 22. Ματθ. 26,39. 23. Ἰω. 12,27. 24. Ματθ. 27,46.

μου μέχρι θανάτου»[1]. Καὶ περὶ τοῦ δακρῦσαι ἐπὶ Λαζάρῳ[2]· καὶ κοπιάσαι[3] καὶ προσεύξασθαι[4] καὶ πεινῆσαι[5] καὶ ὑπνῶσαι[6] καὶ ὅσα τοιαῦτα. Ἐν ταὐτῷ, ὅτι μετ' αὐτοῦ ἦν ὁ πατὴρ καὶ τὸ Ἅγιον Πνεῦμα.

Κεφ. ΚΒ'. Οὐδεὶς οἶδε τὴν ἐσχάτην ἡμέραν, οὐδὲ οἱ ἄγγελοι, οὔτε ὁ Υἱός.

Κεφ. ΚΓ'. «Ὅτι οὐδεὶς Θεός, εἰ μὴ εἷς. Καὶ γὰρ εἴπερ εἰσὶ λεγόμενοι θεοί, εἴτε ἐν οὐρανῷ εἴτε ἐπὶ γῆς, ὥσπερ εἰσὶ θεοὶ πολλοὶ καὶ κύριοι πολλοί· ἡμῖν δὲ εἷς Θεὸς ὁ Πατήρ, ἐξ οὗ τὰ πάντα»[7]· καί· «εἷς Κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα»[8]. Ἐν ταυτῷ, ὅτι ὁ Θεὸς οὐ πρωτεύει τοῦ ὁ Κύριος, ἀλλ' ἀμφότερα ταῖς τρισὶν ἁρμόζει ὑποστάσεσι πολλάκις δὲ καὶ προτάττεται τὸ ὁ Κύριος τοῦ ὁ Θεός.

Κεφ. ΚΔ'. Περὶ τοῦ Ἕλληνας πρὸς τὴν ἰδίαν πλάνην νοεῖν τό, Εἴ τινές εἰσι λεγόμενοι θεοί, εἴτε ἐν οὐρανῷ, εἴτε ἐπὶ γῆς.

Κεφ. ΚΕ'. «Δόξασόν με, σύ, Πάτερ, παρὰ σεαυτῷ τῇ δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί»[9].

Κεφ. ΚϚ'. «Ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ»[10].

Κεφ. ΚΖ'. «Μεσίτης Θεοῦ καὶ ἀνθρώπων ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός»[11].

Κεφ. ΚΗ'. Περὶ τοῦ ἄνευ τοῦ Υἱοῦ μὴ δεδωρῆσθαι κατ' ἐνίους τὰ πρὸ τῆς ἐν κόσμῳ παρουσίας αὐτοῦ χαρίσματα.

Κεφ. ΚΘ'. Περὶ τοῦ, αἰτούσῃ τῇ μητρὶ τῶν υἱῶν Ζεβεδαίου ὥστε καθεσθῆναι ἐκ δεξιῶν αὐτοῦ καὶ ἐξ ἀριστερῶν ἐν τῇ μελλούσῃ κρίσει τοὺς δύο αὐτῆς υἱούς, εἰπεῖν τό· «Οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασται ὑπὸ τοῦ Πατρός»[12].

Κεφ. Λ'. «Πάτερ, εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου»[13].

Κεφ. ΛΑ'. Ἑτοιμάζου τοῦ ἐπικαλεῖσθαι τὸν Θεόν σου Ἰσραήλ· διότι ἰδοὺ ἐγὼ στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα καὶ ἀπαγγέλλων εἰς ἀνθρώπους τὸν Χριστὸν αὐτοῦ»[14].

Κεφ. ΛΒ'. Περὶ τῶν λεγόντων· «Πάντα διὰ» τοῦ Υἱοῦ «ἐγένετο»[15] εἰς πάντα οὖν ἐστιν καὶ τὸ Ἅγιον Πνεῦμα.

---

1. Ματθ. 26,38. 2. Πρβλ. Ἰω. 11,35. 3. Πρβλ. Ἰω. 4,6. 4. Πρβλ. Λουκ. 6,12. 5. Πρβλ. Ματθ. 21,18. 6. Ματθ. 8,24. 7. Α' Κορ. 8,4-6. 8. Α' Κορ. 8,6. 9. Ἰω. 17,5. 10. Ματθ. 25,31. 11. Α' Τιμ. 2,5. 12. Ματθ. 20,23. 13. Λουκ. 23,46. 14. Ἀμ. 4,12-13. 15. Πρβλ. Ἰω. 1,3.

Κεφ. ΛΓ′. Περὶ τοῦ τὸν Χριστὸν εἰρηκέναι· «Καὶ πῶς Δαυὶδ ἐν Πνεύματι Ἁγίῳ καλεῖ αὐτὸν Κύριον. **[773]** λέγων· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου»[1];

Κεφ. ΛΔ′. Περὶ τοῦ, «Οὔπω γὰρ ἦν Πνεῦμα Ἅγιον, ὅτι Ἰησοῦς οὔπω ἐδοξάσθη»[2].

Κεφ. ΛΕ′. Περὶ τοῦ γράφειν· «Αὐτὸ τὸ Πνεῦμα ὑπερεντυγχάνει ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις. Ὁ δὲ ἐρευνῶν τὰς καρδίας οἶδεν, τί τὸ φρόνημα τοῦ Πνεύματος, ὅτι κατὰ Θεὸν ὑπερεντυγχάνει ὑπὲρ ἁγίων»[3].

Κεφ. ΛΣ′. Αὕτη γάρ ἐστιν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεόν»[4]· καὶ πάλιν· «Πιστεύετε εἰς τὸν Θεὸν καὶ εἰς ἐμὲ πιστεύετε»[5]. Οὐκ εἶπε δέ, φησίν, Καὶ εἰς τὸ Ἅγιον Πνεῦμα.

Κεφ. ΛΖ′. «Οὐδεὶς γινώσκει τὸν Πατέρα, εἰ μὴ ὁ Υἱὸς οὐδὲ τὸν Υἱόν τις ἐπιγινώσκει, εἰ μὴ ὁ Πατήρ» . Καὶ πρὸς τοὺς λέγοντας, ἐρευνᾶν τὸ Ἅγιον Πνεῦμα τὰ βάθη τοῦ Θεοῦ[7], ὡς ἔσθ' ὅτε ἀγνοοῦν.

Κεφ. ΛΗ′. Περὶ τοῦ ἀφορίζειν αὐτοὺς μόνῳ τῷ Ἁγίῳ Πνεύματι τὸ ὄνομα τοῦ Παρακλήτου· Λέγειν δέ, ὅτι καὶ ἀπεστάλη παρὰ τοῦ Υἱοῦ. Καὶ περὶ τοῦ καὶ τὸν Υἱὸν ἀπεστάλθαι παρὰ τοῦ Πατρὸς καὶ τοῦ Ἁγίου Πνεύματος. Ἐν ταὐτῷ καὶ περὶ Μοντανοῦ.

Κεφ. ΛΘ′. Περὶ τοῦ, «Ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα αὐτοῦ ἐν ταῖς καρδίαις ἡμῶν, κράζον· Ἀββά, ὁ Πατήρ»[8].

Κεφ. Μ′. Πρὸς τὸ εἰπεῖν τὸν Υἱὸν περὶ τοῦ Πνεύματος· «Ἐκεῖνος ἐμὲ δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται καὶ ἀναγγελεῖ ὑμῖν»[9].

Κεφ. ΜΑ′. Περὶ Μοντανιστῶν οὑτωσί·

Ὅτι τὸν αὐτὸν λέγουσιν εἶναι Πατέρα καὶ Υἱὸν καὶ Παράκλητον.

Ὅτι λέγουσιν Μοντανὸν ἐσχηκέναι τὸ τέλειον τοῦ Παρακλήτου.

Ὅτι λέγουσιν· Ὑμεῖς, φησίν, οὐ πιστεύετε μετὰ τὴν ἐν κόσμῳ ἐπιδημίαν τοῦ Δεσπότου γεγενῆσθαι προφήτας.

Κεφ. ΜΒ′. Περὶ παραινέσεως.

Περὶ τοῦ προειρῆσθαι τὴν αἱρετικὴν ἀσέβειαν.

---

1. Ματθ. 22,43-44. 2. Ἰω. 7,39. 3. Ρωμ. 8,26. 4. Ἰω. 17,3. 5. Ἰω. 14,1. 6. Λουκ. 10,22. 7. Α′ Κορ. 2,10. 8. Γαλ. 4,6. 9. Ἰω. 16,14.

ΚΕΦΑΛΑΙΟΝ Α′

Πρόλογος περὶ παθῶν τῶν ἐκ σώματος καὶ προαιρέσεως ψυχῆς.

Α′. Ψυχὴ καθ' αὑτὴν ἐν τῷ νοητῷ ἀπαθὴς ὑπάρχουσα τοῦ παθαίνεσθαί ποτε αἰτίαν ἔχει τὸ σώματι συνεῖναι καὶ τὴν ἰδίαν αὐτῆς προαίρεσιν, ἤτουν τῆς γνώσεως τὴν ἔφεσιν· Τὸ μὲν γὰρ σῶμα ἐναποκεκλεισμένην ἔχον αὐτὴν ἐν ἑαυτῷ, ὡς ἐν τυφλῷ φρουρίῳ, διὰ τῶν ὑλικῶν παθῶν ἀποῤῥηγνύει τῆς τοῦ Θεοῦ ὁμι-
[776]λίας καὶ καταφέρει πρὸς γῆν καὶ τὰ γῆς, οἶμαι, φροντίσματα· καὶ οὕτω κατακρατεῖν ἐπιχειρεῖ τῆς φύσει κρείττονος καὶ τοσούτῳ κρειττονος ὅσον τὸ ἀθάνατον τοῦ θνητοῦ. Ἡ δέ γε τῆς ἰδίας αὐτῆς προαιρέσεως ἢ γνώσεως πάλιν ἐπιθυμία, ἕλκει μὲν εἰς τὸ θέλειν εἰδέναι τι αὐτὴν καὶ ἐπὶ τοῦτο πορεύεται, μὴ ἔχουσα δὲ ὀρθὸν τῆς πορείας ἀγωγὸν ἢ κακῶν χρησαμένη ὁμιλίαις ἀνθρώπων, πλανᾶται καὶ ἀπορεῖ καὶ τέλος, ἐφ' ἣν τύχοι προσορμήσασα δόξαν, ἀμαθῶς ταύτην ἀνείλετο· καὶ οὕτω δὴ γέγονεν οἰκτίστη τε καὶ ἀθλία ἐν γνώσεως ἀγαθῆς ὑποψίᾳ καὶ δόξῃ θηρασαμένη κακόνοιαν. Ὅτι γὰρ «πάντες ἄνθρωποι κατὰ φύσιν τοῦ γινώσκειν ὀρεγόμεθα», δηλοῖ τοῦτο, ὥς φησιν Ἀριστοτέλης, καὶ ἡ τῶν αἰσθήσεων ἐπιθυμία, πέρα τῆς χρείας ἡμᾶς ἐφ' ἑαυτὴν παραπέμπουσα. Ὁρᾶν γοῦν ἢ ποιεῖν ἔσθ' ὅτε ἐπιθυμοῦμεν, κἂν μὴ πάνυ ἀναγκαῖον, ἀλλὰ καὶ ἐπιβλαβὲς τὸ ὁρώμενον ἢ πραττόμενον ᾖ. Ὅτι δὲ ταῦτα οὕτως ἄντικρυς εἴρηται, τῶν θείων Γραφείων διασαφοῦσιν οἱ ἀξιώσαντες εἰπεῖν τοιῶσδε· Ἰάκωβος ὁ τῆς εὐκλεοῦς μνήμης· «Οὐκ ἔστιν ἡ σοφία αὕτη ἄνωθεν κατερχομένη, ἀλλ' ἐπίγειος, ψυχική, δαιμονιώδης»[1]. Ἐπιφέρει τε· «Ἡ ἄνωθεν σοφία, πρῶτον μὲν ἁγνή ἐστιν, εἰρηνική, ἐπιεικής, εὐπειθής, μεστὴ ἐλέους καὶ καρπῶν ἔργων ἀγαθῶν, ἀδιάκριτος, ἀνυπόκριτος»[2]. Καὶ ἔτι διψύχους προσαγορεύει τοὺς ἀγελαίους καὶ οὐ καθαρὰν γνῶσιν καὶ σταθερὰν ψυχῆς προαίρεσιν ἔχοντας τῶν ἀνθρώπων, φάσκων τοιάδε· «Ἐγγίσατε τῷ Θεῷ καὶ ἐγγιεῖ ὑμῖν· καθαρίσατε χεῖρας, ἁμαρτωλοί, καὶ ἁγνίσατε καρδίας, δίψυχοι»[3]. Ἀλλὰ καὶ πρὸς τοὺς μισοπόνηρον ζῆλον ψυχῆς ἔχοντας καὶ νικηφόρους ὄντας ἀρετῆς, οὓς οὐ διαφεύγει τῶν τιμίων οὐδὲ ἕν, διαλέγεται, ὥστε εἴργειν τῶν μὴ τοιούτων ἀνθρώπων τὸ ἀκόλαστον, καὶ μεταδιδόναι καὶ ἄλλοις, ὧν αὐτοὶ ἔχουσιν ἀγαθῶν, ῥήμασιν αὐτοῖς· «Ἀδελφοί, ἐάν τις παρ' ὑμῖν πλανηθῇ ἀπὸ τῆς ἀληθείας, καὶ ἐπιστρέψῃ τις αὐτόν, γινωσκέτω, ὅτι ὁ ἐπιστρέψας ἁμαρτωλὸν ἐκ πλάνης ὁδοῦ αὐτοῦ, σώσει ψυχὴν αὐτοῦ ἐκ θανάτου καὶ καλύψει πλῆθος ἁμαρτιῶν»[4]. [777] Οὐδὲν δὲ ἧττον καὶ Πέτρος διδάσκων, πόθεν ἀπαθὴς τυγχάνουσα ψυχή, παθῶν ἀνάπλεώς ποτε γίνεται, ἐπιστρέφων δὲ εἰς τὸ μνημονεύειν τῆς ἀποβιώσεως ἡμῶν, ἔγραφεν· «Ἀπέ-

1. Ἰακ. 3,15. 2. Ἰακ. 3,17. 3. Ἰακ. 4,8. 4. Ἰακ. 5,19.

χεσθε ἀπὸ τῶν σαρκικῶν ἐπιθυμιῶν, αἵτινες στρατεύονται κατὰ τῆς ψυχῆς»[1]. Καὶ Σολομὼν δὲ ὁ τοῦ Δαυὶδ φησιν· «Ὥσπερ οὐχ ὅμοια πρόσωπα ἀνθρώπων, οὕτως οὐδὲ αἱ καρδίαι τῶν ἀνθρώπων ταῖς καρδίαις ὅμοιαι»[2]. Ὑπεισι δέ με καὶ ἐκ τῶν τοῦ μεγάλου ἀθληφόρου Παύλου, ἅπερ τοιῷδε τρόπῳ ἀνείρηκε· «Ψυχικὸς δὲ ἄνθρωπος οὗ δέχεται τὰ τοῦ Πνεύματος τοῦ Θεοῦ· μωρία γὰρ αὐτῷ ἐστιν»[3]· καὶ πάλιν· «Ὁ δὲ πνευματικὸς ἀνακρίνει μὲν πάντας, αὐτὸς δὲ ὑπ' οὐδενὸς ἀνακρίνεται»[4].

Β'. Ἀλλ' ὅπερ μὲν ἔλεγον, ἡ προαίρεσις αὕτη καὶ τὸ σῶμα πολλάκις καθέλκειν ἐπὶ τὰ πάθη πέφυκε τὴν ψυχήν· ποτὲ δὲ καὶ συνεισφέρει, αὐτῇ φημι τῇ ψυχῇ, ἀγαθὰ οὐκ ὀλίγα· τὸ μὲν σῶμα, τὴν τῶν αἰσθητῶν γνῶσιν καὶ τὴν ἄλλην ὑπηρεσίαν· ἡ δὲ προαίρεσις αὐτῆς, τὴν ἀπὸ τῆς εὐβουλίας καὶ ὀρθοδοξίας μακαριότητα· ὥσπερ πάλιν ἡ ψυχή, ὅταν εὖ ζῇ μετὰ σώματος καὶ κατακρατῇ καὶ πρὸς Θεὸν ἐπιστρέφηται καὶ τῶν αὐτοῦ πληροῦται νοήσεων, πλείονα καὶ σεμνότερα δίδωσ.ν. Τὸ μὲν γὰρ γήινον, ἀπαθὲς οἷον ἀποφαίνειν σπουδάζει, κοσμοῦσα αὐτὸ ἱδρῶτι καὶ καρτερίᾳ καὶ πᾶσι τοῖς ἐξ ἀρετῆς πόνοις καὶ διακυβερνῶσα καὶ διὰ τῆς τῶν ἀλγεινῶν πείρας, ἐπὶ τὴν θεοσεβῆ ζωὴν ἀνεγείρουσα· τὴν δὲ ἰδίαν προαίρεσιν καὶ τὴν πίστιν ἄπταιστον διακρατεῖ καὶ τὸν ἄνθρωπον ὑπὲρ ἄνθρωπον ποιεῖ πίστει καὶ λόγοις αὐτὸν εἰς τὸ σεμνὸν προβιβάζουσα καὶ πρὸς ἱκεσίαν τῆς Τριάδος ῥέπουσα καὶ τροφὴν ποιουμένη τὴν ἀπὸ τούτων ὠφέλειαν. Εἰ γὰρ νομιοῦμεν ψυχήν, κοσμεῖσθαι καὶ τρέφεσθαι οὐκ ἄλλοις, ἀλλ' ἢ λόγοις καὶ πίστει πέφυκεν. Ἀνθρώπῳ γὰρ τροφὴ ἄμφω, ἥ τε ἐκ τῆς γεωργίας, ἥ τε ἐκ τῶν λόγων καὶ τῆς πίστεως· ἀλλ' ἡ μὲν τὸ σῶμα εἶναί τε καὶ ἀντέχειν, ἡ δὲ ταῖς ψυχαῖς τὸ ἑτέρων προέχειν δίδωσι καὶ διὰ πίστεως καὶ λόγων καὶ ἡ ἄλλη σύμπασα κατορθοῦται ζωή. Φωρᾶν ἔνεστι ταῦτα μὴ ἄλλως ἔχειν, ἐπιπορευόμενον τῷ νῷ, ὡς αὐτίκα τῷ τοιούτῳ ἐπιλάμπει καὶ συνεργεῖ ὁ ἐπ βεβηκὼς τοῖς ὅλοις Υἱὸς **[780]** Λόγος τοῦ Θεοῦ, ὁ μηδενὸς μηδὲ αὐτῶν τῶν καταφρονούντων αὐτοῦ καταφρονῶν, ὁ τῇ ψυχῇ, εἰς ἣν διὰ τοῦ φυσήματος τὸ Ἅγιον αὐτοῦ Πνεῦμα κατῴκισεν, τὸν λόγον τῶν πάντων τὸ τιμιώτατον κατασπείρας. Διὸ καὶ θαυμαστῶς ὑπὸ τῶν ἔξω εἰς στίχου τινὸς ἀκροτελεύτιον εἴρηται·

Παντα χοῦ λόγος, ἔνθα καὶ ἄνθρωπος.

Ἀλλὰ ταῦτα μὲν ὧδέ πη ἔχει. Αἱρετικοὶ δέ, μηδὲν ἀναπνέοντες καθαρόν, ταῖς κειμέναις περὶ τοῦ λυτρωτοῦ Θεοῦ Λόγου, τοῦ πάντων γενεσιουργοῦ, ὑψηλαῖς μαρτυρίαις τε καὶ δωρεαῖς καὶ μεγαλουργίαις οὐ προσέχοντες, τὰ περὶ τῆς ἀῤῥητοτάτης καὶ ἀτρεπτοτάτης φιλαν-

---

1. Α' Πέτρ. 2,11. 2. Παρμ. 27,19. 3. Α' Κορ. 2,14. 4. Α' Κορ. 2,15.

θρώπου ἐνανθρωπήσεως αὐτοῦ νομιζόμενα ἐκείνοις εἶναι μικροπρεπῆ ῥήματα, τῇ θεότητι αὐτοῦ προσάπτουσιν· καὶ ἀφ' ὧν ὤφειλον, τήν τε δόξαν διειδέναι τοῦ Θεοῦ καὶ ἀνυμνεῖν πλέον τὸ φιλάνθρωπον αὐτοῦ, διὰ τούτων ἔξω τε τῆς ἀληθείας φερόμενοι ἁλίσκονται καὶ ὑβρίζειν τὸν εὐεργέτην καὶ Σωτῆρα προάγονται· φροντίς τε αὐτοῖς, οὐχ ὅπως ἐξιλεώσωνται αὐτὸν ὡς κριτήν· ἀλλ' ὅπως ὑπὸ κρίσιν ὄντα, ὡς κτιστὸν καὶ μετὰ τὴν εἰς οὐρανοὺς ἄνοδον καὶ τὴν ἐκ δεξιῶν τοῦ ἑαυτοῦ Πατρὸς ἰσότιμον συνεδρίαν ἀποδείξωσιν. Πολλάκις δὲ καὶ τὰ περὶ αὐτοῦ ἢ παρ' αὐτοῦ μὴ λεχθέντα ἢ δι' ἐπικρύψεως ἠνιγμένα, ὡς κατ' αὐτοῦ ἢ παρ' αὐτοῦ ἀποπεφασμένα ἀβασανίστως διατιθέασιν καὶ πάντα σαθρὸν καὶ ἄναλκιν ἐκτετιμήκασι νοῦν· οὐδὲν καλλίους ἀλόγων ζῴων ἑαυτοὺς προσάγοντες τούτῳ τῷ περιποθήτῳ Δεσπότῃ, τῷ ἄγοντι δίχα βίας τοὺς πειθομένους εἰς τὴν τοῦ Πατρὸς καὶ ἑαυτοῦ καὶ τοῦ Ἁγίου Πνεύματος μίαν ἀδιαίρετον βασιλείαν καὶ φειδοῖ τῇ πρὸς ἡμᾶς παραινοῦντι· «Μὴ γίνεσθε ὡς ἵππος καὶ ἡμίονος, οἷς οὐκ ἔστιν σύνεσις»[1]. Τὰ γὰρ ἄλογα ζῷα, φησίν, οἷς ἡ ψυχὴ τὸ ἐξ ὕλης αἷμα, κατὰ τὸν εἰπόντα ἐν τῇ Γενέσει, «Τὸ αἷμα αὐτοῦ ἡ ψυχὴ αὐτοῦ»[2], εἰς γῆν νένευκεν, ἀεὶ τῇ γαστρὶ μόνῃ δουλεύοντα καὶ οὐκ ἀνέστηκε τῷ σώματι καὶ τῷ νῷ, ὡς ὁ ἄνθρωπος, ὁ καὶ τῶν ἐπιγείων αἰσθανόμενος καὶ τὰ μετέωρα βλέπων καὶ ἐπὶ τὴν ἄνω γαληνοτάτην καὶ ἀπαθεστάτην κατάστασιν σπεύδων καὶ ὡς ἐν πανδοκείῳ τινὶ ἐν τῷ κόσμῳ ἡγούμενος καταλελυκέναι καὶ παρασκευαζόμενος ἵν' εὐφρονῇ ἐφ' ἑκάστης πρὸς τὴν ἐκ τούτου ἔξοδον· διά τε τοῦτο ἁπλοῦς τὴν πίστιν καὶ τὴν γνώμην ὁ σοφὸς ὑπάρχει. Παντὶ γὰρ τῷ δῆλον, ὡς πάσης τῆς διὰ λόγων καὶ ἐν λόγοις τέχνης, ἡ ἀλήθεια κρείττων ἀεί, ἥτις συμπέφυκεν τῇ ἁπλότητι. Ταράττειν δὲ καὶ ταράττεσθαι δοκοῦσιν οἱ τεχνικοὶ λόγοι, οἳ πλεονάζουσιν αἱρετικοῖς τοῖς τῆς θεολογικῆς θεωρίας, ὡς καὶ Ἕλληνες **[781]** ἀλλοτρίοις. Θεὸν μὲν γὰρ καὶ Κύριον καὶ Υἱὸν καλοῦσιν αὐτόν, οὐκ ἔτι δὲ ὡς μὲν Θεὸν καὶ Κύριον ἄκτιστον, ἄναρχον, αὐτεξούσιον καὶ ἴσον τῷ Θεῷ Πατρί· ὡς δὲ μονογενῆ Υἱὸν ὁμοούσιον τῷ γεννήσαντι λέγουσιν· καὶ ταῦτα ἐκφαίνοντα καὶ προφαίνοντα τὸ ὁμότιμον καὶ ἰσοσθενὲς τῆς Ἁγίας Τριάδος εἰς τὸ περὶ τὸ βάπτισμα θεῖον αὐτοῦ δόγμα καὶ ἐν ἄλλοις δὲ πολλοῖς, ὡς εἴρηται· ἀλλ' Ἕλλησι τρόπον τινὰ συμφερόμενοι, διαφορότητας καὶ ὑφέσεις οὐσιῶν καὶ δόξης, κατὰ νόας ἰδίους, τῶν θείων καὶ ὁμοουσίων τριῶν ὑποστάσεων ὑφιστᾶσιν καὶ διανοοῦνται περί τε τοῦ Υἱοῦ καὶ τοῦ Ἁγου Πνεύματος τοῦ Θεοῦ.

Γ'. Ἅπερ καὶ οἱ ἀλάστορες καὶ μυσαροὶ δαίμονες, οἱ δι' οἰκείας γνώμης κακότητα ἀναδειχθέντες, ἄχρηστα καὶ μισόκαλα κτίσματα ἀκοῦσαι, μήτι γε καὶ εἰπεῖν, φρίττουσιν. Οἱ μὲν οὖν λόγοι, οἱ τὰς θεολογίας περιέχοντες, ἀποχρώντως ἀπειργάσθησαν, ἤδη οὐσῶν μὲν

---

1. Ψαλ. 31,9. 2. Πρβλ. Λευϊτ. 17,11,14.

καὶ ἄλλων μυριολέκτων ἀποδείξεων, μὴ μνημονευθεισῶν δέ, ὅπως μήτε ὀκνοῖεν διὰ τὸ πλῆθος οἱ ἐντυγχάνοντες, μήτε μακροπερίοδος καὶ πολυλογῶν φαίνηται ὁ γράφων. Εἰ γὰρ «ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ»α φασὶν οἱ τῶν Ἑλλήνων εὐδόκιμοι καὶ Ἀλήθεια διὰ τοῦτο εἰκότως ἂν τὸ Θεῖον προσαγορεύοιτο μόνον· δῆλον, ὡς καὶ ὁ περὶ τοῦ Θεοῦ Λόγου λόγος ἁπλοῦς, καὶ πάσης διαστρόφου ποικιλίας ἀπηλλαγμένος. Ἵνα δὲ εὐσύνοπτοι ὦσιν αἱ θεηγορίαι διὰ τὰ νυνὶ λεχθησόμενα προβλήματα αἱρετικῶν, φέρε, ὡς ἐν μερικῇ καὶ συντόμῳ ἀνακεφαλαιώσει συνείρωμεν τὸν λόγον αὐτῶν, εἰ καὶ ταυτοειπεῖν μέλλομεν, ἀλλ' ὅμως διὰ τὸ χρειῶδες καὶ τὸ πᾶσι πανταχόθεν ἁλώσιμα, κατά γε τὸ ἐφικτόν, γενέσθαι τὰ περὶ αὐτῶν. Καὶ γὰρ καὶ οἱ προθέμενοι οἰκοδομίαν ποιήσασθαι συνοψίσαντες πρότερον τὰς ἁρμοζούσας ὕλας ἀποτίθενται, εἶτα ἐξ αὐτῶν πλησίον ἑκάστου τόπου ἐξεργάζεσθαι μέλλοντος παρατιθέασιν, ὡς ἂν ἔχοιεν ὑπ' ὄμμασι καὶ ἐν προχείρῳ ἕκαστοι τῶν τῇ χειρουργίᾳ κεχρημένων καὶ οὕτω τοῦ πράγματος ἄρχονται. Τῷ δὲ Θεῷ αὖθις τὸ πᾶν θαρρήσας, τῷ τὰ κύματα παύοντι καὶ εὔδιον πλοῦν διδόντι καὶ πάντα κατορθοῦντι, οὗ κατὰ χάριν (ἦν καὶ ἁμαρτωλοῖς καὶ στενοῖς τὸν λόγον, ἰδίᾳ δ' ἐμοῦ λέγω, χορηγεῖν εἴωθεν) εἰς ταύτην προελήλυθα τὴν **[784]** ἐπιθυμίαν, πρόειμι ἐπὶ τὰ ἑξῆς, πιστεύων, ὡς πρινὴ λαλήσω σὺν τοῖς παιδίοις, οἷς ἔδωκέ μοι καὶ τοῖς παιδίοις τῶν παιδίων, δι' ἃ καὶ ζῶντες ποιοῦμεν, ἔτι δὲ καὶ πᾶσιν, οἷς οἶδεν, τὴν χάριν δέξομαι. Αὐτοῦ γὰρ χρυσοῦν θέσπισμά ἐστιν· «Πάντα, ὅσα ἂν αἰτήσητε ἐπὶ τῷ ἐμῷ ὀνόματι, λήψεσθε»[1]· καί· «Ἄνοιξον τὸ στόμα σου καὶ πληρώσω αὐτό»[2]· καί· «Οὐχ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρός μου τὸ λαλοῦν ἐν ὑμῖν»[3]. Περὶ οὗ καὶ παρ' οὗ συναισθήσεως ἀξιωθέντες καὶ οἱ ἔξω φασίν·

Θεὸς ὁ τὰ πάντα τεύχων· καὶ χάριν ἀοιδῷ φυτεύει.

Οὐκ αὐτάρκης γὰρ ὄντως ἡ ἀνθρώπου σύνεσις εἰπεῖν τι περὶ τοῦ Θεοῦ, μὴ θείαν προσλαβοῦσα βοήθειάν τε καὶ δύναμιν· ὥς που καὶ Διαγόρας ὁ Μήλιος ἔφησεν· «Θεὸς πρὸ παντὸς ἔργου βροτείου νωμᾷ φρένα **[785]** ὑπερτάταν· αὐτοδαὴς δὲ ἀρετᾷ βραχὺν οἶμον ἕρπειν». Ἄρξομαι δὲ ἀφ' ὧν εἰκὸς ἄρξασθαι.

---

1. Πρβλ. Ματθ. 21,22. Ἰω. 14,13. 2. Πρβλ. Ψαλ. 80,11. 3. Ματθ 10,20.

α. Εὐριπίδου, Φοίνισσαι 469.

ΚΕΦΑΛΑΙΟΝ Β′

Θεολογιῶν κεφάλαια νε′.

Α′. Εἰ τοίνυν ἀψευδεῖ ἡ Γραφὴ (πάντως δὲ ἀψευδεῖ) Θεὸν ἀληθινὸν καὶ Υἱὸν τοῦ Θεοῦ ἀληθινὸν λέγουσα εἶναι τὸν Θεὸν Λόγον, ὡς πολλαχοῦ ἔχει καὶ ὡς ὁ Πατὴρ λέγει· «Οὗτός ἐστιν ὁ Υἱός μου, ὁ ἀγαπητός»[1]· καὶ ὡς Ἰωάννης γράφει· «Καί ἐσμεν ἐν τῷ ἀληθινῷ Υἱῷ τοῦ Θεοῦ Ἰησοῦ Χριστῷ· οὗτός ἐστιν ὁ ἀληθινὸς Θεὸς καὶ ζωὴ αἰώνιος»[2]· καὶ ὡς Ἱερεμίας προφητεύει· «Θεοί, οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν ἐπὶ τῆς γῆς· Κύριος, ὃς ἐποίησε τοὺς οὐρανοὺς ἐν συνέσει, αὐτὸς Θεὸς ζῶν καὶ ἀληθινός»[3]· δῆλον· δήπουθεν, ὡς φύσει καὶ κυρίως Θεὸς ἄκτιστος ὢν καὶ ἄναρχος καὶ ἀπαράλλακτος κατὰ πάντα τοῦ Θεοῦ καὶ Πατρός. Οὔτε γὰρ αἰτία φύσει Θεοῦ ἀληθινοῦ εὑρίσκεται οὐδὲ Θεὸς ἀληθινὸς ποιητὸς λέγεται οὔτε Υἱὸς ἀληθινὸς ἑτεροούσιος νοεῖται. Καὶ τὸ ἔχειν δέ, «Οὗτός ἐστιν ὁ Υἱός μου»[4]· καί· «Οὗτός ἐστιν ὁ ἀληθινὸς Θεός»[5]· ζητεῖν ἄλλον γνήσιον Υἱὸν ἢ κυρίως Θεὸν ἀποκλείει· καὶ ἄλλως· Εἰ ἀληθινὸς Θεὸς καὶ Υἱός ἐστιν κατὰ μὲν τὴν ἄνω γέννησιν Πατέρα ἔχει, Θεὸν δὲ οὐκ ἔχει· κατὰ δὲ τὴν κάτω Θεὸν μὲν ἔχει, πατέρα **[788]** δὲ οὔ. Ἀτριβῆ οὖν καὶ τοῖς ἅπασι κτίσμασιν παντοίως ἀνεπίβατον μὴ στέλλεσθαι πορείαν, ἄνθρωπον ὅλως ὄντα καὶ οἱ ἔξω διηγόρευσαν τοιῶσδε·

Θεὸν νόμιζε καὶ σέβου, ζήτει δὲ μή.

Καὶ πάλιν·

Ἀθάνατος δὲ Θεός, παναγήραος, ἀστυφέλικτος.
Ἄρρητος κρυφίοις ὑπὸ δήνεσιν, αὐτογένεθλος,
Τίκτων αὐτὸς ἑαυτόν, ἀεὶ νέος, οὐ ποιητός.
Αὐτὸς ἀληθείης γενέτης, σοφὸς αὐτὸς ἀλήθης».

Καὶ ὁ Πίνδαρος δέ, πιστὸν καὶ ἀληθινὸν λέγων τὸν Θεόν, ἔφησεν οὕτως·

Καὶ μὰν Θεοῦ γένος πιστὸν ἀεία.

Αὐτὸς γὰρ ὑπάρχων ὁ τῆς ἀληθείας γενέτης, οὐκ ἂν ὑπὸ ἀνθρωπίνης διανοίας ληφθείη, εἰ μὴ τῆς ἀληθείας τῆς αὐτοῦ πληρωθεῖσα φῶς ἐκ ταύτης ἑαυτῇ πρὸς τὰς ζητήσεις ἀνάψειεν.

---

1. Ματθ. 3,17. 2. Α′ Ἰω. 5,20. 3. Ιρβλ. Ἱερ. 10,11,12. 4. Ματθ. 3,17. 5. Ἰω. 5,20.

α. Πινδάρου, Νέμ. ᾠδὴ 10, στ. 102.

Β′. Εἰ Θεὸς εἷς ἐστιν, ὡς Μωϋσῆς λέγει· «Ἄκουε, Ἰσραήλ· Κύριος ὁ Θεός σου Κύριος εἷς ἐστιν»[1]· καὶ ὁ Υἱὸς δὲ ἀνυμνεῖται μονογενὴς Θεὸς καὶ εἷς Κύριος Ἰησοῦς Χριστός· ἐκ παντὸς ὁμοούσιος καὶ ἰσότιμος τῷ Θεῷ καὶ Πατρί, τῇ μὲν ὑποστάσει ἄλλος καὶ ἄλλος, τῇ δὲ θεότητι καὶ συμφωνίᾳ εἷς. Ἐν τούτῳ γάρ ἐστιν τό· «εἷς Θεός»[2]. Εὑρίσκομεν ἀμέλει τοι καὶ Ἕλληνας αὖθις ὑπὸ ἀνάγκης ἀφανοῦς καὶ ἄκοντας περιτραπέντας εἰς τὴν ἀλήθειαν καὶ ὁμοφώνῳ καὶ ὁμογνώμονι ἡμῖν διαθέσει ἐν τῷ μέρει τούτῳ κεχρημένους, ἀναφωνοῦντάς τε ἐγγράφως καὶ διαρρήδην ταῦτα·

Εἷς Θεός ἐστιν· ἄναξ πανυπέρτατος αὐτὸς ἁπάντων.
Καὶ γενέτης πάμπρωτος ἔφυ καὶ ρίζα καὶ ἀρχή.

Γ′. Εἰ ἀεὶ ὄνομα τῷ μὲν Θεῷ τὸ «Πατήρ», τῷ δὲ Υἱῷ τὸ «Υἱὸς» καὶ «Μονογενής», φυσικὸς καὶ ἀληθινός ἐστιν Υἱὸς καὶ ἄναρχος καὶ οὐ καθ' ἡμᾶς Υἱός. Ὁ γὰρ Μονογενὴς τῷ Πατρὶ οὐκ ἔχει ὁμοπά[789]τριον ἀδελφὸν οὐδὲ λέγεται πατήρ, μήπω γεγεννηκώς.

Δ′. Εἰ εὐλόγως εἴρηται Λόγος Θεοῦ ὁ Υἱός, συνυπάρχει τῷ γεννήσαντι, οἰκείως τῇ φύσει ἔχων αὐτῷ καὶ ἀπαθῶς καὶ ἀνάρχως γεννηθείς. Οὐδὲ γὰρ ὁ Πατὴρ ἐκτὸς τοῦ ὑποστατοῦ Λόγου αὐτοῦ ἐπινοεῖσθαι δύναται· οὔτε μὴν Λόγος κτίζεται, ἀλλὰ γεννᾶται ἀπαθῶς. Παραλλήλως, εἰ τοῦ Θεοῦ Λόγος καὶ σοφία δικαίως ἐγγέγραπται ὁ Υἱὸς καὶ δι' αὐτοῦ γέγονε τὰ πάντα[3], οὐκ ἀπὸ Λόγου τοῦ Θεοῦ ἔκτισται, ἀλλ' ἀπὸ γαστρὸς αὐτοῦ γεγένηται. Εἷς γὰρ ὁ τοῦ Θεοῦ Λόγος καὶ ἐν ποίῳ ἄλλῳ Λόγῳ εἶχε κτισθῆναι; Ταῦτα γὰρ καὶ Ἑλλήνων λογάδες διαγορεύουσιν·

Ἄρρητα γὰρ τίκτουσιν αἱ Θεοῦ γοναί.
Παντὸς πάθους δὲ καὶ φύσεως ὑπέρτερος.

Ε′. Εἰ ἔστιν ὁ Υἱός, ὡς ἐδείχθη, αὐτὴ ἡ αἰώνιος ζωὴ καὶ φῶς τὸ ἀληθινὸν τοῦ εἶναι καὶ ζῆν οὐκ ἤρξατο. Καὶ παραλλήλως, εἰ ἔστι ταῦτα καὶ ὁ Πατήρ, οὐδὲ κατὰ ἐνθύμησιν ἕν τινι παραλλάττει.

Ϛ′. Εἰ δύναμις καὶ σοφία ὁ Υἱὸς εἶναι τοῦ Θεοῦ εἴρηται, συνάναρχός ἐστι τῷ γεννήσαντι· οὐδὲ γὰρ ἦν, ὅτε ἐκτὸς τούτων ὑπῆρχεν ὁ Πατήρ, οὐδὲ προσῆκεν εἰπεῖν, ὅτι μὴ ἔχων, ὕστερον ὁτιοῦν προσέλαβεν. Καὶ οἱ ἀπὸ τῆς ἔξωθεν δὲ σοφίας τι μαθόντες, οὐ δεύτερον εἶδος, οὐ δεύτερον χρόνον, εἰ θέμις οὕτω φάναι, ὑπάρξεως θεότητος θεωρήσαντες, ἔφησαν πρὸς τὴν αὐτῶν δύναμιν τάδε·

---

1. Δευτ. 6,4. 2. Πρβλ. Ἔνθ' ἀν. 3. Ἰω. 1,3.

Αὐτὸς πάντα φέρει Θεὸς ἄμβροτος· αὐτὸς ἑαυτοῦ
Καὶ γενέτης καὶ ῥίζα πέλει καὶ τέρμα καὶ υἱός.

Ζ'. Εἰ τῷ Πατρὶ ἴσως σῴζει, ἅτε Σωτήρ, ἔτι μὴν καὶ σοφίζει, ἀληθεύει, δικαιοῖ, ἁγιάζει· καὶ εἰ πάντα, ὅσα ἂν ὁ Πατὴρ ποιῇ, ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ, οὐκ ἀνόμοιος αὐτῷ ἀναφαίνεται.

Η'. Εἰ τοῦ Θεοῦ τοῦ ἀνειδέου καὶ ἀοράτου καὶ ἀνάρχου, ὡς Παῦλος Ἑβραίοις γράφει, ἀπαύγασμά ἐστι τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως καὶ εἰκὼν ὁ Μονογενὴς καὶ εἰ αὐτὸς ἀληθεύει λέγων· «Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα»[1]· καί· «Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν»[2]· ὁμοούσιός ἐστιν καὶ συνάναρχος καὶ ἴσος καὶ ἀπαράλλακτος τῷ Θεῷ Πατρί. Καὶ γὰρ ἐκ φωτὸς φῶς οὐχ ἑτεροουσίως οὐδὲ μετέπειτα γεννᾶται· καὶ χαρακτὴρ ὑποστάσεως τὸ ταὐτὸν καὶ ἀπαράλλακτον τῆς φύσεως καὶ δόξης καὶ παντοκρατορίας δηλοῖ· καὶ εἰκὼν λογικὴ τὸ ἴσον καὶ ὅμοιον σημαίνει· καὶ ὁ βλέπων κτίσμα οὐ βλέπει τὸν ἄκτιστον. Ἓν γὰρ εἶπεῖν εἶναι τῇ θεότητι τὰς ὑποστάσεις καὶ ἐν ἑνάδι οὐσίας διέσταλκε δίχα τὰ πρόσωπα.

[792] Θ'. Εἰ ἄτρεπτος ὁ Θεὸς καὶ Πατήρ, οὔθ' ὕστερον, οὔτε παθητῶς ἐγέννα, ἀλλ' ὡς φῶς τὴν αὐγὴν ἀπαθῶς καὶ ἀδιαστάτως· ἀσώματος γάρ. Καὶ οἱ ἔξω σοφοὶ πρὸς τὴν ἰδίαν ἀσθένειαν ἐπίστευσαν οὑτωσί·

Οὐ γὰρ ἀπ' ὠδῖνος Θεὸς ἄμβροτος, οὐδ' ἀπὸ κόλπων·
Νηδύος ἐκ λοχίης φάος ἔδρακεν· ἀλλὰ νόοιο
Ἀρρήτῳ στροφαλῇτι κυκλούμενος, αὐτολόχευτος
Γίνεται, ἐξ ἔθεν αὐτὸς ἐὼν γενέτης καὶ υἱός.

Ι'. Εἰ πᾶν κτίσμα τρεπτόν, ἄτρεπτος δὲ ὁ Μονογενής· οὐκ ἄρα κτίσμα.

ΙΑ'. Εἰ ἡ κτίσις οὐ γινώσκει τὸν Πατέρα, εἰ μὴ ἃ ἀποκαλύψῃ ὁ Υἱός, ὁ δὲ Υἱὸς γινώσκει, οὐδενὸς ἀποκαλύπτοντος αὐτῷ· οὐκ ἔστι κτιστός, ἀλλὰ γεννητός.

ΙΒ'. Εἰ τῷ Πατρὶ ἴσον αὐτὸν ἴσασιν αἱ Γραφαί· Παῦλος γὰρ γράφει· «Οὐχ ἁρπαγμὸν ἡγήσατο εἶναι ἴσα Θεῷ»[3]· καί· «Ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος»[4]· καὶ ὁ εὐαγγελιστὴς λέγει, ὅτι «Ἴσον ἑαυτὸν ὁ Υἱὸς ἐποίει τῷ Θεῷ»[5]· καὶ εἰ Θεόν, πρὸς ὃν «οὐ λογισθήσεται ἕτερος»[6] λέγει αὐτὸν Ἱερεμίας· καὶ Ἡσαΐας Θεόν,

---

1. Ἰω. 14,9. 2. Ἰω. 10,30. 3. Φιλιπ. 2,6. 4. Κολ. 2,9. 5. Ἰω. 5,18. 6. Βαρ. 3,36.

ἰσχυρόν, ἐξουσιαστήν[1]· πῶς ὑστερεῖ κατὰ αἱρετικοὺς καὶ οὐκ ἔστιν ἴσος κατὰ πάντα τῷ Πατρί;

ΙΓ′. Εἰ Παῦλος τοῦ πρεσβυτέρου νόμου τὸ σωτήριον κήρυγμα, τὸ περὶ Χριστοῦ καὶ Ἁγίου Πνεύματος, προφερέστερον ἡγεῖται, διὰ τὸ ἔχειν τὸ τέλειον, ὡς ἐν τῷ λ′ ἐδείχθη λόγῳ· πρέπει πάντῃ τε καὶ πάντως τοῦ Θεοῦ καὶ Πατρὸς κατὰ μηδὲν τὸν Υἱὸν καὶ τὸ Πνεῦμα μειονεκτεῖν.

ΙΔ′. Εἰ ἐκφεύγειν τὸ ἔγκλημα τῆς κτισματολατρείας τοὺς πιστεύοντας τῷ Υἱῷ παρεγγυᾷ Παῦλος, ἔτι δὲ καὶ ἀθέους ἀποκαλεῖ τοὺς πρὸ τούτου ἐκτὸς **[793]** τοῦ Υἱοῦ τὸν Θεὸν καὶ Πατέρα μόνον ἐγνωκότας, οὐ κτίσμα ὁ Θεὸς Λόγος.

ΙΕ′. Εἰ Ἰουδαῖοι, ἀπιστήσαντες τῷ Χριστῷ, ἴσον ἑαυτὸν ποιοῦντι τῷ Θεῷ καὶ διὰ τοῦτο σταυρώσαντες αὐτὸν κατεκρίθησαν, Χριστιανοὶ δὲ πιστεύσαντες ἀνωτέρω ἐκείνων γεγόνασιν· οὐ μικρότερος ἔν τινι τοῦ ἰδίου Πατρὸς ὁ Υἱός.

ΙϚ′. Εἰ τοῦ μόνου Θεοῦ ἐξαίρετον τὸ ὑμνεῖσθαι «μέγας Θεός»[2]. ἀναφθέγγεται δ' ὁ Παῦλος, «Τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ»[3] καὶ ὁ Δαυΐδ, «Τίς ὅμοιός σοι ἐν θεοῖς, Κύριε;»[4], οὐκ ἐξοχώτερος τοῦ Υἱοῦ, οὐδὲ ἀπαράβλητος πρὸς αὐτόν.

ΙΖ′. Εἰ ὁ αὐτὸς Παῦλος οὐ συναριθμεῖ αὐτὸν τοῖς κτιστοῖς θεοῖς, συντάττει δὲ μετὰ τοῦ Πατρός, Κορινθίοις γράφων, «Καὶ γὰρ εἴπερ εἰσὶ λεγόμενοι θεοὶ πολλοὶ καὶ κύριοι πολλοὶ ἔν τε οὐρανῷ καὶ ἐπὶ γῆς, ἀλλ' ἡμῖν εἷς Θεὸς ὁ Πατήρ, ἐξ οὗ τὰ πάντα· καὶ εἷς Κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα»[5]· οὐκ ἐν ποιήμασι συντετάξεται, μετὰ δὲ Πατρὸς συνδοξασθήσεται.

ΙΗ′. Εἰ δημιουργὸς πάντων καὶ αὐτῶν τῶν αἰώνων ἐστὶν ὁ Υἱός, ὡς ἐγράφη, πρὸ πάσης ἐνεργείας ἐστίν· ὁ δὲ πρὸς πάσης ἐνεργείας οὐκ ἐδημιουργήθη. Οὐδὲν γὰρ προαιώνιον ἢ πρὸ ἐνεργείας νοεῖται κτιστόν, ἀλλ' ἡ ἐν ἑνάδι ἀγέννητος Τριὰς μόνη. Καὶ ἄλλως· Εἰ πάντων γενεσιουργός ἐστι τῶν ὄντων, οὐκ ἔστιν ὡς ταῦτα κτιστός. Κατ' οὐδὲν γὰρ τοῖς κτίσμασιν ὁ κτίστης παραπλήσιος εἶναι δύναται ἢ ὀφείλει. Ἀλλ' οὐδὲ κτίσμα δημιουργοῦν οὐσιοῖ ἢ λογικὸν ἀποτελεῖ.

ΙΘ′. Εἰ ἦν ἐν τῇ ἀρχῇ Θεὸς πρὸς τὸν Θεόν, ἀρχὴν ἄλλην αὐτὸς οὐκ ἔχει, ἀρχαιότερος ὢν πάσης ἀρχῆς. Ἐπεὶ ἀνάγκη πᾶσα δοῦναι ἀρχὴν καὶ τῷ Πατρί. «Ἦν» γάρ, φησίν, «ἐν τῇ ἀρχῇ Θεὸς πρὸς τὸν Θεόν»[6]. Οὐκ ἔστι δὲ ἀρχὴ τῆς μιᾶς θεότητος τῆς οὔσης ἐν τῇ ἀρχῇ.

Κ′. Εἰ νοῦ παντὸς ἀνώκισται, πῶς Παρθένος ῥεύσεως ἐκτὸς ἔτεκεν, μείνασα πάλιν παρθένος· πολλῷ μᾶλλον ἀνεφικτότερον, πῶς αὐτογενὴς Θεὸς καὶ Πατήρ, ἀνάρχως, καὶ δίχα πάθους ἐξ ὅλου ἑαυτοῦ ὅλον ἰσομέτρως τέτοκε τὸν Υἱόν.

---

1. Πρβλ. Ἡσ. 9,5. 2. Πρβλ. Ψαλ. 85,10. Ψαλ. 88,8. 3. Πρβλ. Τίτ. 2,13. 4. Πρβλ. Ψαλ. 85,8. 5. Α′ Κορ. 8,5,6. 6. Πρβλ. Ἰω. 1,2.

ΚΑ′. Εἰ ἡμᾶς πλάσας αὐτεξουσίους ἐποίησεν, κρίσιν ὁρίσας ἐπὶ καλῇ καὶ κακῇ πράξει, πῶς αὐτὸς οὐκ ἔχει τοῦτο, ὃ ἔδωκεν ἡμῖν ὁ κατὰ τὴν προφητείαν ὢν Θεὸς, ἰσχυρός, ἐξουσιαστής»[1];

ΚΒ′. Εἰ πιστός ἐστι Πέτρος ἐν ταῖς Πράξεσι **[796]** βοῶν· «Τούτῳ πάντες οἱ προφῆται μαρτυροῦσιν, ἄφεσιν ἁμαρτιῶν λαβεῖν διὰ τοῦ ὀνόματος αὐτοῦ πάντα τὸν πιστεύοντα εἰς αὐτόν»[2]· ἀληθινὸν ὄνομα ἔχει τό, «ὁ Θεὸς», καί, «Υἱὸς μονογενὴς τοῦ Θεοῦ»[3] ψευδώνυμον γὰρ οὐδὲν ἀνίνησιν.

ΚΓ′. Εἰ ἀληθεύει ὁ ἀψευδὴς Θεός, ὃ καὶ τοὺς ψευδομένους ἀπολλύων»[4], ὡς ὁ Ἱεροψάλτης λέγει, παρὰ τῷ Θεολόγῳ εἰπών· «Πάντα ὅσα ἔχει ὁ Πατήρ, ἐμά ἐστιν»[5]· καί· «Τὰ ἐμὰ σά ἐστιν, καὶ τὰ σὰ ἐμά»[6]. Θεός ἐστιν ἄναρχος Κύριος, οὗ ἡ βασιλεία ἀτελεύτητος, καὶ πάντα, ὅσα ἐστὶν ὁ Πατήρ, οὐδὲν λαβὼν παρ' αὐτοῦ κατὰ τὴν θειαν φύσιν, ἀλλὰ κατὰ τὴν ὕστερον τοῦ δούλου μορφήν. Οἷα δὲ περί τε τῆς ἄνω ἀεὶ κρατούσης ἀληθείας, περί τε τῆς κάτω οὐκ ἀληθείας ἐφθέγξαντο καὶ Ἕλληνες, ἐπαΐωμεν·

Ἄψευδὴς μεγάλοιο Θεοῦ νόος· ἐν δὲ βροτοῖσι
Ψευδομένοις χαλεπὰ ὤπασε δύσμορα πάθη.

ΚΔ′. Εἰ κληρονόμος πάντων καθέστηκεν, οὐ δοῦλος, ἀλλὰ γνήσιος Υἱός. Εἰ δὲ μὴ δοῦλος, ἀλλ' Υἱός, Θεός ἐστιν ἄναρχος. Υἱὸς γὰρ γεννᾶται, οὐ κτίζεται· καὶ περὶ τῶν κτιστῶν καὶ ὑπὸ χρόνον γέγραπται· «Τὰ σύμπαντα δοῦλά σα»[7].

ΚΕ′. Εἰ ὡς μέγα (καὶ γάρ ἐστιν ἀληθῶς μέγα καὶ μόνου Θεοῦ) περὶ Πατρὸς εἶπε Παῦλος· «Ὁ ἐπὶ πάντων καὶ διὰ πάντων καὶ ἐν πᾶσι»[8]· τὰ δὲ ἴσα αὐτὸς περὶ τοῦ Υἱοῦ γέγραφεν· «Ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμήν»[9], καὶ ὁ εὐαγγελιστής φησιν· «Ὁ ἐρχόμενος ἄνωθεν, ἐπάνω πάντων ἐστίν»[10] οὐκ ἀφέστηκεν ἔν τινι, οὐδ' ἀποδεῖ τοῦ Πατρός. Ὅπως δὲ εὐλαβῶς ἔχουσι περὶ τούτων οἱ Ἑλλήνων θεολόγοι, οἱ πολλὰ μὲν ἀκούσαντες, οὐκ ὀλίγα ἀναγνόντες, ἑωρακότες δὲ καὶ πλεῖστα, ἐπισκοπεῖν ἄξιον. Φάσκουσι γάρ·

Πάντα Θεοῦ, πλήρη, πάντων πέρας ἐστὶ καὶ ἀρχή,
Πάντα φέρων, λύων τε καὶ ἐξ αὐτῶν πάλιν αὔξων.

ΚΣ′. Εἰ τοῦ Υἱοῦ ἡ κτίσις ἰδία γέγραπται (φησὶ γάρ· «Εἰς τὰ ἴδια ἦλθεν[11]· καὶ πάλιν· «Τὰ ἐμὰ **[797]** πρόβατα τῆς ἐμῆς φωνῆς

---

1. Ἡσ. 9,5. 2. Πράξ. 10,43. 3. Πρβλ. Ἰω. 1,18. 4. Πρβλ. Ψαλ. 5,7. 5. Ἰω. 16,15. 6. Ἰω. 17,10. 7. Ψαλ. 118,91. 8. Ἐφ. 4,6. 9. Ρωμ. 9,5. 10. Ἰω. 3,31. 11. Ἰω. 1,11.

ἀκούει»[1]· καὶ πρὸς τὸν Πέτρον· «Σοὶ δώσω τὰς κλεῖς τῶν οὐρανῶν»[2]) κτιστῷ δὲ οὐχ ὑπάρχει τὸ ἴδια εἶναι πάσῃ τῇ θείᾳ κτίσει, ἢ ἐξουσίαν διδόναι οὐρανῶν ἀνοίξεως, ἤγουν λέγειν τοῦτο ἀκινδύνως· συνδεσποτεύει τῷ παντοκράτορι αὐτεῦ Πατρί.

ΚΖ′. Εἰ ὁ ἀθάνατος οὐ κρείσσων τοῦ Θεοῦ Λόγου καὶ εἰ οὔτε Θεὸς οὔτε ἄψυχος σὰρξ δεῖταί πω τροφῆς ἢ ὕπνου· οὐκ ἄρα διὰ ψυχῆς ἡ ἄρρητος ἐνανθρώπησις, οὔτε μὴν ἐπιγραπτέον τῇ θεότητι ἀγωνίαν καὶ τροφῆς ἔφεσιν καὶ ὕπνον καὶ τὰ τοιαῦτα.

ΚΗ′. Εἰ, καθὰ γέγραπται, ἐκ δεξιῶν συνεδρεύει τῷ Πατρί, ὡς ἀληθινὸς καὶ ἰσότιμος Θεὸς καὶ Υἱὸς αὐτοῦ μονογενής· ὁμόθρονός ἐστιν, ἀμέριστον καὶ ἀπέραντον τὴν βασιλείαν κεκτημένος καὶ τῷ Πατρὶ ἐξ ἴσου συμπροσκυνούμενος καὶ συνδοξαζόμενος αὐτός τε καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ. Πῶς γὰρ ἂν ἠδύνατο, Τριάδος, ἐν ἑνὶ θρόνῳ παρούσης εἰς προσκυνεῖσθαι κατέναντι τοῦ ἑνὸς αἰωνίου θρόνου, ἐπ' ἀνατολὰς τῆς προσκυνήσεως γινομένης καὶ τῆς δόξης ἀναπεμπομένης; Ὅτι γὰρ ἔνθα ὁ Πατήρ, ἐκεῖ καὶ τὸ Πνεῦμα αὐτοῦ ἐστιν, σύνθακον αὐτῷ εὑρισκόμενον καὶ συμπροσκυνούμενον, ὡς τῆς ἁπάντων βασιλίδος φύσεως ὑπάρχον, ἐκ πολλῶν ἀνεκηρύχθη ,καὶ ἐκ τῆς λεγούσης Γραφῆς· «Ἐν τούτῳ γὰρ γινώσκομεν ὅτι ὁ Θεὸς ἐν ἡμῖν ἐστιν, ἐκ τοῦ Πνεύματος αὐτοῦ, οὗ ὁ Υἱὸς ἔδωκεν ἡμῖν»[3]. Οὐ νοεῖται γὰρ τὸ ἡμέτερον πνεῦμα· τοῦτο γὰρ ἔχοντες ἤδη, ἐλάβομεν τὸ Ἅγιον Πνεῦμα τοῦ Θεοῦ.

ΚΘ′. Εἰ θέλημα τοῦ Πατρός, «ἵνα πάντες τιμῶσι τὸν Υἱόν, καθὼς τιμῶσι τὸν Πατέρα»[4]· ἐν ἴσῃ δόξῃ καὶ μιᾷ ἰδιότητι ὑπάρχει τοῦ Πατρός· καὶ οὐχ ὁσίως ποιοῦσιν, ἢ τὴν δόξαν ἐναμείβοντες, ἢ ὑποτοπάζοντες κατά τι παραλλάττειν αὐτόν.

Λ′. Εἰ προσκυνεῖται παρ' ἀγγέλων[5], πῶς οὐκ ἄξιος καὶ παρ' ἀνθρώπων· Εἰ δὲ πρὸσκυνεῖται, οὐ κτίσμα. **[800]** Τεθέσπισται γὰρ μὴ προσκυνεῖν θεοῖς, ἐπειδὴ κτίσματα.

ΛΑ′. Εἰ ὁ Θεὸς καὶ Πατὴρ ἐν αὐτῷ καὶ αὐτὸς ἐν τῷ Πατρὶ ἐξ ἴσου καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ μένει παρ' αὐτῷ, ὡς ἐδείχθη· ἴση καὶ ὅμοιος ὑπάρχει ἡ Τριάς· καὶ οὐδεὶς ἔχειν, ἢ προσκυνεῖν, ἢ δοξάζειν δύναται τὸν Πατέρα, μὴ ἴσως ἔχων τὸν Υἱὸν καὶ τὸ Πνεῦμα αὐτοῦ, καὶ ἴσως προσκυνῶν καὶ δοξάζων.

ΛΒ′. Εἰ νομοθετεῖ ἁμαρτιῶν τε καὶ θανάτου ἐλευθεροῖ ὁ Υἱός, καὶ τὸ Ἅγιον Πνεῦμα («Ὁ γὰρ νόμος, φησί, τοῦ Πνεύματος τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ, ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου»[6], κράζει ὁ Παῦλος)· τῆς πρώτης καὶ μιᾶς εἰσι παντοκρατορικῆς καὶ ζωοποιοῦ φύσεως αἱ ὑποστάσεις αὗται. Κτίσμα γὰρ οὐ δύναται ἀφ' ἑαυτοῦ ταῦτα ποιεῖν.

ΛΓ′. Εἰ ὀρθῶς γέγραπται, ὁ μὲν Υἱὸς Σωτήρ, τὸ δὲ Ἅγιον Πνεῦ-

---

1. Πρβλ. Ἰω. 10,27. 2. Ματθ. 16,19. 3. Πρβλ. Α′ Ἰω. 4,13. 4. Ἰω. 5,23. 5. Πρβλ. Ἑβρ. 1,6. 6. Ρωμ. 8,2.

μα σωτηρίαν ἐπιχορηγεῖν· ἄτρεπτός ἐστιν καὶ ἄκτιστος, ὡς ἄτρεπτος ὅ τε Υἱός τό τε Πνεῦμα. Τὸ γὰρ τρεπτὸν σώζειν οὐ δύναται ἀποσφαλέντα, ὡς κτιστὸν καὶ οὐκ ἀναμάρτητον.

ΛΔ′. Εἰ ἡμεῖς οἱ κτιστοὶ υἱοθετούμεθα παρὰ τοῦ Υἱοῦ, καθὰ μυσταγωγοῦντες ἡμᾶς λέγουσιν (Παῦλος μέν· «Ὅτι ἐστὲ υἱοί, ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ἡμῶν, κράζον· Ἀββά, ὁ Πατήρ»[1]· Ἰωάννης δέ· «Ὅσοι δὲ ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι»[2])· οὐκ ἀπολείπονταί πω τῆς ἀληθοῦς θεότητος αἱ ὑποστάσεις αὗται. Πῶς γὰρ ὁ Υἱὸς ἐν ἑαυτῷ ἢ δι' ἑαυτοῦ, ἢ ἐν τῷ ἰδίῳ Πνεύματι υἱοποιηθήσεται;

ΛΕ′. Εἰ τὸ Ἅγιον Πνεῦμα λέγει Παῦλος εἶναι «τοῦ Θεοῦ Πνεῦμα»[3], ὡς ἐστιν ἡμῖν τὸ ἡμῶν, καὶ εἰ ὁ Θεός, ὁμοίως «Πνεῦμα αὐτοῦ»[4] προσαγορεύει αὐτό· δυσσεβεῖ ὁ μὴ λέγων αὐτὸν Θεὸν συνάναρχον καὶ ὁμοούσιον τῷ Πατρί. Οὐδὲ γὰρ ἦν, ὅτε ἐκτὸς τοῦ Πνεύματος αὐτοῦ ἦν, οὐδὲν προσῆκεν νοεῖν, ὡς ὕστερον, ἢ ἔξωθεν αὐτῷ προσγέγονεν, ἢ ὅτι τοῦ ἀκτίστου Πνεῦμα τὸ κτισθὲν πνεῦμα τυγχάνει· ἀλλὰ καὶ συνεπιβέβηκεν αὐτῷ ἐπὶ τὸν χερουβικὸν θρόνον, καὶ συμπροσκυνεῖται καὶ συνδοξάζεται, ὡς προείρηται, ἅτε Πνεῦμα ἀχώριστον αὐτοῦ.

ΛΣ′. Εἰ ἡ κτίσις δεκτικὴ ἁγιότητος, σοφίας, ἀγαθότητος, καὶ πάσης τελείας ἀρετῆς τυγχάνει (τρεπτὴ γάρ), τὸ δ' Ἅγιον Πνεῦμα οὐ δεκτικόν, ἀλλὰ παρεκτικὸν (ἄτρεπτον γὰρ)· ἄρα Δημιουργὸς **[801]** καὶ οὐ δημιούργημα αὐτὸ τυγχάνον καθ' ὕπαρξιν, κατὰ τὰ προειρημένα.

ΛΖ′. Εἰ ἡ κτίσις ἀναλαμβανομένην καὶ ἀποβαλλομένην γνῶσιν ἔχει, τὸ δὲ Πνεῦμα οὐδ' ἔξωθεν ἔσχεν, οὐδ' ἀπορριπτεῖν πέφυκε τὴν γνῶσιν, ἀλλὰ καὶ ἀποκαλύπτειν τὰ τοῦ Θεοῦ σοφίας καὶ γνώσεως, καὶ τοῦ Πατρὸς κατ' οὐσίαν ὑπάρχον· οὐκ ἄρα κτίσμα τὸ Πνεῦμα. Ἐπαΐωμεν δὲ καὶ τῶν περὶ τούτου Ἑλληνικῶν σοφισμάτων, ἐχόντων ὧδε·

. . . . . .

ΛΗ′. Εἰ ὁ δοῦλος οὐκ οἶδεν, τί ποιεῖ ὁ Κύριος αὐτοῦ, τὸ δὲ Πνεῦμα οἶδεν τὰ τοῦ Θεοῦ, κατὰ τὸν Ἀπόστολον· οὐ διώρισται αὐτοῦ φύσει καὶ τῇ συμφωνίᾳ ὁμολογουμένως δὲ Θεός ἐστιν καὶ Δεσπότης, ἴσην γνῶσιν ἔχων τῷ Θεῷ, ὅπερ ἀμήχανον καὶ ἀδύνατον εἶναι ἐπὶ παντὸς κτιστοῦ.

ΛΘ′. Εἰ ἓν καὶ μόνον εἶναι τοῦτο, ὡς καὶ τὸν Υἱὸν μονογενῆ, ἴσασιν αἱ Γραφαί· οὐκ ἔστι κτιστόν, ὡς τὸ πλῆθος τῶν πνευμάτων, ἀλλὰ τῆς μονάδος θείας οὐσίας. Διὸ μόνον αὐτὸ ἰδίως καὶ κυρίως ἔστι τε καὶ κέκληται Ἅγιον Πνεῦμα καὶ Πνεῦμα τοῦ Πατρὸς καὶ Πνεῦμα τοῦ Θεοῦ καὶ Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ καὶ Πνεῦμα ὃ παρὰ τοῦ Πα-

---

1. Γαλ. 4,6. 2. Ἰω. 1,12. 3. Α′ Κορ. 2,11. 4. Αὐτόθι.

τρὸς ἐκπορεύεται[1]· καὶ ἐκ τοῦ εἶναι αὐτὸ ἐν πᾶσιν[2], ὡς τὸν Θεόν, γινώσκομεν, ὅτι ὁ Θεὸς ἐν ἡμῖν ἐστιν.

Μ′. Εἰ ἐν ἴσῳ ἐμαρτυρήθη εἶναι ἡ Τριὰς ἀλήθεια καὶ ἀγαθότης, καὶ ἁγία· ἐν μιᾷ θεότητί ἐστιν, μηδὲν ἔχουσα πολυσχιδές. Μία γὰρ ἡ ἄτρεπτος θεία ἀλήθεια καὶ ἀγαθότης καὶ ἁγιωσύνη ἐστίν. Ἡ γὰρ κτίσις, καὶ μεθεκτῶς ταῦτα ἔχει καὶ τρέπεται κατ' οἰκείαν προαίρεσιν ἐπ' αὐτοῖς, νῦν μὲν ἀληθεύουσα, ἄλλοτε δὲ ψευδομένη καὶ νῦν μὲν ἀγαθυνομένη, ἄλλοτε δὲ κακυνομένη. Φαίνονται καὶ περὶ τούτου οἱ λογάδες τῶν ἔξω εἰρηκότες τάδε·

Τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων
Οἷόν ἐπ. . . . . α.

ΜΑ′. Εἰ, καθὰ γέγραπται, ἀνακαινίζει ἡμᾶς ἐν τῷ βαπτίσματι, καὶ ἐλευθεροῖ ἀπὸ ἁμαρτίας καὶ θανάτου τὸ Ἅγιον Πνεῦμα καὶ ναὸς αὐτοῦ ἐσμεν ὁμοίως τοῦ Θεοῦ Πατρός· ὡς Δημιουργὸς καὶ συνεργὸς τῷ Δημιουργῷ ἀνακτίζει καὶ ὡς Δεσπότης ἐλευθεροῖ καὶ ὡς Θεὸς ἐνοικεῖ. Ὁ δὲ ταῦτα ὤν, ποίημα παραπλησίως τοῖς ποιήμασιν εἶναι οὐ δύναται· οὐδὲ λέγειν, ἢ σιωπῶντα ἀνέχεσθαι ἀκούειν τοῦτο θέμις.

ΜΒ′. Εἰ ἅμα τῷ Θεῷ Πατρὶ καὶ τῷ Υἱῷ αὐτοῦ τὸ Ἅγιον Πνεῦμα διὰ τοῦ βαπτίσματος ἀναστοιχειοῖ ἡμᾶς εἰς εἰκόνα τὴν πρώτην καὶ διὰ τῆς μετουσίας αἴτιον ἡμῖν υἱοθεσίας καὶ τοῦ γίνεσθαι θεούς ἐστιν **[804]** καὶ οὐδὲν τῶν κτιστῶν τῷ τρόπῳ τούτῳ ἔχει τὸ υἱοποιεῖν, ἢ θεοποιεῖν πῶς αὐτὸς οὐκ ἔστιν ἀληθινὸς Θεός;

ΜΓ′. Εἰ μηδὲν τῶν κτισμάτων εἰς δημιουργίαν ἢ εἰς δοξολογίαν ἢ εἰς τὸ βάπτισμα συνεμνημονεύθη τῷ Θεῷ Πατρί, τὸ δὲ Πνεῦμα μνημονεύεται· ἄρα ὡς ἰσότιμος καὶ ἰσοσθενὴς τῷ Πατρὶ καὶ τῷ Μονογενεῖ, Θεός ἐστιν.

ΜΔ′. Εἰ τοὺς προφήτας καὶ ἀποστόλους ἐξουσιαστικῶς ἀπεσταλκέναι, καθ' ὁμοιότητα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, μεμαρτύρηται· ὡς Θεὸς σύμφωνος κατὰ πάντα τῷ Πατρὶ καὶ ὡς προγνώστης καὶ τῆς κτίσεως Δεσπότης ταῦτα πεποίηκεν.

ΜΕ′. Εἰ, ἅπερ νῦν εἴρηται περὶ τοῦ Πατρὸς ἢ τοῦ Υἱοῦ, ἄλλοτε περὶ τοῦ Ἁγίου Πνεύματος ἀναγέγραπται, ἀμήχανον, ἀδύνατον, μὴ εἶναι ἀπαραλλάκτως τῆς μιᾶς αὐτοτελοῦς θεότητος καὶ θελήσεως καὶ δόξης τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ. Τὰ γὰρ τῷ αὐτῷ ἴσα, φασί, καὶ ἀλλήλοις ἐστίν ἴσα.

ΜϚ′. Εἰ μηδὲν τῶν οὐρανίων δυνάμεων οὐράνια χαρίσματα δύναται παρέχειν, τὸ δὲ τοῦ Θεοῦ Πνεῦμα κατ' ἐξουσίαν δωρεῖται, ἃ δοῦναι μόνης τῆς θείας φύσεώς ἐστιν· ἄρα παναρκὴς Θεὸς καὶ ἐξουσιαστής ἐστι καὶ τῶν ἐν οὐρανοῖς καὶ ὁμοούσιος τῷ Πατρὶ καὶ τῷ Υἱῷ τυγχάνει.

---

1. Πρβλ. Ἰω. 15,26. 2. Πρβλ. Σ. Σολ. 12,1.
α. Ὀδυσ. Σ 137-138.

ΜΖ′. Εἰ μηδὲν τῶν ἀοράτων ἢ ὁρατῶν ἱερῷ γράμματι προσηγόρευται θεῖον καὶ ἀλήθεια, εἰ μὴ ὁ Πατὴρ καὶ τὸ Ἅγιον Πνεῦμα αὐτοῦ καὶ ὁ Μονογενής· ἀναμφήριστον, ὡς τῆς ἑνάδος θείας καὶ ὑπερουσίου ἐστὶν οὐσίας.

ΜΗ′. Εἰ τῶν παμμεγεθεστάτων καὶ φωτοειδεστέρων πάντων ἐν ποιήμασιν οὐρανῶν αἱ δυνάμεις ἐν τῷ Πνεύματι τοῦ Θεοῦ εἰσιν, οὐκ ἐγχωρεῖ αὐτὸ ποίημα καθεστάναι, ἀλλὰ συνεργὸν καὶ ἰσουργὸν τῷ Δημιουργῷ.

ΜΘ′. Εἰ τὴν οἰκουμένην πληροῖ[1] καὶ πάντα ἐμπεριέχει, κατὰ τὴν λέγουσαν τοῦτο Σοφίαν· τῆς ἀνωτάτω σεπτῆς καὶ ἀπερινοήτου, ἀπροσίτου τε καὶ ἀνεπάφου καὶ ἀμόρφου μιᾶς οὐσίας ἐστὶ Δημιουργόν· καὶ τόπῳ οὐ περιγράφεται, αὐτὸ δὲ περιείληφεν τόδε τὸ πᾶν.

Ν′. Εἰ Γραφὴ οὐ διορίζει τῇ φύσει τὴν Τριάδα, οὐδ' ὁρίζεται ἐπ' αὐτῆς πρώτην καὶ δευτέραν καὶ τρίτην φύσιν· ποῖος αὐτοῖς ὕπεστι λόγος πρὸς τοὺς πιστεύοντας, ἡνῶσθαι μὲν αὐτὴν οὐσιωδῶς, διακεκρίσθαι δὲ ἐν ἰδιότησιν ὑποστάσεων;

ΝΑ′. Εἰ τὸ πρῶτον κτίσμα ὁ διάβολος ἐδείχθη ἐν τῷ Ἰώβ, οὐ κτίσμα, ἀλλὰ τῆς Μονάδος οὐσίας τὸ Πνεῦμα. Οὐ γὰρ φαῖεν ἂν τὸν διάβολον προδεδημιουργῆσθαι, καὶ αὐτὸν μέν ποτε τὴν ὑπερέχουσαν τάξιν εἰληχέναι, τὸ δὲ θεῖον Πνεῦμα τὴν ὑφειμένην.

ΝΒ′. Εἰ καθάπερ εἰς δόξαν καὶ προσκύνησιν τοῦ Θεοῦ τὸ Πάσχα, ἐξ ἀρχῆς καὶ παρ' Ἰουδαίων ἐπετε[805]λέσθη, οὕτω καὶ τοῦ Ἁγίου Πνεύματος ἡ Πεντηκοστή· πῶς οὐ συνάναρχος αὐτῷ ὑπάρχει ἀείμνητος Θεός;

ΝΓ′. Εἰ, ὡς τοῦ σημάντρου τοῦ ἀπὸ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, οὕτω καὶ τοῦ ἀπὸ τοῦ Ἁγίου Πνεύματος σημαινομένου ἡμῖν μνημονεύει τὰ λόγια· οὐκ ἔστιν ἐν τοῖς ποιήμασιν, ἀλλὰ καὶ ἐν ἴσῃ τιμῇ καὶ εὐχαριστίᾳ. Οὐ γὰρ ποιήματος ἅμα καὶ τοῦ Θεοῦ σφραγῖδα ἀναλαμβάνομεν, οὐδὲ συμπαραλαμβάνει ὁ Θεὸς κτίσματος σφραγῖδα, τῇ ἑαυτοῦ ὡς μόνος σώζειν οὐχ ἱκανός.

ΝΔ′. Εἰ πᾶσα βλασφημία ἀφίεται τοῖς ἀνθρώποις, ἡ δὲ εἰς τὸ Πνεῦμα τοῦ Θεοῦ ἀσυγχώρητος[2]· ἆρα οὐκ ἐλάττων τυγχάνει Θεός. Βλασφημία δέ ἐστι τὸ μὴ λέγειν αὐτὸ Θεόν. Ἀνάγεται γὰρ ἡ βλασφημία καὶ εἰς τὸν Παντοκράτορα, οὗ πνοὴ τυγχάνει.

ΝΕ′. Εἰ ἀπαράβατον αἱρετικοὶ φυλάττουσι τό τε πρόσταγμα τοῦ Πατρὸς λέγοντος, «Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός· αὐτοῦ ἀκούετε»[3] τήν τε περὶ τὸ βάπτισμα τοῦ Υἱοῦ παράδοσιν· διὰ τί μὴ ἀχώριστον τῇ φύσει καὶ ἰσότιμον καὶ ἰσοδύναμον ὁμολογοῦσι τὴν Τριάδα καὶ ἰσοτίμως δοξάζουσιν; Ἓν γὰρ ὄνομα, τοῦτ' ἔστιν τὸ τῆς μιᾶς θεότητος, τρεῖς δὲ ὑποστάσεις ἐδίδαξεν, ἑκάστη τὴν ἰσοτιμίαν τηρήσας.

---

1. Σ. Σολ. 1,7. 2. Πρβλ. Ματθ. 12,31. 3. Πρβλ. Ματθ. 17,5.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

«Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ».

Α'. Καὶ ταῦτα μὲν ἀποδεδειγμένα κείσθω. Αἱρετικῶν δὲ πρῶτόν ἐστιν ἀσεβέστατον καὶ ἀποτομώτατον πρόβλημα, τὸ ἐν Παροιμίᾳ Σολομῶντος γεγραμμένον· «Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ· πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με· ἐν ἀρχῇ πρὸ τοῦ τὴν γῆν ποιῆσαι, καὶ πρὸ τοῦ τὰς ἀβύσσους ποιῆσαι, πρὸ τοῦ ἐλθεῖν τὰς πηγὰς τῶν ὑδάτων, πρὸ τοῦ ὄρη ἑδρασθῆναι, πρὸ δὲ πάντων βουνῶν γεννᾷ με»[1]. Διὰ τούτου γὰρ τοῦ προβλήματος βιάζονται κτίσμα τὸν κτίστην καὶ εὐεργέτην ἀποφαίνειν. Κρείττων δὲ καὶ πιθανωτέρα τῆς αὐτῶν βουλήσεως καὶ ἡ τῆς Γραφῆς ταύτης ὑπάρχει νόησις. Εἰ γὰρ ἀληθῆ καὶ κατακρατοῦντα τὰ προκείμενα πάντα κεφάλαια καὶ τὰ ἐν τῷ πρώτῳ λόγῳ καταταγέντα ἐστίν, ὥσπερ οὖν ἐστιν, ἀρηδηλοτάτην ἀπὸ τῶν θείων λογίων δεξαμένη μαρτυρίαν· πῶς οὐ τῶν ἀνοσιωτάτων καὶ ἀδυνατωτάτων ἐστὶν οὕτως ἐκδέχεσθαι τὰ δι' ἐπικρύψεως δηλούμενα θεῖα πράγματα; Οὔκουν εὔδηλον, **[808]** ὅτι οὐ περὶ τῆς παναιτίου καὶ δημιουργοῦ σοφίας (φημὶ τοῦ ἐπὶ πάντων μεγάλου Θεοῦ Λόγου, ὃν οὐκ ἂν δύναιτο δεῖξαι λόγος) παροιμιάζεται Σολομὼν τό, «Κύριος ἔκτισέ με»[2]. Οὐ γὰρ θρασυκάρδιος οὕτως καὶ αὐθάδης κατὰ τοῦ Θεοῦ ἐγένετο, τοῦ καὶ μετὰ τηλικαῦτα ἁμαρτήματα συγγνόντος καὶ συμπαθήσαντος, ὡς πᾶσιν ἀεὶ καὶ αὐτῷ. Ἀλλὰ καὶ εἴ τίς ἐστιν, ὥσπερ οὖν ἐστιν, αὐτῷ τῶν ἐνταῦθα γινομένων, ἢ παρὰ τῶν ἑτεροφρόνων λεγομένων αἴσθησις· οἶμαι αὐτὸν καὶ πρὸ τῆς κυρίας καὶ ἀνεσπέρου ἡμέρας ἀντιλέγειν αὐτοῖς καὶ αἰτιᾶσθαι καὶ ἀντικαθίστασθαι, διδάσκοντα μήτε ὑπόνοιάν ποτε τοιαύτην περὶ αὐτοῦ εἰληφέναι. Αὐτόν τε γάρ φησιν ἐπίστασθαι, ἅτε σοφίαν ὑπὲρ βασιλείαν ζητήσαντα καὶ ἐπιτυχόντα καὶ ἐν προσθήκης μέρει τὴν βασιλείαν κομισάμενον· καὶ ἠμέντοι καὶ παρὰ τοῦ πατρὸς αὐτοῦ Δαυὶδ ἀκηκοέναι, ὅτι ὡς ζωοποιὸς καὶ ζωὴ ὁ Κύριος τοῦ εἶναι κατὰ τὴν ἄνω γέννησιν οὐκ ἤρξατο καὶ ὡς ζωόδοτον καὶ ἀίδιον φῶς συνυφεστώτως καὶ ὁμοουσίως ἐκ τοῦ πατρικοῦ φωτὸς ἐκλάμψαν, ὑπ' ἄλλου οὐ πεφώτισται· ἀλλὰ γὰρ περὶ τῆς ἐγκοσμίου σοφίας τὸν λόγον ἐνηνοχέναι τῆς ἐν λόγοις, τῆς ἐν στρατηγίᾳ, τῆς ἐν ἰατρικῇ, τῆς ἐν ἀρχιτεκτονικῇ καὶ ἁπλῶς τῆς ἐν πάσῃ θαυμαστῇ ἐπιστήμῃ πᾶσι τοῖς σοφοῖς ἀνδράσιν ἐνυπαρχούσης. Καὶ γὰρ ὡς ἀληθῶς, εἴ τις σωφρόνως καὶ θεοσεβῶς τὰ προηγούμενα καὶ τὰ ἑπόμενα τοῦ, «Κύριος ἔκτισέ με»[3], θελήσῃ σκοπῆσαι· ταχέως καὶ ἀμέσως καὶ αὐτόθεν εὑρήσει πολὺν τὸν ἔλεγχον. Προέταξεν γάρ· «Ἀρχὴ σοφίας, φόβος Κυρίου· σύνεσις δὲ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτήν»[4]· καὶ πάλιν· «Δι' ἐμοῦ βασιλεῖς βασιλεύουσιν καὶ δυνάσται γράφουσι δικαιοσύνην·

1. Παρμ. 8,22-25. 2. Παρμ. 8,22. 3. Αὐτόθι. 4. Παρμ. 1,7.

δι' ἐμοῦ μεγιστᾶνες μεγαλύνονται καὶ τύραννοι δι' ἐμοῦ κρατοῦσι γῆς»[1].

[809] Β'. Ἄνευ δὲ σοφίας, φησίν, ἥτις ἐστὶν μεταδοθεῖσα ἡμῖν ἄνωθεν φρόνησις καὶ νουνεχία καὶ λόγων ἀρετή, οὐδὲν τῶν δεόντων κατορθοῦται· διαφεύγει γὰρ τὰ πολλὰ καὶ καλὰ τῶν νοημάτων τὸν ταύτης ἐστερημένον. Ὁ δὲ ταύτης μεταλαχὼν ἄνθρωπος τόν τε Θεόν, ὡς χρή, φοβεῖται καὶ φίλα αὐτῷ πράττει καὶ ἀνθρώπῳ νομοθετεῖ καὶ οὗτος κρατεῖ ἐκείνου καὶ πολλαπλάσια ἐκτήσατο καὶ οὐ μόνον λέγων αὐτὸς καὶ ποιῶν ἥδεται, ἀλλὰ καὶ τοὺς ἀκροωμένους αὐτοῦ, ἢ ἔργον μανθάνοντας τὰ αὐτοῦ, σωφρονίζει. Ἐν δὲ τοῖς ἑφεξῆς ἐξέθετο σποράδην ταῦτα· «Κύριος ἐποίησε χώρας ἀοικήτους καὶ ἄκρα οἰκούμενα τῆς ὑπ' οὐρανόν. Ἡνίκα ἡτοίμαζε τὸν οὐρανόν, συμπαρήμην αὐτῷ· ἡνίκα ἀφώριζε τὸν ἑαυτοῦ θρόνον ἐπ' ἀνέμων, ἡνίκα ἰσχυρὰ ἐποίει τὰ ἄνω νέφη καὶ ὡς ἀσφαλεῖς ἐτίθει πηγὰς τῆς ὑπ' οὐρανόν, ἐν τῷ τιθέναι αὐτὸν τῇ θαλάσσῃ ἀκριβασμὸν αὐτοῦ»[2]. Ὁ δὲ ποιήσας τὴν γῆν ἐκ μὴ γῆς καὶ καλῶς τεχνιτεύσας οὐρανῶν περιφερεῖς κύκλους ἐκ μὴ οὐρανῶν καὶ τοὺς δρόμους ταχεῖς τελοῦντα ἥλιον, πανταχοῦ οὐρανοῦ καὶ τῆς γῆς φαίνονται καὶ ἁπλῶς, λόγῳ ἅπαντα φήνας, μονογενής ἐστιν Υἱὸς Λόγος τοῦ Θεοῦ, ὁ ἀνευφημηθεὶς Θεοῦ δύναμις καὶ Θεοῦ σοφία καὶ ὡς ταῦτα ὑπάρχων τοῦ ἀνάρχου καὶ ἀληθῶς αὐτοῦ Πατρός, μὴ ἔχων ἀρχήν, καθὰ δ δάσκουσιν, Ἰωάννης μὲν λέγων· «Πάντα δι' αὐτοῦ ἐγένετο»[3]· Παῦλος δὲ Ἑβραίοις γράφων· «Πρὸς δὲ τὸν Υἱόν φησιν· Ὁ θρόνος σου, ὁ Θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος»[4]. Καὶ μεταξύ φησιν· «Καὶ σὺ κατ' ἀρχάς, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί»[5]· Ὥστε μὴ αὐτόν, ἀλλὰ γὰρ ἕτερον εἶναι πρόσωπον τὸ πάντα ταῦτα, καὶ τό, «Κύριος ἔκτισέ με»[6] εἰρηκός. Εἶτ' ἐπήγαγε· «Καὶ ὕδατα οὐ παρελεύσεται στόμα αὐτοῦ»[7]. Ἆρα οὖν ὡς ἐκτίσθη σοφία, περὶ τοῦ νοητοῦ στόματος τοῦ δημιουργοῦ Θεοῦ Λόγου ἐξηγεῖται. Αὖθίς τε· «Ἡνίκα ἰσχυρὰ ἐποίει τὰ θεμέλια τῆς γῆς, ἤμην παρ' αὐτῷ ἁρμόζουσα· ἐγὼ ἤμην ᾗ προσέχαιρεν καθ' ἡμέραν· εὐφραινόμην δὲ ἐν προσώπῳ αὐτοῦ ἐν παντὶ καιρῷ· ὅτε εὐφραίνετο τὴν οἰκουμένην συντελέσας καὶ ἐνευφραίνετο ἐν υἱοῖς ἀνθρώπων»[8]. Ὁ γὰρ δημιουργὸς Υἱὸς Λόγος, ὁ πάντα μὲν προειδὼς καὶ προδυνάμενος, μακροθυ**[812]**μῶν τε καὶ ἐπὶ ἀδίκῳ καὶ κακοδόξῳ καὶ πλήθει περιμένων μετάνοιαν, συντελέσας τὰ πάντα, προσέχαιρε τῇ ἐνούσῃ τοῖς κτίσμασιν αὐτοῦ σοφίᾳ καὶ ἐνευφραίνετο ἐν αὐτῇ, ἐπιγαννύμενος τῷ ἰδίῳ ἔργῳ· εὐφραίνετο δὲ καὶ αὐτὴ ἐν προσώπῳ αὐτοῦ. Εἶτα μεθ' ἕτερά φησιν· «Αἱ δὲ ἔξοδοί μου ἐν ὁδοῖς ζωῆς καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Οἱ δὲ ἁμαρτάνοντες εἰς ἐμὲ ἀσεβήσουσιν εἰς τὰς ἑαυτῶν ψυχάς· καὶ οἱ μισοῦντές με ἀγαπήσουσι θάνατον»[9].

---

1. Παρμ. 8,15. 2. Παρμ. 8,26-29. 3. Ἰω. 1,3. 4. Ἑβρ. 1,8. Ψαλ. 44,7. 5. Ψαλ. 101,26. 6. Παρμ. 8,22. 7. Παρμ. 8,29. 8. Παρμ. 8,29-31. 9. Παρμ. 8,35-36.

Γ'. Καὶ μάλα εἰκότως. Οἱ γὰρ τὸν ἑαυτῶν βίον μὴ σοφίᾳ κυβερνῶντες, ἑαυτοῖς ἐπ βουλεύουσι καὶ τῆς ἑαυτῶν ἀφροσύνης καὶ ἀπαιδευσίας ἄξιον εὑρίσκουσι θάνατον. Ὥστε δὲ καὶ τυφλούς, τοῦτο δὴ τὸ τοῦ λόγου, μὴ ἀμφιβάλλειν ὑγιῶς τὴν ἡμετέραν ἑρμηνείαν, ἡ κτιστὴ σοφία φάσκει περὶ ἐκείνου, περὶ οὗ εἶπεν Ἰωάννης· «Καὶ ὁ Λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν»[1]· «Ἡ σοφία ὠκοδόμησεν ἑαυτῇ οἶκον καὶ ὑπήρεισε στύλους ἑπτά»[2]. Περὶ οὗ οἴκου ὁ αὐτὸς Δεσπότης ἔφη· «Λύσατε τὸν ναὸν τοῦτον καὶ ἐγὼ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν»[3]. Μᾶλλον δὲ καὶ μᾶλλον δεικνὺς Σολομών, ὡς οὐ περὶ τῆς δημιουργοῦ διαλέγεται σοφίας, ἐν τοῖς ἑπομένοις διεξέρχεται οὕτως· «Υἱέ, ἐὰν σοφὸς γένῃ, σεαυτῷ σοφὸς ἔσῃ καὶ τοῖς πλησίον· ἐὰν δὲ κακὸς ἀποβῇς, μόνος ἀντλήσεις κακά»[4]· καὶ πάλιν· «Υἱὸς πεπαιδευμένος σοφὸς ἔσται, τῷ δὲ ἄφρονι διακόνῳ χρήσεται»[5]· καὶ αὖθις· «Σοφὸς καρδίᾳ δέχεται ἐντολάς»[6]· καί· «Οὗτος ἐκ χειλέων προφέρει σοφίαν. Ῥάβδῳ τύπτε ἄνδρα ἀκάρδιον· σοφοὶ κρύψουσιν αἴσθησιν»[7]· καὶ πάλιν· «Ἡ σοφία ἀνδρὶ τίκτει φρόνησιν»[8]· αὖθίς τε· «Στόμα δικαίου ἀποστάζει σοφίαν»[9]· καί· «Γλῶσσαι σοφῶν ἰῶνται»[10] καί· «Ὁ συμπορευόμενος σοφοῖς σοφὸς ἔσται»[11]· εἶτα ἑξῆς· «Ζητήσεις σοφίαν παρὰ κακοῖς καὶ οὐχ εὑρήσεις»[12]· καὶ μεθ' ἕτερα· «Σοφία πανούργων ἐπιγνώσεται τὰς ὁδούς»[13]· φόβος Κυρίου, παιδεία καὶ σοφία»[14]· αὖθίς τε· «Νεοσσοῖς αἱρετώτεραι χρυσίου· νεοσσιαὶ δὲ φρονήσεως, ὑπὲρ **[813]** ἀργύριον»[15]. Εἰ, κατὰ αἱρετικούς, τοὺς ἀποθραύοντας τῆς Χριστιανῆς πίστεως τὸ κεφάλαιον, μᾶλλον δὲ πᾶσαν προαιρουμένους, ὅσον τὸ ἐπ' αὐτοῖς ἡ δημιουργὸς Σοφία ἔφη· τίνας αὐτῆς νεοσσοὺς νοήσομεν; Καὶ πάλιν· «Οὐ χρείαν ἔχει σοφίας ἐνδεὴς φρενῶν»[16]· αὖθίς τε· «Κόσμος νεανίσκοις σοφία»[17]· καὶ πάλιν· «Γενεὰ σοφίας, φόβος Κυρίου»[13]. Ποίαν κἀνταῦθα γενεὰν δώσουσι τῷ Δημιουργῷ, εἰ αὐτὸς περὶ ἑαυτοῦ ἐφθέγξατο· «Κύριος ἔκτισέ με»[18]; Καὶ ἐν τοῖς ἑξῆς φησι· «Μετὰ σοφίας οἰκοδομεῖται οἶκος καὶ μετὰ συνέσεως ἀνορθοῦται»[20] πόλις· εἶτα· «Κρεῖσσον σοφὸς ἰσχυροῦ»[21].

Δ'. Ταῦτα οὖν πάντα περὶ τῆς ἐν κόσμῳ σοφίας. Ὅταν γὰρ περὶ τῆς σοφίας τοῦ Θεοῦ Πατρὸς καὶ τοῦ μονογενοῦς καὶ ἀληθινοῦ Υἱοῦ Λόγου μνημονεύῃ ἐν αὐταῖς ταύταις ταῖς Παροιμίαις, ὑπερφυῶς καὶ ὥσπερ ὑπ' ἐκπλήξεως θαυμάζων ἀναφθέγγεται ταυτί· «Ὁ Θεὸς ἐδίδαξέ με σοφίαν καὶ γνῶσιν ἁγίων ἔγνωκα· ἅγια δὲ ἐπίσταμαι. Τίς ἀνέβη εἰς οὐρανὸν καὶ κατέβη; τίς συνήγαγεν ἀνέμους ἐν κόλπῳ; τίς συνέτρεψε τὸ πᾶν ὕδωρ ἐν ἱματίῳ; τίς ἐκράτησε πάντων τῶν ἄκρων

---

1. Ἰω. 1,14. 2. Παρμ. 9,1. 3. Ἰω. 2,19. 4. Παρμ. 9,12. 5. Παρμ. 10,4. 6. Παρμ. 10,9. 7. Παρμ. 10,13-14. 8. Παρμ. 10,23. 9. Παρμ. 10,31. 10. Παρμ. 12,18. 11. Παρμ. 13,20. 12. Παρμ. 14,6. 13. Παρμ. 14,8. 14. Πρβλ. Παρμ. 15,33. 15. Παρμ. 16,16. 16. Παρμ. 18,2. 17. Παρμ. 20,29. 18. Παρμ. 22,4. 19. Παρμ. 8,22. 20. Παρμ. 24,3. 21. Παρμ. 24,5.

τῆς γῆς; τί ὄνομα αὐτῷ; ἢ τί ὄνομα τῷ τέκνῳ αὐτοῦ, ἵνα γνῶς»[1]; Καὶ τὸ ἔχειν δέ, «Πρὸ πάντων βουνῶν γεννᾷ με»[2], ὡς περὶ τῆς ἐν ἡμῖν κτιστῆς λέγει σοφίας, ὅτι δημιουργικῶς γεγέννηται, καί, ὡς εἰπεῖν, ἐφ' ἑκάστης μετὰ ἑκάστου σοφοῦ συντίκτεται. Ὁ γὰρ Υἱὸς τοῦ Θεοῦ ἐγεννήθη συνυφεστὼς τῷ τεκόντι, ἅτε Λόγος καὶ ἀπαύγασμα καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ· ἀλλ' οὐκ ἔτι γεννᾶται. Καὶ οὐ ταῦτα μόνον, ἀλλὰ καὶ Παροιμία ὄνομα τῇ βίβλῳ, ὡς οὐ πάντως ἀεὶ τὸ φαινόμενον, ἀλλ' ὅτι μάλιστα δι' ἑτέρου πράγματος, ἢ προσώπου ἕτερον σημαινούσῃ, καὶ ὅτι Σολομὼν παροιμιαστής, ἀλλ' οὐ προφήτης **[816]** ἐστίν. Περὶ ταύτης δὲ τῆς σοφίας, φημί, τῆς ἐν τῇ κτίσει, ὅ τε σοφώτατος υἱὸς Σειρὰχ λέγει· «Προτέρα πάντων ἔκτισται σοφία καὶ σύνεσις φρονήσεως ἐξ αἰῶνος»[3]· καὶ ἐπιφέρει τούτῳ· «Μετὰ πιστῶν ἐν μήτρᾳ συνεκτίσθη αὐτοῖς καὶ μετὰ ἀνθρώπων θεμέλιον αἰῶνος ἐνόσσευσεν»[4]· ὅ τε Ἀπόστολος Κορινθίοις τὸ πρῶτον ἐπέστειλε τόνδε τὸν τρόπον· «Ἐπειδὴ γάρ», φησίν, «ἐν τῇ σοφίᾳ τοῦ Θεοῦ οὐκ ἔγνω ὁ κόσμος διὰ τῆς σοφίας τὸν Θεόν, εὐδόκησεν ὁ Θεὸς διὰ τῆς μωρίας τοῦ κηρύγματος σῶσαι τοὺς πιστεύοντας»[5]· καί, «Ἐμώρανεν ὁ Θεὸς τὴν σοφίαν τοῦ κόσμου»[6]. Καὶ δὴ καὶ ὁ Ἰὼβ τοιῶσδε μέμνηται ταύτης. «Ἡ δὲ σοφία πόθεν εὑρέθη; ποῖος δὲ τόπος ἐστὶ τῆς φρονήσεως»[7]; καὶ ἑτέρωθι· «Σοφία τοῦ πένητος ἐξουθενουμένη»[8]· καί, «Οὗτος τῆς σοφίας ἐστὶ διορθωτής»[9]. Τινὲς δὲ τὸν γενεσιουργὸν ἐνόησαν ἐκ προσώπου τῆς κτιστῆς εἰρηκέναι σοφίας τό· «Κύριος ἔκτισέ με»[10]. Πολλάκις γὰρ κτισμάτων πρόσωπον ὁ πάντων ὑποστάτης καὶ Σωτὴρ ἀναλαμβάνων διαλέγεται· ὡς ὅταν ἐκ προσώπου τῆς ποτε διωχθείσης Ἐκκλησίας παρὰ Παύλου φάσκει· «Σαούλ, Σαούλ, τί με διώκεις»[11]; καὶ τοῖς εὖ ποιήσασιν· «Ἐπείνασα, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με»[12]· καὶ ὅσα τοιαῦτα.

Ε'. Ἰδίᾳ γὰρ ἐκλάμπων φιλανθρωπίᾳ καὶ ὅλος ὢν ἀγαθότης καὶ ὡς ὁ ἀπόστολος Ἰούδας ἔφη, μόνος Δεσπότης, φείδεται πάντων καὶ ἰδιοποιεῖται τὰ εἰς τὰ ἔργα τῶν χειρῶν αὐτοῦ ἁμαρτήματα. Καὶ μέντοι καὶ ἕτερα ἀνθρωπολογηθέντα περὶ τοῦ ἀνεφίκτου θείου εὑρήσομεν· ὡς ὅταν παραβολικῶς γράφει· «Ἄνθρωπός τις ἦν οἰκοδεσπότης»[13]· καὶ πάλιν· «Ἄνθρωπός τις ἦν ἔχων ἀμπελῶνα»[14]· καὶ ὡς ὅταν τὴν οὐράνιον βασιλείαν κόκκῳ σινάπεως καὶ σπόρῳ παρεικάζει. Εἰ δὲ καὶ συγχωρητέον τὸ μὴ ἐκ προσώπου τῆς ἐν ἡμῖν σοφίας Σολομῶντα γεγραφέναι, ἀλλ' οὖν νοητέον ἐκ προσώπου τῆς σοφῆς καὶ ἀπερινοήτου ἐνανθρωπήσεως, οὐχ ἅπαξ δὲ περὶ τῆς ἀνάρχου καὶ ἀθεωρήτου φύσεως τοῦ μονογενοῦς Θεοῦ εἰρηκέναι. Οὐκ αὐτοτελῶς γὰρ ἔφη, «Ἔκτισέ με»[15], ἀλλ', «εἰς ἔργα αὐτοῦ»[16]· ὡσεὶ ἔλεγεν· «Ἔκτισέ με»,

---

1. Παρμ. 30,4. 2. Παρμ. 8,25. 3. Σ. Σειρ. 1,4. 4. Σ. Σειρ. 1,14,15.
5. Α' Κορ. 1,21. 6. Ἔνθ' ἀν. 20. 7. Πρβλ. Ἰὼβ 28,12. 8. Ἐκκλ. 9,16.
9. Σ. Σολ. 7,16. 10. Παρμ. 8,22. 11. Πράξ. 9,4. 12. Ματθ. 25,35.
13. Ἰούδ. 4. 14. Σ. Σολ. 11,27. 15. Παρμ. 8,22. 16. Ματθ. 21,33.

ὅτε εἰς ἀνθρώπους τὰ ἔργα αὐτοῦ ἐγενόμην[1] ἢ κατεσκήνωσα σαρκωθεὶς ἐξ αὐτῶν. Ὁ γὰρ ὢν καὶ προὼν καὶ μὴ δι' ἑαυτόν, δι' ἄλλους δὲ γενόμενος, ἐκεῖνο **[817]** πῶς ἔστι νοῆσαι, δι' οὓς καὶ καθ' οὓς ἐγένετο; Ὡς τὸ ἀνάπαλιν ἐκεῖνοι εὑρίσκονται τρόπον τινά, ὅ ἐστιν ὁ δι' αὐτοὺς γενόμενος κατ' αὐτούς. Τοιγαροῦν ἐν μορφῇ Θεοῦ ὑπάρχων, μορφὴν ἔλαβε δούλου[2]· ἡμεῖς τε ἐγενόμεθα κατ' εἰκόνα τοῦ κτίσαντος ἡμᾶς[3], ὡς ἐδίδαξε Παῦλος. Ἦ ἄρα καὶ τῇ «ἔκτισε»[4] λέξει ἐνταῦθα ἀντὶ τοῦ, κατέστησεν, ἢ κατέταξεν, ἐχρήσατο, ὅτε ὁμοῦ ἐπί τε τῶν χερουβὶμ καὶ ἐν φάτνῃ ἦν, ὡς τὰ περὶ τῆς ἐνανθρωπήσεως αὐτοῦ αἰνιγματωδῶς δηλῶν προεῖπεν· «Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ ἐπὶ Σιὼν ὄρος τὸν ἅγιον αὐτοῦ»[5]· καὶ ὡς ὁ Ὑμνολόγος ψάλλει· «Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο»[6]· καίτοι ἀιδίως προϋπῆρχε βασιλεὺς βασιλευόντων, εὐπρέπειαν ἀκατάληπτον ἔχων. Ὁμοίως οὐκ εἶπεν, ἐν ἀρχῇ, ἢ πρὸ ἀρχῆς ὁδῶν αὐτοῦ, ἀλλ' «ἀρχὴν ὁδῶν αὐτοῦ»[7].

Ϛ'. Ὥστε πάλιν τῆς ἐνανθρωπήσεως αὐτοῦ ἀρχὴν προλέγεσθαι καὶ οὐ τὴν φύσιν τῆς ἀνάρχου αὐτοῦ θεότητος. Ἀπολεσάντων γὰρ τῶν ἀνθρώπων τὴν ὁδὸν τὴν ἄγουσαν πρὸς Θεόν, αὐτὸς ἡμῖν ἐν τῇ οἰκονομίᾳ ὁδὸς ἐγένετο πρόσφατος καὶ ζῶσα· καὶ ὃν τρόπον διὰ τὴν ἐν σαρκὶ οἰκονομίαν εἶπεν· «Ἐγώ εἰμι ἡ ὁδός»[8]· καὶ πάλιν· «Οὐδεὶς ἔρχεται πρὸς τὸν Πατέρα, εἰ μὴ δι' ἐμοῦ»[9], τοῦτ' ἔστι διὰ τῆς εἰς τὴν ἐμὴν ἐνανθρώπησιν πίστεως βαδίσῃ· δι' αὐτὴν ἔφη καὶ τό, «Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ»[10]. Ἐτέχθη, γάρ, ἐκ μὲν τῆς ὑποστάσεως τοῦ Πατρός, ἀνάρχως, ἀφράστως· ἐκ δὲ τῆς ἁμιάντου Παρθένου, τῷ μὲν προειδέναι πάντα ὡς Θεὸς καὶ τῷ προορίσαι τὴν οἰκονομίαν πρὸ τοῦ αἰῶνος (καθὰ ἐπιστέλλουσιν, Παῦλος μὲν Κολοσσαεῦσιν· «Τὸ μυστήριον τοῦτο, τὸ ἀποκεκρυμμένον πρὸ τῶν αἰώνων καὶ ἀπὸ τῶν γενεῶν, νῦν ἐφανερώθη τοῖς ἁγίοις αὐτοῦ»[11]· Πέτρος δὲ ἐν τῇ πρώτῃ Ἐπιστολῇ περὶ τοῦ Χριστοῦ· «Προεγνωσμένου μὲν πρὸ καταβολῆς κόσμου, φανερωθέντος δὲ ἐπ' ἐσχάτων τῶν χρόνων»[12]), τῷ δὲ πράγματι, ὅτε ἐπέφανεν ἐξ ὕψους τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου ποτὲ καθεσθεῖσιν· ὅτε λίθος παραβολικῶς ὠνομάσθη· ὅτε ἐγένετο ἀρχὴ ὁδῶν καὶ θεμέλιος ἡμῶν· ᾧτινι θεμελίῳ καὶ λίθῳ ἐπιμαρτυροῦσιν οὕτως, Παῦλος μὲν γράφων Κορινθίοις τὸ πρῶτον· «Θεμέλιον γὰρ οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς Χριστός»[13]. Ἀρχὴν δὲ τοῦ καλεῖσθαι Χριστὸς Ἰησοῦς ἐν τῇ ἐνανθρωπήσει ἔλαβεν. Ὅθεν ἐν τῷ Λουκᾷ ὁ ἄγγελος τὴν ὀνομασίαν αὐτοῦ ὡς ἐπὶ μέλλουσιν ποιεῖται, λέγων τῇ Παρθένῳ· «Ἕξεις υἱὸν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. Οὗτος ἔσται μέγας, καὶ Υἱὸς Ὑψίστου κληθήσεται»[14]· καὶ μεθ' ἕτερα· «Διὸ καὶ τὸ γεννώ**[820]**μενον ἅγιον, κληθήσεται Υἱὸς Θεοῦ»[15].

---

1. Πρβλ. Λουκ. 20,9. 2. Φιλιπ. 2,6. 3. Πρβλ. Κολ. 3,10. 4. Παρμ. 8,22. 5. Ψαλ. 2,6. 6. Ψαλ. 92,1. 7. Παρμ. 8,22. 8. Πρβλ. Ἰω. 14,6. 9. Ἰω. 14,6. 10. Παρμ. 8,22. 11. Κολ. 1,26. 12. Α' Πέτρ. 1,20. 13. Α' Κορ. 3,11. 14. Λουκ. 1,31. 15. Λουκ. 1,35.

Πέτρος δὲ 'Ρωμαίους· «'Ιδοὺ τίθημι ἐν Σιὼν λίθον προσκόμματος καὶ πέτραν σκανδάλου· καὶ πᾶς ὁ πιστεύων ἐπ' αὐτῷ οὐ καταισχυνθήσεται»[1]. Αἱ δὲ Πράξεις τῶν ἀποστόλων· «Οὗτος», φησίν, «ἐστὶν ὁ λίθος ὁ ἐξουθενηθεὶς ὑφ' ὑμῶν τῶν οἰκοδόμων, ὁ γενόμενος εἰς κεφαλὴν γωνίας καὶ οὐκ ἔστιν ἐν ἄλλῳ οὐδενὶ ἡ σωτηρία»[2].

Ζ'. 'Επιτήρησον, ὡς εἰ μὴ μία θεότης καὶ δύναμίς ἐστι τῆς 'Αγίας Τριάδος, οὐδὲ παρὰ τῷ Πατρὶ ἡ σωτηρία. "Ιλεως δὲ ἡμῖν ἔστω ἡ 'Αγία Τριάς. Καὶ μέντοι καὶ Δανιὴλ λίθον ἑώρακεν ἐξ ὄρους τμηθέντα ἄνευ χειρῶν (ὅς ἐστιν ὁ ἐκ Μαρίας γεννηθεὶς ἄνευ ῥεύσεως καὶ ἐργασίας ἀνδρὸς) καὶ λεπτύνοντα τὴν εἰκόνα, τοῦτ' ἔστι τὸν κόσμον ἀπὸ τῆς παχύτητος τοῦ νοῦ καὶ τῆς χυδαιότητος, ἢ συνέζη. Καὶ τί θαυμάζομεν, εἰ ὑπὲρ λόγον καὶ νοῦν σωτήριον πρᾶγμα πρὸ αἰώνων τῇ θείᾳ προγνώσει ἐγένετο; "Οπου γε καὶ ἡμᾶς τῇ ἀφράστῳ ταύτῃ προγνώσει καὶ δυνάμει πρὸ τῶν αἰώνων ἐκτίσθαι καὶ σεσῶσθαι λέγει ὁ 'Απόστολος, γράφων τοιῶσδε· 'Εφεσίοις μέν· «'Εξελέξατο ἡμᾶς ἑαυτῷ πρὸ καταβολῆς κόσμου εἶναι ἁγίους καὶ ἀμώμους κατ' ἐνώπιον αὐτοῦ ἐν ἀγάπῃ, προορίσας ἡμᾶς εἰς υἱοθεσίαν»[3]. Τιμοθέῳ δέ· «Κατὰ δύναμιν Θεοῦ τοῦ σώσαντος ἡμᾶς, καὶ καλέσαντος κλήσει ἁγίᾳ, οὐ κατὰ τὰ ἔργα ἡμῶν, ἀλλὰ κατὰ ἰδίαν πρόθεσιν καὶ χάριν, τὴν δοθεῖσαν ἡμῖν ἐν Χριστῷ 'Ιησοῦ πρὸ χρόνων αἰωνίων, φανερωθεῖσαν δὲ νῦν διὰ τῆς ἐπιφανείας τοῦ Σωτῆρος ἡμῶν 'Ιησοῦ Χριστοῦ»[4].

Η'. Πολλὰ γάρ, τοῦτο μὲν μέλλοντα γίνεσθαι, ὡς ἤδη γενόμενα· τοῦτο δὲ καὶ γενόμενα, ὡς ἔτι γινόμενα ἢ ἐσόμενα, προλέγειν εἴωθε τὸ πάντα εἰδὸς καὶ δυνάμενον Πνεῦμα "Αγιον· οὐχ ἥκιστα δὲ καὶ τὰ περὶ τὴν ἄφθεγκτον οἰκονομίαν, ὡς παρῳχηκότα, πρινὴ γένηται διηγόρευσεν· ὡς ὅταν ὁ Δεσπότης, οὔπω γενόμενος σάρξ, λέγῃ ἐν κα' ψαλμῷ· «"Ωρυξαν χεῖράς μου καὶ πόδας μου»[5]· καὶ πάλιν· «Διεμερίσαντο **[821]** τὰ ἱμάτιά μου ἑαυτοῖς καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον»[6]· καὶ ἐν ριζ'· «Λίθον, ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας καὶ ἔσται θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν»[7]· καὶ 'Ησαΐας· «Παιδίον ἐγεννήθη ἡμῖν»[8]. Λέγει τὸ μηδέπω τεχθέν. Καὶ πάλιν· «'Ως πρόβατον ἐπὶ σφαγὴν ἤχθη»[9]· καίτοι οὐδέπω ἦν ἐκ Μαρίας τεχθεὶς ὁ ἀμνός. Καὶ πάλιν· «"Ιδομεν αὐτὸν καὶ οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος»[10]. Καὶ μὴν μετὰ πολλὰς γενεὰς ὤφθη τοιοῦτος ἐν τῷ σωτηρίῳ πάθει. Καὶ ἀλλαχοῦ· «Τὰς νεομηνίας ὑμῶν καὶ τὰ Σάββατα ὑμῶν καὶ τὰς ἑορτὰς μισεῖ ἡ ψυχή μου»[11]. 'Εμίσησε δὲ πολλῷ ὕστερον, ὅτε δὴ ἐνηνθρώπησε καὶ τὴν Καινὴν Διαθήκην ἡμῖν διέθετο. Καὶ τὰ παρελθόντα δέ, ὡς ἐν-

---

1. Πρβλ. Α' Πέτρ. 2,6,8. 2. Πράξ. 4,11-12. 3. 'Εφ. 1,4-5. 4. Β' Τιμ. 1,8-10. 5. Ψαλ. 21,17. 6. Ψαλ. 21,19. 7. Ψαλ. 117, 21-22. 8. 'Ησ. 9,5. 9. 'Ησ. 53,7. 10. 'Ησ. 53,2. 11. 'Ησ. 1,24.

εστῶτα, καθὰ εἴρηται, διηγεῖται, ὡς ὅταν φράζῃ· «Ὁ ποιῶν Πλειάδα καὶ Ἕσπερον»[1]· καί· «Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα»[2]· ἀντὶ τοῦ, ὁ ποιήσας. Καὶ, «Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς»[3] ὅ ἐστιν, ὁ θεμελιώσας.

Θ'. Δι' ἃ δὴ ἐπάναγκες, εἰ μὴ εἰς τὴν ἐν τοῖς ἐπιτηδεύμασιν ἡμῶν σοφίαν, εἰς γοῦν τὴν δεσποτικὴν ἀναμάρτητον σάρκωσιν, τὴν ἐκκειμένην Παροιμίαν φέρειν, οὐδαμῶς δὲ εἰς τὸν τῆς ἀρρήτου θείας φύσεως Υἱὸν Λόγον, τὸν δι' οὗ καὶ παρ' οὗ, καὶ ἐν ᾧ πάντα κατεκοσμήθη. Τὸ γὰρ εἰπεῖν «Κύριος ἔκτισέ με»[4] καὶ τὸ ἐπαγαγεῖν «Πρὸ δὲ πάντων βουνῶν γεννᾷ με»[5] ἴσον ἐστὶ τῷ λέξαι· Ὄντα με ἐξ αὐτοῦ συνυφεστώτως ἔκτισεν ὕστερον, καθὸ θελήσει αὐτοῦ ἐκοινώνησα ἀτρέπτως, ἀναμαρτήτως, ἀνθρώποις τῆς φύσεως, ὡς πρὸ βραχέος εἴρηται. Πρὸ δὲ πάντων βουνῶν ἐγέννησεν ἀπαθῶς καὶ ἀνάρχως καὶ ἀρρήτως, διότι ὑπὲρ τὸ ἀσώματον ἡ θεότης. Τὸ γὰρ «πρὸ» μάλιστα ἐπὶ αὐτῆς τυγχάνει ἀόριστον, ἔτι δὲ καὶ ὁ «δὲ» σύνδεσμος τοῦτο παρίστησιν. Εἰ γὰρ καὶ ἔκτισεν, πῶς ἐγέννησεν; Εἰ δέ ἐγέννησεν, πῶς ἔκτισεν; Τὸ μὲν γὰρ κτίσμα εἴποι τις ἂν τοῦ κτίσαντος γέννημα, ὡς ἡμεῖς ἠκούσαμεν, υἱοὶ Ὑψίστου· τὸ δὲ ὄντως γέννημα οὐκ ἄν ποτε τοῦ γεννήσαντος κτίσμα κληθείη. Οὔπω γὰρ ἕως σήμερον ἴσμεν τοῦτο λεχθέν. Ὥστε τὴν ἐν τοῖς ἀρίστοις ἐπιτηδεύμασι σοφίαν πανταχόθεν εὑρίσκεσθαι, τό, ««Κύριος ἔκτισεν»[6] εἰρηκυῖαν· ὥστε καὶ κατὰ βιαίαν ἐκδοχὴν τὸν γενόμενον σύμμορφον τῇ ἀνθρωπότητι. Τῷ γὰρ τῆς θείας προγνώσεως ὅρῳ πρὸ πάσης κτίσεως ἐγένετο οὗτος, κτίσιν δὲ καταχρηστικῶς τὴν ἀνθρωπότητα, καθὰ καὶ τὴν ἐν κόσμῳ σοφίαν ὀνομάζει, δι' ὧν λέγει ὁ Παῦλος· «Ὑποτάγητε πάσῃ κτίσει ἀνθρωπίνῃ, διὰ τὸν Κύριον, εἴτε βασιλεῖ, ὡς ὑπερέχοντι, εἴτε ἡγεμόσιν, ὡς δι' αὐτοῦ πεμπομένοις»[7]. **[824]** Καὶ μέντοι τὸ εἰπεῖν· Ὁ δεῖνα τυχὸν ἔκτισε τόδε, ἢ ἐποίησεν ἐπίσκοπον, ἢ κλῆρον, ἢ στρατόπεδον, οὐκ οὐσίαν ἐκ μὴ ὄντων παρῆχθαι σημαίνει, καίτοι ὁμώνυμον ἔχοντα λέξιν· ἀλλὰ τοὺς ἤδη ὄντας ἢ τὴν ὑφεστῶσαν ὕλην εἰς τάξιν τινὰ ἢ τοιάνδε θέσιν καλεῖ. Καὶ ὁ Ὑμνῳδὸς τὸ ἐνυπάρχον αὐτῷ μόριον, ὡς ἔτι παρασχεθησόμενον αὐτῷ, ηὔχετο βοῶν· «Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός»[8]. Καὶ Παῦλος δὲ ὁ ὁσιώτατος συνῳδὰ τούτῳ καὶ προῦπτα γράφει· «Εἴ τις ἐν Χριστῷ καινὴ κτίσις· ἰδοὺ τὰ ἀρχαῖα παρῆλθεν, καινὰ γέγονε τὰ πάντα»[9]· οὐ τῷ ἀρτίως κτισθῆναι, ἀλλὰ τῷ εἰς τὸ ἑξῆς ἐκλάμψαι. Καὶ ἑτέρωθι· «Ἵνα τοὺς δύο κτίσῃ εἰς ἕνα καινὸν ἄνθρωπον»[10] ἀντὶ τοῦ συναγάγῃ.

Ι'. Ὅρα δέ, εἰ συναίρεσθαι ἡμῖν δύναται καὶ τὸ λεχθὲν τοῖς ἐν τῷ βαπτίσματι ἀνακαινιζομένοις· «Ἐνδύσασθε τὸν καινὸν ἄνθρωπον,

---

1. Ἰὼβ 9,9. 2. Ψαλ. 102,4. 3. Ψαλ. 103,5. 4. Παρμ. 8,22. 5. Παρμ. 8,25. 6. Παρμ. 8,22. 7. Α' Πέτρ. 2,13-14. 8. Ψαλ. 50,12. 9. Πρβλ. Β' Κορ. 5,17. 10. Ἐφ. 2,15

τὸν κατὰ Θεὸν κτισθέντα»[1]· καὶ ὅσα εὕροι τις ἂν τοιουτότροπα λόγια διευρευνώμενος. Γέγραπται δὲ μεταφορικῶς καὶ περὶ τῶν τεκόντων· «Ἐποίησεν υἱοὺς καὶ θυγατέρας»[2], καί· «Ἐκτησάμην», φησίν, «ἄνθρωπον διὰ τοῦ Θεοῦ»[3]. Καὶ ὅμως γεννητικῶς, οὐ δημιουργικῶς λέγει. Εἰ δὲ κατὰ συγχώρησιν εἰς τὸν ἐκ Θεοῦ Θεὸν ἐκληπτέον τό, «Κύριος ἔκτισέ με»[4], ὑπομεμνήσθω πάλιν καὶ πάλιν πρὸς ἡμῶν λεγέσθω καὶ πιστευέσθω, ὡς διὰ τοῦτο ἐπήγαγεν· «Πρὸ δὲ πάντων βουνῶν γεννᾷ με»[5], ὥστε ἀνελεῖν τό, «ἔκτισέ με»[6]. Τὰ γὰρ δεύτερα ἐν θεσπίσμασιν, ὡς καλλίονα καὶ βεβαιότερα, παύει παντα-
χοῦ τὰ πρόσθεν. Ἀνταγωνιζόμενος δὴ οὖν τούτοις, οὐδὲν **[825]** ἀξιόπιστον οὔτ' ἀληθές, οὔτε λέγουσιν, οὔτε ταμιευομένοις, ἐπεισάκτῳ δὲ καὶ ἐπεισοδίῳ καὶ ἐπαχθεῖ τινι διδασκαλίᾳ κεχρημένοις αἱρετικοῖς, ὁ παρ' αὐτοῦ τὸ δῶρον τῆς θεολογίας δεξάμενος τοῦ πολυποθήτου καὶ ἀνεξικάκου Σωτῆρος, οὗ τοῦ ἐλέους πλήρης ἡ γῆ, καὶ διδάσκων ὁποίαν τινὰ γνώμην δεῖ περὶ αὐτοῦ ἔχειν, κοινόν τε δόγμα εἰς ἅπαντας ἀνθρώπους ἐξήνεγκεν· «Ἐν ἀρχῇ ἦν ὁ Λόγος»[7], τοῦτ' ἔστιν ἄναρχος, ὅ ἐστιν ἀγένητος. Ἀνυπέρβατόν ἐστι τό, «ἦν», οὐδεμίαν ἐπέκεινα αὐτοῦ ἀνυπαρξίαν συγχωροῦν ἐπινοεῖσθαι, καθὰ καὶ ἐν τῷ πρώτῳ εἴρηται βιβλίῳ. «Καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν»[8]· ἀντὶ τοῦ, Κατὰ τὸν Πατέρα ἦν ἀσύγκριτος, ἀγένητος καὶ εἴσω τῆς ἀνεφίκτου θεότητος αὐτοῦ ὁρῶν ὑπῆρχε. Τὸ γάρ, Πρὸς τόνδε ἦν, νοεῖται μόνον οὐχί, Μετὰ τοῦδε ἦν, ἀλλὰ καὶ συγκριτικῶς. Κατὰ τόνδε ἦν· «Καὶ Θεὸς ἦν ὁ Λόγος»[9]· τοῦτ' ἔστιν, ἀναίτιος· Θεοῦ γὰρ αἰτία, ἀμήχανον, ἀδύνατον οὐκ ἔστιν. «Πάντα δι' αὐτοῦ ἐγένετο καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν»[10]· ἀντὶ τοῦ, ἀγένητός τέ ἐστιν αὐτός· ἅπαξ γὰρ πᾶν κτιστὸν δι' αὐτοῦ, ὡς ἀκτίστου ποιητοῦ, ἀπεφήνατο παρῆχθαι.

ΙΑ'. Πρὸς τοῖς ἀναντιρρήτοις δὲ τούτοις, ἔστι καὶ ἄλλο ἀντίθετον καὶ ᾧ οὐδεὶς οὐδὲν μέχρι ἐνθυμήσεως ἄλλο πρὸς ἐπιχείρησιν εἰπεῖν δυνήσεται. Ἀκύλας μὲν γάρ, ὁ εἷς τῶν ἑρμηνευτῶν, τὴν γραφὴν ταύτην ἔχουσαν Ἑβραϊστί, Ἀδωναεὶ κανόνι, ἐξέδωκεν οὕτως· «Κύριος ἐκτήσατό με», οὐδὲ αὐτὸς κυριολεκτήσας· ἑρμηνεύεται γὰρ κατὰ τὸ ἀκριβές· «Κύριος ἐνόσσευσέ με»· τοῦτ' ἔστιν, ἔτεκεν. Κυρίως γὰρ ἐκ τῶν ἐξ ᾠοῦ ἐκθορουμένων, οὐχὶ δὲ κτιζομένων, λέγεται τό, «ἐνόσσευσεν», ἢ «ἐξέθορεν», καὶ «νοσ**[828]**σεύει», καὶ «ἐκθορεῖ»· τὸ δ' ἐκθοροῦν τῷ ὑπ' αὐτοῦ ἐκθορουμένῳ οὐχ ἑτερούσιον. Ὥστε καὶ κατὰ τὴν λέξιν καὶ κατὰ τὴν διάνοιαν ἀποχωρεῖ τὸ πρόβλημα αὐτῶν ἀπὸ τῆς ἀληθείας. Τινὲς δὲ τό, «Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ»[11], περὶ τῆς Ἐκκλησίας εἰρῆσθαι καλῶς ἐνόησαν· ἐν ᾗ τῆς ἀληθείας καὶ σοφίας ἡ ὁδὸς καταγγέλλεται· ἥντινα καὶ σῶμα τοῦ Χριστοῦ ἐκάλε-

---

1. Ἐφ. 4,24. 2. Γεν. 5,4. 3. Γεν. 4,1. 4. Παρμ. 8,22. 5. Παρμ. 8,25. 6. Ἔνθ' ἀν. 7. Ἰω. 1,1. 8. Αὐτόθι. 9. Αὐτόθι. 10. Ἰω. 1,3. 11. Πρβλ. Παρμ. 8,22.

σεν ὁ Ἀπόστολος, γράφων τοιάδε Κολοσσαεῦσι μέν· «Καὶ ἀναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου ὑπὲρ τοῦ σώματος αὐτοῦ, ὅ ἐστιν ἡ Ἐκκλησία, ἧς ἐγένόμην ἐγὼ διάκονος κατὰ τὴν οἰκονομίαν τοῦ Θεοῦ, τὴν δοθεῖσάν μοι»[1]. Κορινθίοις δὲ ἐν τῇ πρώτῃ Ἐπιστολῇ· «Τὰ μέλη ἡμῶν, μέλη Χριστοῦ. Ἆρα οὖν τὰ μέλη τοῦ Χριστοῦ ποιήσομεν πόρνης μέλη; Μὴ γένοιτο!»[2]· καὶ πάλιν· «Πάντα δὲ τὰ μέλη τοῦ σώματος τοῦ ἑνός, πολλὰ ὄντα, ἕν ἐστι σῶμα· οὕτως καὶ ὁ Χριστός»[3]. Ὥστε, εἰ καὶ κατὰ τὴν δυσαντίβλεπτόν πως οἰκονομίαν, σῶμα μὲν αὐτοῦ τὴν Ἐκκλησίαν, ἀδελφοὺς δὲ ἡμᾶς τοὺς κτιστοὺς οἶδεν ἡ Γραφή, ἀλλ' οὖν, ὡς μονογενὴς καὶ ἀληθινὸς Υἱὸς τοῦ ὑψίστου Θεοῦ, τῇ συστάσει τοῦ πλήθους τῶν κτισμάτων κατ' οὐδὲν συνείληπται. Οὔτε δὲ ἄλλη γραφὴ περιέχει λέξιν τοιαύτην. Περὶ αὐτοῦ μενοῦνγε πέπλησται πᾶσα, ὅτι Θεὸς ἀληθινός καὶ Υἱὸς μονογενὴς ἀληθῶς. Ἀλλὰ γὰρ ὥσπερ ὑπό τινος ῥεύματος ὑπηνέχθη βία. Ἐπὶ οὖν ἕτερον κεφάλαιον τρεπτέον τὸν λόγον.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

«Πρωτότοκος πάσης κτίσεως· ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς».

Α'. Δεύτερον πρόβλημα τῶν δυσαγκαλίστων καὶ ἀνεξέταστον ἐχόντων τὸ φρόνημα αἱρετικῶν πειρᾶται τὴν ὀρθὴν πίστιν ἀπὸ Γραφῶν, τῶν παρὰ τὸν θεολογικὸν νοῦν ὑπ' αὐτῶν νοουμένων, ἀπίθανον δεικνύναι, τὴν δ' ἑαυτῶν διὰ τῶν αὐτῶν σεμνοτέραν ἀποφαίνειν. Δείκνυται γάρ, φησί, κτιστὸς καὶ οἷον ἐπίπλαστον καὶ νόθον ἔχων τὸ «μονογενὴς Υἱὸς»[4] καὶ «Θεὸς»[5] ὄνομα· ἐξ ὧν Παῦλος Κολοσσαεῦσιν ἔγραψε περὶ αὐτοῦ· «Πρωτότοκος πάσης κτίσεως»[6]. Εἰ γὰρ δῆθεν πρωτότοκος, οὐ μονογενής, ἀλλ' ὡς πρὸς τοὺς μετ' αὐτὸν κτισθέντας πρωτότοκος· εἰ δὲ μονογενὴς Υἱός, πῶς πρωτότοκος; Προειπόντες οὖν, ὡς ὑπὲρ τὴν αὐτῶν ἐστι καὶ τὸ βάθος τοῦ λογίου τούτου συναίσθησιν, καὶ ὡς ἐλάλει Παῦλος, ἃ μὴ ᾔδει καὶ ἐπίστευεν, οἷς ἐλάλει, ἐπειδὴ ὑποβολὴ ἦν τῆς ὄντως σοφίας καὶ προφανῆ ταῦτα πάντα ἐποίει, **[829]** παραγράψομεν ὅλον τὸ χωρίον τοῦτο καὶ οὕτως ἐπὶ τὴν ἑρμηνείαν αὐτοῦ βαδιούμεθα, οὐ δεόμενοι στοχασμῶν τινων καὶ δι' εἰκότων τὰ φωτὸς φωτοειδέστερα διηγούμενοι, ἐροῦντες δὲ ὅσα ἐκόντες, ἢ ἄκοντες αὐτοὶ μὲν οὗτοι παρεῖδον, ἡμεῖς δὲ ὁρῶμεν δυνάμενα συμμαχεῖν τῷ λόγῳ. Ἔχει δὲ ἡ Ἐπιστολὴ οὕτως· «Εὐχαριστοῦντες τῷ Θεῷ καὶ Πατρί, τῷ καλέσαντι ἡμᾶς εἰς τὴν μερίδα τοῦ κλήρου

---

1. Κολ. 1,24-25. 2. Α' Κορ. 6,15. 3. Α' Κορ. 12,12. 4. Πρβλ. Ἰω. 1,14. 5. Πρβλ. Ἔνθ' ἀν. 18. 6. Κολ. 1,15.

τῶν ἁγίων, ὃς ἐρρύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους, καὶ μετέστησεν εἰς τὴν βασιλείαν τῆς ἀγάπης τοῦ Υἱοῦ αὐτοῦ, ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν, τὴν ἄφεσιν τῶν ἁμαρτιῶν, ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, πρωτότοκος πάσης κτίσεως· ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα, τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχαί, εἴτε ἐξουσίαι· τὰ πάντα δι' αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται· καὶ αὐτός ἐστι πρὸ πάντων καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκεν· καὶ αὐτός ἐστιν ἡ κεφαλὴ τοῦ σώματος τῆς Ἐκκλησίας, ὅς ἐστιν ἀρχὴ πρωτότοκος ἐκ τῶν νεκρῶν, ἵνα γένηται αὐτὸς ἐν πᾶσιν πρωτεύων· ὅτι ἐν αὐτῷ εὐδόκησε πᾶν τὸ πλήρωμα κατοικῆσαι καὶ δι' αὐτοῦ ἀποκαταλλάξαι τὰ πάντα εἰς αὐτόν, εἰρηνοποιήσας διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ, εἴτε τὰ ἐπὶ γῆς, εἴτε τὰ ἐν τοῖς οὐρανοῖς»[1].

Β'. Θέα τοίνυν ἐμφρόνως, πῶς ἐναντία αἱρετικοῖς ἡ Γραφὴ ἐξηγεῖσθαι παρεσκεύασται καὶ ἔχει ἑκάστην λέξιν ἀκτῖνας οἷον νοήσεων περὶ Θεοῦ ἐνανθρωπήσεως ἀποπέμπουσαν· καὶ ὅτι προεῖπεν αὐτὸν Υἱὸν καὶ εἰκόνα τοῦ Θεοῦ καὶ οὕτω πρωτότοκον καὶ κεφαλὴν τοῦ σώματος τῆς Ἐκκλησίας καὶ πρωτότοκον ἐκ τῶν νεκρῶν, εἰρηνοποιήσαντα διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ τὰ ὁρατὰ καὶ τὰ ἀόρατα καὶ πᾶν τὸ πλήρωμα τῆς ὑπὲρ τὸ ἀσώματον καὶ ἀχρώματον καὶ ἀχώρητον θεότητος κληρωσάμενον· ἵν' ὅπως ποτ' οὖν ἀξίως συνίωμεν αὐτοῦ καὶ τὴν ἐκ τοῦ Θεοῦ Πατρὸς καὶ πρὸς αὐτὸν ἀσύγκριτον φύσιν καὶ τὴν ἐκ Παρθένου καὶ κατ' αὐτὴν τελείαν καὶ ἑνοειδῆ σάρκωσιν καὶ ψύχωσιν. Τί γὰρ ἄλλο νοήσαις ἂν μεταξὺ τῶν ἐκκειμένων ὅλων ῥητῶν καὶ τὸ δι' αὐτοῦ καὶ εἰς αὐτὸν πάντα συνεστάναι καὶ καταλλάσσεσθαι καὶ εἰρηνοποιεῖσθαι, εἰ μὴ τὸ διὰ τῆς ἀτρέπτου καὶ ἀναμαρτήτου δι' ἡμᾶς καὶ ὑπὲρ ἡμῶν ἐνανθρωπήσεως αὐτοῦ ἐπιστρέφεσθαι ἡμᾶς εἰς τὴν ἐπίγνωσιν τῆς ἀκτίστου θεότητος αὐτοῦ; Ἀνείρηται οὖν Μονογενὴς μέν, ἅτε οὐκ ἔχων κατὰ τὴν ἄνω ἄρρευστον γέννησιν ἕτερον παρ' αὐτὸν κατὰ φύσιν ἀδελ**[832]**φόν· «πρωτότοκος δὲ πάσης κτίσεως»[2], οὐ διὰ τὸ προεκτίσθαι αὐτῆς (ἐπεὶ ἂν πρωτόκτιστος ἐκλήθη), ἀλλ' ὡς τῇ προγνώσει, καθὰ ἐμνημονεύθη ἐν τῷ πρὸ τοῦδε κεφαλαίῳ, πρὸ παντὸς δημιουργήματος ἀπὸ τῆς ἁγίας Παρθένου τεχθεὶς καὶ ὢν αὐτός τε πρωτότοκος καὶ Μονογενὴς πάσης κτίσεως ἄρρητος, κατὰ τὸ θεῖον γραφίον· ὥσπερ ὠνόμασται ὁ αὐτὸς καὶ «πρωτότοκος ἐκ τῶν νεκρῶν»[3], οὐ διὰ τὸ προτελευτῆσαι αὐτῶν, ἀλλὰ διὰ τὸ ἐγερθέντα ἐκ νεκρῶν, πρῶτον τὴν ἀσφάλειαν τῆς ἀναστάσεως καθολικῶς παρασχεῖν ἡμῖν, τοῖς κατὰ χάριν καὶ δωρεὰν αὐτοῦ καταξιωθεῖσιν υἱότητος μὲν τοῦ Θεοῦ Πατρός, ἀδελφότητος δὲ αὐτοῦ. «Ἐγὼ» γάρ, ἔφη, «εἰμὶ ἡ ζωὴ καὶ ἡ ἀνάστασις»[4]. Καὶ Παῦλος δὲ τὸν καιρὸν αὐτὸν ὑπέδειξεν, ἐν ᾧ διὰ τὴν αὐτοῦ ἀγαθό-

1. Κολ. 1,12-20. 2. Κολ. 1,15. 3. Κολ. 1,18. 4. Ἰω. 11,24.

τητα ὁ Σωτὴρ τὴν παλαιὰν ἡμῶν ἀμεῖψαι κακοπραγίαν καὶ ἀξιῶσαι ἡμᾶς διαιωνίως ἀπολαύειν τῆς τοῦ ἄνω ἀπόνου φωτὸς μετουσίας προθέμενος, «πρωτότοκος πάσης κτίσεως»[1] ἐγένετο, δι' ὧν ἔφη· «Τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ καινὰ γέγονε πάντα»[2]. Καὶ ἕτερα δὲ αὐτοῦ ῥήματα διωθεῖται μὲν ταυτηνὶ τὴν αἱρετικὴν ἐνθύμησιν, τὴν κατασοφιζομένην τοῦ τε Παύλου, ὡς τοιαῦτα γράψαντος, τοῦ τε πάντα ποιήσαντος καὶ κεκτημένου, ὡς τοιούτων περὶ αὐτοῦ ἐξενηνεγμένων φωνῶν, ὅπερ χαλεπὸν καὶ πλάσαι καὶ ἀκοῦσαι· δ ἀρρήδην δὲ παρίστησιν, ὡς τό, «Πρωτότοκος πάσης κτίσεως»[3], ἀντὶ τοῦ, πάσης ἀνθρωπότητος, ἐλέχθη. Τὴν γὰρ ἀνθρωπότητα κτίσιν προσαγορεύει, ὡς ἐν τῷ προκειμένῳ κεφαλαίῳ εἴρηται λέξεσιν αὐταῖς· «Ὑποτάγητε πάσῃ κτίσει ἀνθρωπίνῃ διὰ τὸν Κύριον, εἴτε βασιλεῖ, ὡς ὑπερέχοντι, εἴτε ἡγεμόσιν, ὡς δι' αὐτοῦ πεμπομένοις»[4].

Γ'. Συναντιλαμβάνεται δὲ ἡμῖν, εἰς μὲν τὸ «Πρωτότοκος»[5] καὶ «Μονογενής»[6], τὸ διηγήσασθαι τὸν εὐαγγελιστήν, ὅτι ἔμεινε παρθένος, «ἕως ἔτεκε τὸν Υἱὸν αὐτῆς τὸν πρωτότοκον»[7]. Οὔτε γὰρ ἐγαμήθη τινὶ ἡ τιμιωτέρα πάντων καὶ εὐκλεεστάτη Μαρία, οὐτ' ἄλλου μήτηρ ἐγένετό ποτε· ἔμεινε δὲ καὶ μετὰ κυοφορίαν ἀεὶ καὶ διὰ παντὸς ἄμωμος παρθένος, καὶ ὅμως πρωτότοκος αὐτῆς, ὁ πλάσας αὐτήν τε καὶ πάντας οὐκ ἀλόγως ἐκλήθη. Εἰς δὲ τό, «Πρωτό**[833]**τοκος ἐκ τῶν νεκρῶν»[8], τὸν αὐτὸν Παῦλον Κορινθίοις διὰ τῶν πρὸς αὐτοὺς πρώτων ἐπιστολιμαίων χαραγμάτων διδάξαι· «Χριστὸς ἐγήγερται ἐκ νεκρῶν, ἀπαρχὴ τῶν κεκοιμημένων· ἐπειδὴ γὰρ δι' ἀνθρώπου ὁ θάνατος καὶ δι' ἀνθρώπου ἀνάστασις νεκρῶν. Ὥσπερ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνῄσκουσιν, οὕτω καὶ ἐν τῷ Χριστῷ πάντες ζωοποιηθήσονται, ἕκαστος δὲ ἐν τῷ ἰδίῳ τάγματι. Ἀπαρχὴ Χριστός, ἔπειτα οἱ τοῦ Χριστοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ, εἶτα τὸ τέλος»[9]. Χρήσαιτο δ' ἄν τις καὶ τούτῳ ὀρθῶς. Οὐ γὰρ ἕν τι μόνον ἐπὶ τοῖς οὕτω ὑψηλοῖς ῥητοῖς χρὴ ἐπισκοπεῖν, οὐδὲ τὸ ἧσσον, ἀλλὰ τὸ ἄμεινον· εἰς γὰρ τὰ περὶ Θεοῦ, ἐν τοῖς ἀμείνοσιν ἡ ἀλήθεια. Ὅτι «πρωτότοκος πάσης κτίσεως»[10] ὠνόμασται, διὰ τοὺς ἐν τῷ θείῳ βαπτίσματι τῇ υἱοθεσίᾳ τοῦ Ἁγίου Πνεύματος ἐκ τοῦ Θεοῦ γεννωμένους καὶ διὰ τὸ πᾶν, ὅ ἐσμεν καὶ κεκτήμεθα, ἐξ αὐτοῦ εἰληφέναι, καθὰ πάλιν ὁ αὐτὸς παιδεύων λέγει· «Τί δὲ ἔχεις, ὃ οὐκ ἔλαβες; Εἰ δὲ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβών»[11]; ὡς καὶ Ἑλλήνων παῖδες, τὰς ἄλλας ἐναντιώσεις ἀφέντες, διηγόρευσαν·

Πάντα μὲν ἀθανάτοιο Θεοῦ πανυπέρτατα δῶρα
Ἔξοχα δ' ἐν μερόπεσσιν ἀληθείης μεγ' ὄνειαρ.

---

1. Κολ. 1,15. 2. Β' Κορ. 5,17. 3. Κολ. 1,15. 4. Α' Πέτρ. 2,13. 5. Κολ. 1,15. 6. Ἰω. 1,14. 7. Ματθ. 1,25. 8. Κολ. 1,18. 9. Α' Κορ. 15,20. 10. Κολ. 1,15. 11. Α' Κορ. 4,7.

Δ′. Εἰ δὲ τολμηρῶς καὶ εἰς τὴν ἀκατάληπτον αὐτοῦ θεότητα ἐκληπτέον τό, «Πρωτότοκος πάσης κτίσεως»[1], νοηθείη ἂν οὕτω πως κεκλῆσθαι, ἢ ὡς πρὸ πάσης κτιστῆς γεννήσεως γεννηθείς, ἢ ὡς πρῶτος καὶ μόνος Υἱὸς Λόγος παρακομίσας καὶ τεκτηνάμενος ἐκ μὴ ὄντων πᾶσαν προηγουμένην κτίσεως κτίσιν καὶ αἴτιος πάσης ὤν, εἶτα καὶ ὡς θεμέλιος φέρων αὐτὴν τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, κατὰ τὸν ψάλλοντα· «Πάντα ἐν σοφίᾳ ἐποίησας»[2]· καὶ κατὰ τὴν Παροιμίαν Σολομῶντος λέγουσαν· «Ὁ Θεὸς ἐν τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν, ἡτοίμασεν δὲ οὐρανοὺς ἐν φρονήσει»[3]. Καὶ αὐτὸ δὲ τοῦτο κρίνει τὸ προκείμενον μέρος τῆς Ἐπιστολῆς, ἔχον· «Πρωτότοκος πάσης κτίσεως, ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα»[4], καί· «Τὰ πάντα δι' αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται· καὶ αὐτός ἐστι πρὸ πάντων, καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκεν»[5]. Καὶ διὰ τοῦτο καὶ μόνον φησίν, **[836]** Πρωτότοκος πάσης κτίσεως, ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα»[6], τῆς «ὅτι» λέξεως ἀντὶ τῆς, διότι ἤ, ἐπειδή, ὑγιῶς νοουμένης· οὐ γὰρ ἂν ὑπῆρχεν, ἢ δ ἐμεινεν ἀβλαβῆ, εἰ μὴ βάσιν καὶ κρηπῖδα ἔχει τὸν δημιουργικὸν τὸν τοῦ Θεοῦ Υἱὸν Λόγον καὶ εἰς αὐτὸν ἀπηρείδετο. Διὸ οὐκ εἶπεν, οὔτε, πρωτόκτιστος, ἀλλά, «πρωτότοκος»[7], οὐδέ, Αὐτὸς ἐγένετο πρὸ πάντων, ἀλλ', «Αὐτός ἐστι πρὸ πάντων»[8] τοῦτ' ἔστιν ἀνάρχως. Ἐπὶ γὰρ τῆς ἀρρήτου φύσεως πᾶς χρόνος ἐνέστηκεν καὶ ἐν τῷ νῦν πάρεστι, καὶ οὔτε παρῆλθέν τι ἐν αὐτῇ, οὔτε μέλλει, ἀλλ' ἐν τῷ ἑνὶ χρόνῳ διατελεῖ πως ἀίδ.α, ὡς Πλάτων ἐν τῷ Τιμαίῳ φησίν· «Ὅθεν δὴ οὐδὲ ὀρθῶς ἐπὶ τῆς ἀρρήτου φύσεως ὀνομάζομεν. Λέγομεν γὰρ δή, ὡς ἦν, ἔστι καὶ ἔσται· τῇ δὲ τὸ ἔστι μόνον κατὰ τὸν ἀληθῆ λόγον προσήκει· τὸ δὲ ἦν· τό τε ἔσται, κατὰ τὸν ἐν φύσει χρόνον πρέπει λέγεσθαι· κίνησις γάρ ἐστιν· τὸ δὲ ἀεὶ κατὰ ταὐτὰ ἔχον ἀκινήτως, οὔτε πρεσβύτερον, οὔτε νεώτερον προσήκει γίνεσθαι διὰ χρόνον, οὔτε «γεγονέναι» νῦν, οὔτε αὖθις «ἔσεσθαι»α. Ὅτι δέ, ὡς ἔφαμεν, ἐν τῷ Θεῷ τὰ πάντα καὶ ἐξ αὐτοῦ πέφηνεν μαρτυροῦντες καὶ Ἕλληνες ἔγραψαν ταῦτα·

Αὐτὸς ἑαυτὸν ἄγει Θεὸς ἄμβροτος· ἔστι δ' ἀπ' αὐτοῦ
Πάντα καὶ ἐν μεγάλοιο Θεοῦ νόῳ ἐξεφαάνθη.

Ε′. Οὐ πάντως δὲ ὁ πρωτότοκος οὐ μονογενής, ἀλλ' ἔσθ' ὅτε τὰ συναμφότερα· καὶ ὁ μονογενὴς δὲ πάντως καὶ πρωτότοκος εὑρίσκεται οὐκ ἔχων δευτερότοκον ἢ τριτότοκον, ὡς μόνος γεννηθεὶς καὶ τὸ ὄνομα ἐκ τοῦ πράγματος κτησάμενος. Ἀμέλει τοι καὶ ἐν τῷ Ἱερεμίᾳ ἀπὸ τοῦ παναγίου Πνεύματός φησιν· «Καὶ Ἐφραὶμ πρωτότοκός μού ἐστιν»[9]. Ἦν δὲ οὐδὲ τῷ ἑαυτοῦ Πατρὶ πρωτότοκος Ἐφραίμ. Ἐπεὶ

---

1. Κολ. 1,15. 2. Ψαλ. 103,24. 3. Παρμ. 3,19. 4. Κολ. 1,15. 5. Κολ. 1,16-17. 6. Κολ. 1,15. 7. Αὐτόθι. 8. Κολ. 1,17. 9. Ἱερ. 38,9.
α. Πλάτωνος, Τίμαιος 37e-38a.

οὖν αὐτὸς ἡ ἀλήθεια καὶ ἡ δημιουργὸς καὶ ἀδίδακτος σοφία, πρέπει τοῖς περὶ αὐτοῦ γεγραμμένοις κατὰ θεοπρεπῆ νόησιν ἔχειν τὸ ἀψευδές. Ἔστω τοίνυν καὶ μονογενὴς καὶ πρωτότοκος· ἁρμόζει δὲ μᾶλλον αὐτῷ πρὸς τὴν οἰκονομίαν ἡ τοῦ «πρωτότοκος» λέξις. Εἰ μὴ γὰρ διὰ φιλανθρωπίαν ἄφατον, τὸ μὲν Ἅγιον Πνεῦμα ἀνεγέννησεν ἡμᾶς, ὁ δὲ Θεὸς καὶ Πατὴρ υἱούς προσέλαβεν, ὁ δὲ περὶ οὗ ὁ λόγος μονογενὴς Θεὸς ἀτρέπτως καὶ ἀρρεύστως ἐγένετο, ὡς οἶδεν, διὰ σωτηρίαν ἀνθρώπων υἱὸς ἀνθρώπου οὐκ ἂν οὔτ' αὐτὸς ὠνόμαστο «Πρωτότοκος ἐν πολλοῖς ἀδελφοῖς»[1], οὔτε οἱ υἱοὶ τῶν ἀνθρώπων ἐκλήθημεν ἂν θεοὶ καὶ υἱοὶ Θεοῦ· οὐδεὶς γὰρ φύσει ἀδελφός ἐστιν υἱοῦ μονογενοῦς· ὁ δὲ Ποιητὴς καὶ οἰκονόμος πάντων καὶ μόνος εὔσπλαγχνος, ἀδελφός **[837]** τε ἡμῶν, πρωτότοκός τε ἀριθμεῖται. Αὐτὸς μὲν γὰρ ἐξ ἀπείρου ὕψους ἑαυτὸν διὰ τοὺς ἰδίους δούλους κενώσας, καὶ ἀνακαινίσας πάντα καὶ ἀρχὴν κρείττονος βίου τῇ ἑαυτοῦ ἐπιδημίᾳ παρασχόμενος καὶ διὰ τοῦτο πρωτότοκος κληθείς, οὔ τί που τὴν θείαν παρεβλάβη δόξαν· οὐδὲ γὰρ μειονεκτεῖσθαί πως, ἢ εἰς τὸ τοῦ χεῖρον ἔχοντος μέτρον καταφέρεσθαι ἀνέχεται δυνάμεως λέξεων, ἐν τῇ καταχρήσει διὰ τὴν ἄφθεγκτον οἰκονομίαν ἐξενηνεγμένων· ἡμεῖς δὲ ἐκ πολλῆς ταπεινώσεως καὶ σκότους εἰς δόξαν καὶ φῶς ἀνήχθημεν ἄπειρον, τὴν εἰς αὐτὸν εἰσδεδεγμένοι πίστιν. Ἕκαστον γάρ, παρ' ὃ τὴν φύσιν ἐστίν, λέξεως ὄγκῳ, ἢ χθαμαλότητι, οὔτ' ἀναθρώσκειν πως καὶ ἐξαίρεσθαι, οὔτε μὴν ἑαυτοῦ οἱονεὶ κατιέναι καὶ ὑφιζάνειν δύναται.

Ϛ'. Οὐ μικρὰ δὲ συνεδείκνυται τοῖς ὑφ' ἡμῶν διηγηθεῖσιν, ἀλλὰ καὶ μόνον ἐπικουρεῖν ἰσχύει καὶ τὸ ἐν πη΄ ψαλμῷ τὸν ἀπερινόητον Θεὸν ἀξιῶσαι εἰπεῖν· «Εὗρον Δαυὶδ τὸν δοῦλόν μου· ἐν ἐλαίῳ μου ἁγίῳ ἔχρισα αὐτόν. Καὶ γὰρ ἡ χείρ μου συναντιλήψεται αὐτῷ, ὁ βραχίων μου κατισχύσει αὐτόν· οὐκ ὠφελήσει ἐχθρὸς ἐν αὐτῷ καὶ υἱὸς ἀνομίας οὐ προσθήσει τοῦ κακῶσαι αὐτόν. Καὶ συγκόψω ἀπὸ προσώπου αὐτοῦ τοὺς ἐχθροὺς αὐτοῦ καὶ τοὺς μισοῦντας αὐτὸν τροπώσομαι. Καὶ ἡ ἀλήθειά μου καὶ τὸ ἔλεός μου μετ' αὐτοῦ καὶ ἐν τῷ ὀνόματί μου ὑψωθήσεται τὸ κέρας αὐτοῦ. Καὶ θήσομαι ἐν θαλάσσῃ χεῖρα αὐτοῦ καὶ ἐν ποταμοῖς δεξιὰν αὐτοῦ. Αὐτὸς δὲ ἐπικαλέσεταί με· Πατήρ μου εἶ σύ, ὁ Θεός μου, καὶ ἀντιλήπτωρ τῆς σωτηρίας μου. Καὶ ἐγὼ πρωτότοκον θήσομαι αὐτὸν ὑψηλὸν παρὰ τοῖς βασιλεῦσι τῆς γῆς»[2]. Κἄν τε γὰρ περὶ τοῦ συνυφεστῶτος τῇ πατρικῇ δόξῃ ἀπαυγάσματος καὶ ἐπ' ἐσχάτων ἐκ ῥίζης Ἰεσσαὶ ἀνθήσαντος, κἄν τε περὶ τοῦ Δαυὶδ τοῦτο διαγορεύεσθαι δοίημεν, οὐκ ἂν τῇ τῆς συνηθείας ὑπονοίᾳ ὁ πρωτότοκος νοηθείη. Πῶς γὰρ ἢ τὸν ἤδη ὄντα ἄνθρωπον (λέγει γάρ, ὅτι «Εὗρον Δαυὶδ τὸν δοῦλόν μου»[3]), ἢ τὸν πρεσβυτέρους ἑαυτοῦ ἔχοντα ἀδελφούς, πρωτότοκον ποιήσεται; Ὅτι δέ ποτε σύνηθες τῇ Γραφῇ τοὺς ὄντας ἤδη καθ' ὕπαρξιν, γίνεσθαί πως ὃ οὐκ

1. Ρωμ. 8,29. 2. Ψαλ. 88,21-28. 3. Αὐτόθι.

ἦσαν ἐξαγγέλλειν, Παῦλος ὁ Χριστοῦ γέμων καὶ Ἁγίου Πνεύματος ἔμπλεως οὕτω που φάσκει· «Οὐκ ἔτι εἶ δοῦλος, ἀλλὰ υἱός»[1]. Τὸ γάρ, «οὐκ ἔτι,» τοῖς ἤδη ὑφεστηκόσι τὴν ἐπὶ ἄλλο τι τοῦ λοιποῦ κατάστασιν σημαίνει. Καὶ πάλιν· «Οὓς προέγνω καὶ προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ, εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς»[2]· ἀντὶ τοῦ, ὁ Θεὸς ὁ προγνοὺς ἀπογόνους καὶ πάντα τὰ παρελθόντα καὶ ἐπιόντα, ὡς ὑφεστῶτα καὶ παρόντα ὁρῶν, παρ' ᾧ ἕν τι μέτρον οἱ αἰῶνες ἅπαντές εἰσι καὶ οὐδὲν μεμερισμένον, ὡς πρὸ βραχέος ἐλέχθη, προεῖδε καὶ ἐπιφανῶς ὑπέσχετο, τοὺς ἀνθρώπους συμμόρφους ἔσεσθαι τοῦ ὄντος ἀιδίως ἐν μορφῇ αὐτοῦ μο- **[840]** νογενοῦς Υἱοῦ, ἀφ' οὗ ἂν οὗτος ὁ Μονογενής, καθεὶς ἑαυτὸν δι' ἡμᾶς εἰς δουλοπρεπῆ μορφήν, λέξει ἰδίᾳ δωρεᾷ· «Οὐκ ἔτι ὑμᾶς καλῶ δούλους»[3], ἀλλὰ φίλους[4] καὶ ἀδελφούς[5], ὡς γέγραπται. Ὃν τρόπον γὰρ οἱ κτιστοί, υἱοὶ ἐκλήθημεν τοῦ Θεοῦ, κατὰ χάριν, οὐ κατὰ φύσιν· ὡσαύτως ὁ Μονογενὴς τοῦ Θεοῦ, ὅτε ἐμείγνυ τὰ ἐπίγεια τοῖς ἐπουρανίοις, καὶ σωτηρία ἡμῖν νέα διὰ τέλους ἐγίνετο, ἀδελφὸς ἡμῶν καὶ πρωτότοκος ἐκλήθη, οὐ κατὰ τὴν ἐκ Πατρὸς φύσιν, ἀλλὰ κατὰ τὴν ἐκ τῆς Παρθένου καὶ κατὰ τὴν Παρθένον σάρκωσιν αὐτοῦ. Εὔκαιρον τοίνυν ἂν εἴη εἰπεῖν πρὸς αἱρετικούς, ὅπερ εἴρηται τοῖς ἔξω καλῶς· «Τὰ ψεύδη μίσει, ἵνα σοι ἡ ἀλήθεια προσεθίζηται».

ΚΕΦΑΛΑΙΟΝ Ε'.

«Ἐγώ εἰμι ἡ ἀρχὴ καὶ τὸ τέλος».

Τρίτη αὐτῶν πρότασις, ἡ ἐκ προσώπου τοῦ πάντα ὑποστήσαντος Κυρίου λέγουσα προφητεία· «Ἐγώ εἰμι ἡ ἀρχὴ καὶ τὸ τέλος»[6]. Χρονικὴν γὰρ ἐντεῦθεν τὴν ἄχρονον καὶ ὑπὲρ νοῦν ὕπαρξιν αὐτοῦ ἀπιθάνοις ἐκδοχαῖς ἀναπλάττουσι καὶ βιάζονται τὴν κακίαν αὐτῶν ἀρετὴν νομισθῆναι. Ὅσοι δὲ τοῦτον τὸν Μονογενῆ πλουσιολόγον Θεὸν οὐκ ἀγνοοῦσιν, ὡς οὗτοι, ἐπιδεῶς ἔχουσι καὶ τῆς τοῦ χρυσοῦ ῥήματος τούτου θεολογίας. Δηλοῖ γὰρ ἡ μὲν ἀρχή, τὸ αἴτιον αὐτὸν εἶναι, ὡς ἄναρχον, καθὰ ὁ Θεὸς Πατὴρ τῆς πάντων συστάσεως. Ὁ γὰρ ὢν ἀρχὴ οὐκ ἔχει τὸν προϋπάρχοντα, ὡς ὁ ὕστατος οὐκ ἔχει τὸν ὕστατον. Ἀρχὴ γάρ, ὥς φησιν Ἀριστοτέλης ἐν πέμπτῳ τῶν «Μετὰ τὰ φυσικά», λέγεται πολλαχῶς. Λέγεται μὲν γὰρ ἀρχή, οἷον βασιλεία, στρατηγία· λέγεται δὲ καὶ τοπικῶς, ὡς ἀρχὴ δρόμου, ἡ βαλβίς· λέγεται δὲ καὶ χρονικῶς, ὡς ἀρχὴ ἔτους ἥδε ἡ ἡμέρα· λέγεται δὲ καὶ φυσικῶς, ὡς ἀρχὴ βρέφους τὸ σπέρμα· λέγεται δὲ καὶ κατὰ αἰτίαν, ὡς ἀρχὴ τοῦ ἀνδριάντος ὁ ἀνδριαντοποιός· Οὕτως οὖν λέγομεν αὐ**[841]**τὸν ἀρχήν,

---

1. Γαλ. 4,7. 2. Ρωμ. 8,29. 3. Ἰω. 15,15. 4. Ἰω. 15,14. 5. Ματθ. 23,8. Πρβλ. Ματθ. 12,49. 6. Ἀποκ. 21,6.

ὡς αἴτιον καὶ Δημιουργόν· τὸ δέ γε τέλος τὸ εἰς αὐτόν, ὡς ἀπερίγραφον καὶ μόνον ἔχοντα ἀθανασίαν, πάντων τὰ πέρατα συνερείδεσθαι καὶ μετὰ τὴν τοῦδε τοῦ παντὸς πληρότητα εἰς ἀεὶ καὶ ἀπείρως διαμένειν αὐτόν. Οὐκοῦν ὁ ἄπειρος γένεσιν ἔχειν οὐ δύναται· μὴ δυνάμενος δέ, αὐτὸς μὲν ἀγένητός ἐστι, καίτοι γεννητὸς ὢν ἐκ τῆς ὑποστάσεως τοῦ Θεοῦ Πατρὸς φυσικῶς· τὰ δὲ γενητὰ γεγένηνται ἐξ αὐτοῦ δημιουργικῶς. Τούτοις ἑπομένως νοηθείη ἂν καὶ ὅπερ Παῦλος Κολοσσαεῦσιν ἐξήγγειλε τόνδε τὸν τρόπον· «Καὶ αὐτός ἐστι πρὸ πάντων»[1]· οὐχ ὡς ποιητὸς (μὴ γένοιτο!), ἀλλ' ὡς γεννητός. Εἰ μὴ γὰρ ἦν ἀνάρχως αὐτὸς πρὸ πάντων γεννηθεὶς ἀληθινῶς καὶ ὁμοουσίως, οὐκ ἂν κατ' εἰκόνα ἡμεῖς αὐτοῦ ὁμοούσιοι τοῦ ἡμᾶς τεκόντος ἐγενήθημεν· καὶ εἰ μὴ προῆν ἀδημιουργήτως ὁ ποιητὴς καὶ προνοητής, οὐκ ἂν ὑπῆν δημιουργικῶς τὰ ποιητὰ καὶ προνούμενα.

ΚΕΦΑΛΑΙΟΝ Ϛ′

«Γινωσκέτω πᾶς οἶκος Ἰσραήλ, ὅτι καὶ Κύριον αὐτὸν καὶ Χριστὸν ὁ Θεὸς ἐποίησε»· καί· «Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ» καὶ «Δέξασθε τὸν ἀρχιερέα» καὶ «Ὃς ἐγεννήθη σοφία ὑμῖν ἀπὸ Θεοῦ»· καί· «Ἐκλελογισμένος ἀπὸ μυριάδων».

Α′. Τέταρτον προτείνουσιν ὑπὸ ἀκολάστου γλώσσης τὸ παρὰ Πέτρῳ ἐν ταῖς Πράξεσιν εἰρημένον· «Γινωσκέτω πᾶς οἶκος Ἰσραήλ, ὅτι καὶ Κύριον αὐτὸν καὶ Χριστὸν ὁ Θεὸς ἐποίησεν, τοῦτον τὸν Ἰησοῦν, ὃν ὑμεῖς ἐσταυρώσατε»[2]. Καὶ τοῦτο δὲ οὐ περὶ τῆς θείας καὶ ἀκαταλήπτου γέγραπται οὐσίας τοῦ ἐν ἀρχῇ ὄντος Θεοῦ Λόγου καὶ πρὸς τὸν Θεὸν ὄντος καὶ οὐχ ἁρπαγμὸν ἡγησαμένου τὸ εἶναι ἴσα Θεῷ, ἀλλὰ περὶ τοῦ ἐκ Μαρίας συμμόρφου τῆς ταπεινώσεως ἡμῶν. Ἡ γὰρ μνήμη τοῦ σταυροῦ καὶ τὸ συνῆφθαι τῷ «ἐποίησεν», τό, «Ὃν ὑμεῖς ἐσταυρώσατε»[3], αὐτὸν ἐδήλωσεν, οὗ πολλαχοῦ μέμνηται ἡ Γραφή. Καὶ ὡς ὅταν ἐν ταῖς Πράξεσι λέγῃ ὁ αὐτὸς Πέτρος· «Ὁ Θεὸς Ἀβραὰμ καὶ ὁ Θεὸς Ἰσαὰκ καὶ ὁ Θεὸς Ἰακώβ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν ἐδόξασε τὸν παῖδα αὐτοῦ Ἰησοῦν, ὃν ὑμεῖς μὲν παρεδώκατε καὶ ἠρνήσασθε κατὰ πρόσωπον Πιλάτου, κρίναντος ἐκείνου ἀπολύειν· ὑμεῖς δὲ τὸν ἅγιον καὶ δίκαιον ἠρνήσασθε· καὶ ἠτήσατε ἄνδρα φονέα χαρισθῆναι ὑμῖν, τὸν δὲ ἀρχηγὸν τῆς ζωῆς ἀπεκτείνατε»[4]. Καὶ Ζαχαρίας φησίν· «Ἐκχεῶ ἐπὶ τὸν οἶκον Δαυὶδ καὶ ἐπὶ τοὺς κατοικοῦντας Ἰερουσαλὴμ Πνεῦμα χάριτος καὶ οἰκτιρμοῦ· καὶ ἐπιβλέψονται πρὸς μέ, εἰς ὃν ἐξεκέντησαν, **[844]** καὶ κόψονται ἐπ' αὐτὸν κοπετόν, ὡς ἐπὶ

1. Κολ. 1,17. 2. Πράξ. 2,36. 3. Αὐτόθι. 4. Πράξ. 3,13-15.

ἀγαπητόν, καὶ ὀδυνηθήσονται ἐπ' αὐτόν, ὡς ἐπὶ πρωτότοκον»[1]. Ἥστινος προφητείας, ἀναμνησθεὶς Ἰωάννης μετὰ τὸν σωτήριον σταυρόν, εἶπεν· «Ὄψονται, εἰς ὃν ἐξεκέντησαν»[2]. Περὶ τούτου καὶ ὁ ἄγγελος συγχαίρων ἀνθρώποις ἔλεξεν· «Ἐτέχθη ἡμῖν Σωτὴρ σήμερον, ὅς ἐστι Χριστὸς Κύριος»[3]. Ὁ δὲ σήμερον τεχθεὶς οὐκ ἄν ποτε ὁ προαιώνιος νοηθείη. Προσεκτέον οὖν καὶ τῷδε τῷ τοῦ Γράμματος θαύματι, ὅτι ἄγγελοι καὶ ἄνθρωποι μιᾶς νεαρᾶς θεογνωσίας ἑορτὴν ἐπετέλουν ἴσῃ διαθέσει ὁμοφωνοῦντες καὶ ὁμογνωμονοῦντες. Οὕτω δέ φαμεν, ἐπινοίᾳ τινὶ τὴν ἄφραστον αὐτοῦ οἰκονομίαν σημαίνοντες καὶ τὴν εἰς τὴν θεότητα αὐτοῦ συντείνουσαν βλασφημίαν ἐκκλίνοντες οὐκ ἄλλον δὲ πιστεύοντες εἶναι τὸν ἐκ Πατρὸς Υἱὸν καὶ ἄλλον τὸν γενόμενον σάρκα καὶ σταυρωθέντα· ἐπεὶ μήποτε διαζεύγνυσθαι ἑαυτῆς μηδὲ τρέπεσθαι πέφυκεν ἡ θεότης. Οὐδὲ γὰρ ὁ Ἀπόστολος δύο ἐνόησεν ἄν, εἰπών· «Χριστοῦ οὖν παθόντος ὑπὲρ ἡμῶν σαρκί»[4]. Καὶ ὁ Ἱεροψάλτης γὰρ τὸ ἀπόρρητον τοῦτο μυστήριον τῆς οἰκονομίας καὶ κρύπτων πως καὶ ἀναπεπταμένως ἐκφαίνων καὶ καλύπτων μᾶλλον ἢ ἀγνοῶν καὶ ἀγνοῶν μᾶλλον ἢ καλύπτων, ἐν ρη΄ ψαλμῷ ὁμοιότροπον τοῦ μνημονευθέντος ῥήματος Πέτρου προφητεύει· «Καὶ γνώτωσαν, ὅτι ἡ χείρ σου αὕτη· καὶ σύ, Κύριε, ἐποίησας αὐτήν[5]· διὰ μὲν τὸ ὁμοουσίως συνυπάρχειν τῷ Πατρὶ καὶ πάντα γεγενῆσθαι πρὸς αὐτοῦ, χεῖρα τοῦ Πατρὸς προσαγορεύων τὸν Θεὸν Λόγον. Διὰ δὲ τὸ ἀτρέπτως σάρκα, ὡς οἶδε καὶ ἠθέλησε, γεγενῆσθαι, λέγων αὐτὸν πεποιῆσθαι παρ' ἐκείνου, οὗ χείρ ἐστιν.

Β΄. Οὐκ ἀεὶ δὲ τό, «ἐποίησε», νοεῖται ἀντὶ τοῦ, **[845]** «ἔκτισεν», ἀλλὰ καὶ κατὰ σχέσιν· ὡς τὸν ἤδη ὄντα κατ' οὐσίωσιν διδάσκαλον, τότε ποιεῖ τις τῶν ἑαυτοῦ παίδων διδάσκαλον, ὅταν διδάσκειν τοὺς παῖδας ὁ διδάσκαλος ἄρξηται· καὶ ὡς ὅτε παῖδα τότε ποιεῖ τις στρατιώτην ἢ ῥήτορα, ὅταν τὴν στρατείαν ἢ τὸ ῥητορεύειν ὁ παῖς μετέρχηται. Τῇ γὰρ διανοίᾳ ταύτῃ περὶ τοῦ Πατρὸς καὶ Θεοῦ εἶπεν· «Βοηθὸς καὶ σκεπαστὴς ἐγένετό μοι εἰς σωτηρίαν»[6]· καὶ Ἡσαΐας· «Ἐγένου πάσῃ πόλει ταπεινῇ βοηθός»[7]. Καὶ ὁ Ἱεροψάλτης ἐν μὲν κθ΄ ψαλμῷ· «Κύριος ἐγενήθη βοηθός μου»[8]· ἐν δὲ λ΄· «Γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστὴν καὶ εἰς οἶκον καταφυγῆς, τοῦ σῶσαί με»[9]· καὶ Ἀβραὰμ πρὸς Σάρραν τὴν ἑαυτοῦ σύμβιον· «Ἐγένετό μοι καὶ εἰς γυναῖκα»[10]· καὶ ὁ Παῦλος· «Γινέσθω ὁ Θεὸς ἀληθής, πᾶς δὲ ἄνθρωπος ψεύστης»[11]. Ἀκολούθως τούτῳ ἐκλαμβάνεται καί· «Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ»[12]. Οὐ γὰρ περὶ τοῦ τοιῶσδε λόγῳ φάναι, ἢ τοιῶσδε, τὴν οὐσίαν αὐτοῦ δηλοῖ. Διὸ οὐχ ἁπλῶς τό, «κατεστάθην», ἀλλ', «ἐπὶ τὸ ὄρος Σιών, εἶπεν·

---

1. Πρβλ. Ζαχ. 12,10. 2. Ἰω. 19,37. 3. Λουκ. 2,11. 4. Α΄ Πέτρ. 4,1. 5. Ψαλ. 108,27. 6. Ἐξ. 15,2. 7. Ἡσ. 25,4. 8. Ψαλ. 29,11. 9. Ψαλ. 30,3. 10. Πρβλ. Γεν. 20,12. 11. Ρωμ. 3,4. 12. Ψαλ. 2,6.

ὑπάρχων γὰρ πάντων ἐξ ἀπείρου καὶ ἐπ᾽ ἄπειρον βασιλεὺς (φησὶ γάρ· «Κύριος βασιλεὺς εἰς τὸν αἰῶνα καὶ ἐπ᾽ αἰῶνα καὶ ἔτι»[1]· καί· «Ἡ βασιλεία σου, βασιλεία πάντων τῶν αἰώνων»[2]), ἐδόκει πως μήπω μὲν βασιλεύειν τῶν μὴ γινωσκόντων αὐτόν, γεγενῆσθαι δὲ καὶ ἐπὶ αὐτοὺς βασιλεὺς ἐν τῇ ἐνανθρωπήσει, δι᾽ ἣν αὐτός τε Δαυὶδ ἐξήτει ἐν θ΄ ψαλμῷ· «Κατάστησον, Κύριε, νομοθέτην ἐπ᾽ αὐτούς· γνώτωσαν ἔθνη, ὅτι ἄνθρωποί εἰσιν»[3]· Μιχαίας τε προεφήτευσεν· «Καὶ ὁ Κύριος βασιλεύει ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος»[4]. Διεσάφησαν δὲ περὶ τούτου καὶ οἱ ἔξω τοιάδε·

Οὔνομα γὰρ βασιλεὺς Θεὸς ἄμβροτος οὔ-
[ποτε λῆγον,
Οὔποτ᾽ ἀποφθινύθον, οὐδ᾽ ἀποπαυόμενον.

Ὁμοιότροπον τούτῳ ἐστὶ καὶ τό· «Δέξασθε τὸν ἀρχιερέα τῆς ὁμολογίας ὑμῶν, πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν»[5]. Πάλιν γὰρ ἐξ ἡμῶν σύμμορφον γενόμενον ἡμῖν λέγει, καὶ προτρέπει δέξασθαι αὐτόν, **[848]** Θεὸν μὲν καὶ Υἱὸν τοῦ Θεοῦ ἀληθινὸν ἀνάρχως ὄντα, τότε δὲ δι᾽ ἡμᾶς ἀρχιερέα πεποιημένον, ἐπειδὴ ἐν τῷ κόσμῳ ἦν καὶ ὁ κόσμος δι᾽ αὐτοῦ ἐγένετο καὶ «ὁ κόσμος» αὐτὸν «οὐκ ἔγνω»[6], ἀποδραμὼν αὐτοῦ τῆς ἀκτίστου θεότητος. Ἑπομένως θεωρεῖται καὶ ἡ πρὸς Κορινθίους Παύλου φωνή· «Ἐξ αὐτοῦ δὲ ὑμεῖς ἐστε ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐγενήθη σοφία ὑμῖν ἀπὸ Θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμός, καὶ ἀπολύτρωσις· ἵνα, καθὼς γέγραπται, Ὁ καυχώμενος ἐν Κυρίῳ καυχάσθω»[7]. Κατὰ γὰρ Θεόν, φασί, καὶ ἀγαθοὶ καὶ σοφοί εἰσιν ἄνθρωποι»· καὶ τὰ ἐναντία τούτων·

Τὰ γὰρ περισσὰ κἀνόνητα σώματα
Πίπτειν βαρείαις πρὸς Θεοῦ δυσπραξίαις[α].

Ὃν τρόπον γὰρ τεθεὶς φῶς εἶναι ἐθνῶν[8] οὐκ οὐσιωδῶς ἐγένετο τότε φῶς, ἀλλ᾽ ᾧ φωτίζονται οἱ ἐπιγινώσκοντες αὐτὸν («Ἦν» γάρ, φησίν, «τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον»[9]·) οὕτω καὶ «βασιλεὺς κατεστάθη» καὶ «Κύριος ἐγένετο», φύσει καὶ ἀνάρχως ὢν Κύριος, ὅτε οἱ μαθηταί, ὡς γέγραπται, δοῦλοι αὐτοῦ γεγόνασιν· ὅτε ὁ Ἀπόστολος ἐπέστελλεν· «Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ»[10]· ὅτε καὶ πάντες, τὴν κυριότητα αὐτοῦ καὶ χριστότητα ἐπιγνόντες, Χριστιανοὶ ἐπεκλήθημεν, ὡς δοῦλοι τοῦ δεσποτικοῦ ὀνόματος μετασχόντες· καθὰ λέγει ἐν Ἡσαΐᾳ· «Τοῖς δὲ δουλεύουσί μοι κληθήσεται ὄνομα καινόν, ὃ εὐλογηθήσεται ἐπὶ τῆς γῆς»[11]. Κατ᾽ ἐμὲ δὲ ἰδικώτερον τὸ τῶν ὀρθοδόξων ἡμῶν γένος προφητεύει, περὶ οὗ ὁ

---

1. Ἐξ. 15,18. 2. Ψαλ. 144,13. 3. Ψαλ. 9,21. 4. Πρβλ. Μιχ. 4,7. 5. Πρβλ. Ἑβρ. 3,1-2. 6. Πρβλ. Ἰω. 17,25. 7. Α΄ Κορ. 1,30-31. 8. Ἡσ. 49,6. Πράξ. 13,47. 9. Ἰω. 1,9. 10. Ρωμ. 1,1. 11. Ἡσ. 65,15-16.

α. Σοφοκλέους, Αἴας, στ. 758-759.

αὐτὸς εἶπεν· «Οὗτοί εἰσι σπέρμα εὐλογημένον ὑπὸ Θεοῦ»[1]· καί· «Εὐφροσύνη αἰώνιος ὑπὲρ κεφαλῆς αὐτῶν»[2]. Τοιοῦτόν ἐστι καὶ τὸ ἐν τοῖς Ἄσμασι κείμενον· «Ἐκλελοχισμένος ἀπὸ μυριάδων»[3]· τοῦτ' ἔστιν, ἐκλελεγμένος, οὐχ ὡς ἐκ πολλῶν υἱῶν μόνος, ἀλλ' ἐπειδὴ Δαυΐδ, ἤτοι ἡ Θεοτόκος, ἐξ ἧς τὸ κατὰ σάρκα Χριστὸς ἐκ πάντων εἰς τὴν οἰκονομίαν ἐπελέγη· καὶ εἰκότως καὶ ἐν αὐτῷ εὐδόκησε, καὶ λέγει· «Τίς ὁμοιωθήσεται τῷ Κυρίῳ ἐν υἱοῖς Θεοῦ;»[4] ἢ καὶ ἐπίλεκτος, ὡς Μονογενής, ἐκ πάντων, ἐν τῇ ἐνανθρωπήσει ἀναμάρτητος.

ΚΕΦΑΛΑΙΟΝ Ζ'

«Χριστὸν Θεοῦ δύναμιν καὶ Θεοῦ σοφίαν».

[849] Ἐκ βλασφημίας εἰς βλασφημίαν ἰόντες προΐσχονται εὐθὺς μετὰ τὰ προκείμενα τὸ παρὰ Παύλου θεολογικῶς εἰρημένον· «Χριστὸν Θεοῦ δύναμιν καὶ Θεοῦ σοφίαν»[5]· κατὰ τὸ σφίσι δοκοῦν ἑρμηνεύοντες συλλογιστικῶς· ὅτι ἡ τοιάδε θέσις δηλοῖ δυνάμει καὶ σοφίᾳ τοῦ Θεοῦ ἐκτίσθαι αὐτόν. Καὶ ἡ φράσις δὲ καὶ ἡ διάνοια τὴν ἐνανθρώπησιν αὐτοῦ ὑποδείκνυσιν. Ἐν αὐτῇ γάρ, φησί, Χριστὸς ὠνομάσθη, καθ' ὁμοιότητα τῶν πρὸ αὐτοῦ κληθέντων χριστῶν. Εἰ δὲ καὶ εἰς τὴν θεότητα αὐτοῦ δεκτέον τὸ ῥητόν, αὐτόθεν τὸ ἀκραιφνὲς τῆς πρὸς τὸν Πατέρα αὐτοῦ ὁμοουσιότητος κατασημαίνεται καὶ δηλοῖ πᾶσαν τὴν πατρικὴν δύναμίν τε καὶ σοφίαν ἐναποκεῖσθαι αὐτῷ, ὡς Λόγῳ δημιουργικῷ καὶ Υἱῷ αὐτοῦ ἀληθινῷ.

ΚΕΦΑΛΑΙΟΝ Η'

Πρὸς τὸ γεγράφθαι ἄμπελον τὸν Χριστόν, κλήματα ἀνθρώπους, γεωργὸν τὸν Θεὸν Πατέρα.

Ἔν τι καὶ τοῦτο πάθημα αἱρετικὸν καθέστηκε, τὸ λέγειν· Εἰ ἀμπέλῳ ἡ Γραφὴ παρείκασε τὸν Χριστόν, κλήμασι δ' ἀνθρώπους, γεωργῷ δὲ τὸν Πατέρα[6], ἔστι δὲ ἡ ἄμπελος ὁμοφυὴς τοῖς κλήμασι, καὶ οὐ τῷ γεωργῷ· ἀναφαίνεται, φησίν, ὁ Υἱὸς ὁμοφυὴς ἡμῖν, οὐ τῷ Θεῷ καὶ Πατρί. Ἡμεῖς δὲ ἀπαντῶντες τῷ λόγῳ αὐτῶν, φαμέν, ὅτι κατὰ μὲν τὴν θεότητα, αὐτὸς τῆς γεωργοῦ ὑποστάσεως καρπὸς ὑπάρχει· κατὰ δὲ τὴν σάρκα, ἡμεῖς αὐτοῦ κλήματα τυγχάνομεν· προσέχοντες οὐχ ἥκιστα καὶ Παύλῳ δογματικῶς διατεινομένῳ· «Ἡμεῖς

---

1. Ἡσ. 61,9. 2. Ἡσ. 35,10. 61,7. 3. Ἄσμ. 5,10. 4. Ψαλ. 88,7. 5. Α' Κορ. 1,24. 6. Πρβλ. Ἰω. 15,5.

γάρ ἐσμεν σῶμα Χριστοῦ, καὶ μέλη ἐκ μέρους»[1]· αὖθίς τε αὖ· «Οὐκ οἴδατε, ὅτι τὰ σώματα ὑμῶν μέλη Χριστοῦ ἐστιν»[2]; Ἐκ γὰρ δὴ τῆς τοιᾶσδε ἀποστολικῆς φράσεως ἐκβάλλονται καὶ οἵδε οἱ αἱρετικοὶ, καὶ οἱ κρίνοντες τὴν σάρκα τοῦ Δεσπότου ἐξ οὐρανοῦ, ἀλλ' οὐκ ἀνθρωπείαν τυγχάνειν.

ΚΕΦΑΛΑΙΟΝ Θ'

«Μέγα σοί ἐστιν κληθῆναί σε παῖδά μου»· καί· Ὁ ὁρισθεὶς Υἱὸς Θεοῦ «ἐν δυνάμει κατὰ Πνεῦμα ἁγιωσύνης» καί· «Ὁ Θεὸς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ Πατὴρ τῆς δόξης»· καί· «Ἀναβαίνω πρὸς τὸν Πατέρα μου καὶ Θεόν μου».

[852] Καὶ εἰς ἕτερα δὲ θεῖα ῥητὰ διηνέχθησαν πρὸς τὴν ἀλήθειαν καὶ ἔτι διαφέρονται· οἷον εἰς τὸ τῆς προφητείας Ἡσαΐου, ἔνθα ὁ Πατὴρ ἔφη· «Μέγα σοί ἐστι κληθῆναί σε παῖδά μου»[3]· καὶ εἰς τὸ Παύλῳ γεγραμμένον· «Ὁ ὁρισθεὶς Υἱὸς Θεοῦ ἐν δυνάμει κατὰ Πνεῦμα ἁγιωσύνης»[4]. Καὶ ταῦτα γὰρ τῇ θεότητι αὐτοῦ ἐπιρριπτοῦσι, λεχθέντα περὶ τῆς ἐκ Μαρίας δουλικῆς μορφῆς, περὶ ἧς ὁ ἄγγελος εἶπεν αὐτῇ· «Πνεῦμα Ἅγιον ἐπελεύσεται ἐπὶ σὲ καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον ἅγιον κληθήσεται Υἱὸς Θεοῦ»[5]. Ἔτι μὴν διαφέρονται καὶ εἰς τό· «Ὁ Θεὸς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ Πατὴρ τῆς δόξης»[6]· τὸ πᾶν τῇ θεότητι αὐτοῦ ἀπονέμοντες. Λέγει δὲ ἐνταῦθα Πατέρα μέν, τοῦ μὴ ὁρωμένου· Θεὸν δέ, τοῦ ὁρωμένου. Περὶ οὗ ὁ αὐτὸς ἄγγελος καὶ μικρῷ πρόσθεν φαίνεται ἐπὶ προσήκοντι καιρῷ, καὶ νεαροῖς τοῖς μνημονευθεῖσιν ὀνόμασιν εὐαγγελισάμενος οὑτωσί· «Τέξῃ υἱὸν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. Οὗτος ἔσται μέγας καὶ Υἱὸς Ὑψίστου κληθήσεται»[7]. Προσέτι διαφέρονται (λώβη γάρ ἐστι τὰ νοήματα καὶ ῥήματα αὐτῶν) καὶ εἰς τήνδε τὴν λέγουσαν δεσποτικὴν ῥῆσιν· «Πορεύου πρὸς τοὺς ἀδελφούς μου καὶ εἰπὲ αὐτοῖς· Ἀναβαίνω πρὸς τὸν Πατέρα μου καὶ Πατέρα ὑμῶν, Θεόν μου καὶ Θεὸν ὑμῶν»[8]. Κἀνταῦθα γὰρ Πατέρα καλεῖ, ἑαυτοῦ μὲν κατὰ φύσιν, ἡμῶν δὲ κατὰ χάριν· Θεὸν δέ, ἑαυτοῦ μὲν διὰ τὴν πρόσφατον αὐτοῦ μορφήν, ἡμῶν δὲ κατὰ ἀλήθειαν· ἵνα καὶ τὸ ἀρχαῖον καὶ τὸ πρόσφατον σημαίνηται. Συγκαταβὰς γὰρ εἰς ὅλα τοῖς δούλοις ὁ Δεσπότης, τὸν ἑαυτοῦ Πατέρα, ἡμῶν δὲ Θεόν, Πατέρα μὲν καὶ ἡμῶν δι' ἀγαθότητα ἐποίησεν, οὐκ ὄντων φύσει υἱῶν, Θεὸν δὲ καὶ ἑαυτοῦ ἐκάλεσε διὰ τὴν ἐνανθρώπησιν αὐτοῦ, ἣν σαφέστερον

---

1. Α' Κορ. 12,27. 2. Α' Κορ. 6,15. 3. Ἡσ. 49,6. 4. Πρβλ. Ρωμ. 1,4. 5. Λουκ. 1,35. 6. Ἐφ. 1,17. 7. Λουκ. 1,31-32. 8. Ἰω. 20,17.

προανεφώνησεν, εἰπών· «Ἐκ κοιλίας μητρός μου Θεός μου εἶ σύ»[1]. Πῶς γὰρ ἂν καὶ ἐγχωρεῖ τοῦ μονογενοῦς αὐτοῦ Υἱοῦ, τοῦ ἀληθινοῦ καὶ μεγάλου Θεοῦ, εἶναι Θεός; Ὥσπερ οὖν ἡμῶν ἐστι Θεὸς τῇ ἀληθείᾳ, καὶ οὐ Πατὴρ κατὰ φύσιν· οὕτως αὐτοῦ μόνου ἀληθῶς κατ' οὐσίαν ἐστὶ Πατὴρ καὶ οὐ Θεὸς κατὰ τὴν ἄνω γέννησιν· καὶ ἡμεῖς μέτοχοι τοῦ Χριστοῦ γεγονότες, καταξιούμεθα τὸν ἐπουράνιον Θεὸν ἐπικαλεῖσθε· «Πάτερ **[853]** ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς»[2]· οὕτω καὶ ὁ ἀγαπητὸς Υἱός, μετασχών, κατὰ Παῦλον Ἑβραίοις ἐπιστέλλοντα, παραπλησίως τοῖς παιδίοις αἵματος καὶ σαρκός, καλεῖ τὸν Πατέρα Θεόν. Πρὸς οἷς καὶ τὸ μὴ μείξαντα εἰπεῖν, Πατέρα ἡμῶν καὶ Θεὸν ἡμῶν, ἀλλὰ κεχωρισμένως. «Πατέρα μου καὶ Πατέρα ὑμῶν, Θεόν μου καὶ Θεὸν ὑμῶν»[3], ἔδειξε τὴν προλεχθεῖσαν διαφορὰν αὐτοῦ τε καὶ ἡμῶν. Οὐχ εὑρίσκεται γὰρ ἑαυτοῦ καὶ ἀνθρώπων ἐπ.κοίνως εἰρηκώς· Πατέρα ἡμῶν. Ἀλλὰ καὶ ἐν τῷ κατὰ Ἰωάννην Εὐαγγελίῳ, περὶ τῶν μετὰ παρρησίας καὶ ἐλευθεροστομίας ὁμολογούντων αὐτὸν ἔμπροσθεν τῶν ἀνθρώπων Θεὸν καὶ Υἱὸν τοῦ Θεοῦ μονογενῆ, ὅ ἐστιν ὁμοούσιον, ὑπ.σχνεῖται· «Κἀγώ, φησίν, ὁμολογήσω αὐτὸν ἔμπροσθεν τοῦ Πατρός μου»[4], οὐ, τοῦ Πατρὸς ἡμῶν. Οὗ τί ἂν εἴη μεῖζον, ἐν μὲν ἀγαθοῖς, τοῦ ὁμολογηθῆναι ἡμᾶς ὑπ' αὐτοῦ· ἐν δὲ αἰσχίοις, τοῦ ἀρνηθῆναι ἐκείνοις τὴν ἀπὸ τοῦ Θεοῦ γνῶσιν, ὡς ἀντὶ τῆς ἀληθείας ἀνθηρημένοις ψεῦδος; Καὶ τό, «Ἀναβαίνω» δὲ «πρὸς τὸν Πατέρα»[5], δι' ἃ τὴν οἰκονομίαν εἶπεν, εὐαγγελιζόμενος τοὺς μαθητάς, οὓς φίλων ἀδελφοὺς ἐκάλει, ὅταν ἀναβιβάζηται ἡ ἐξ ἡμῶν ἀπαρχή, ἀναβαίνοντος τοῦ ἀεὶ ὄντος πρὸς τὸν ὄντως ὄντα αὐτοῦ Πατέρα. Ἐπειτοιγε λέγει· «Οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανόν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ὁ ὢν ἐν τῷ οὐρανῷ»[6]· διὰ τῶν τοιούτων λέξεων τῇ θεότητι μυστικῶς ἅμα καὶ λευκῶς σημαίνων εἶναι αὐτόν.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

«Διὸ καὶ ὁ Θεὸς αὐτὸν ὕψωσε καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα»· καί· «Ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος».

Καὶ Παύλου δὲ Φιλιππησίοις γράψαντος περὶ τῆς ἀσυγκρίτου καὶ οἰκονομικῆς τοῦ Θεοῦ Λόγου δι' ἡμᾶς κενώσεως· «Τοῦτο δὴ λογίζέσθω ἐν ὑμῖν, ὅπερ καὶ **[856]** ἐν Χριστῷ Ἰησοῦ· ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο εἶναι ἴσα Θεῷ· ἀλλ' ἑαυτὸν ἐκένωσεν, μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος·

---

1. Ψαλ. 21,11. 2. Ματθ. 6,9. 3. Ἰω. 20,17. 4. Ματθ. 10,32. 5. Ἰω. 20,17. 6. Ἰω. 3,13.

καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτόν, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. Διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα· ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων· καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται, ὅτι Κύριος Ἰησοῦς εἰς δόξαν Θεοῦ Πατρός»[1], οὗτοι τῷ μέν, ὅτι ἐν μορφῇ Θεοῦ, καὶ ἴσα τῷ Θεῷ ὑπάρχων, ἑαυτὸν ἐκένωσεν, ἐν τῷ λαβεῖν μὲν δούλου μορφήν, καὶ ἐν ταπεινώσει ἀνθρώπων γενέσθαι, ἀπεκδύσασθαι δὲ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, οὐχ ἑτέρου ἀνάγκῃ, ἀλλ' ἑκουσίως ἔχουσιν· τῷ δὲ «Διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα»[2] ἀτρέπτως ἐπιβάλλουσι, καίτοι τῆς «διὸ» λέξεως σημαινούσης, ὡς διὰ τὸ παραπλησίως τῶν παιδίων κεκοινωνηκέναι σαρκὸς καὶ αἵματος, τότε, καὶ οὐκ ἄλλοτε, ὑπερυψώθη τὸ δουλοπρεπὲς μέτρον, καὶ ἐχαρίσθη αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, τὸ πάντων προφερέστατον· οὐ μὴν ὅτι ὁ Μονογενὴς (περὶ οὗ λέγουσι τῆς τε βροντῆς ὁ υἱός, ὡς ἀληθινὸς Θεὸς καὶ ἀληθινὸς Υἱὸς Θεοῦ· καὶ Παῦλος, ὡς πρὸ τῆς κενώσεως ἐν μορφῇ καὶ ἰσότητι τοῦ Θεοῦ καὶ Πατρὸς ἦν) δοτὰ ἐκτήσατο ταῦτα. Ἐπεί τοι καὶ ἄτοπα λίαν ἐκ τούτου εἰσφέρεται· ἓν μέν, ὅτιπερ, εἰ ἐν ψιλῷ καὶ μόνῳ τῷ ὀνόματι διακέκριται Θεὸς ὁ Υἱός, πλεονεκτήσει τὴν κτίσιν ἢ μικρόν; ἢ τὸ σύμπαν οὐδέν· δεύτερον δέ, ὅτι ἐξολισθήσειεν αὐτοῦ κατά γε τὸ ἐγχωροῦν, καὶ ὅσον ἦκεν εἰς λογισμὸν τὸ χάρισμα· ἐπείπερ τὸ δοτὸν οὐκ εἰς πᾶν ἐρειρισμένον καὶ διαμένον, ἀλλ' εὐαπόβλητόν πως· τρίτον, ὅτιπερ, εἰ κατὰ τὴν θεότητα νοηθείη εἰληφέναι τὸ θεῖον ὄνομα τὸ τηνικαῦτα, ὅτε ἐν κόσμῳ ἐφάνη, εὑρεθήσεται μὴ ἐσχηκὼς πρὸ τούτου, ὃ ὕστερον ἔλαβεν, ἀλλ' ὥσπερ τι χάρισμα ἢ μισθὸν κομισάμενος ὑπὲρ τῆς πρὸς ἡμᾶς ἀφίξεως. Αὐτὸς δὲ καὶ ἐξ ἀπείρου ὑψώματος δι' ἡμᾶς ἐν τοῖς καθ' ἡμᾶς ἑαυτὸν ἐκένωσε· καὶ διὰ τὸ εἶναι φυσικῶς Υἱὸς Λόγος, καὶ ἐν μορφῇ Θεοῦ, καὶ ἴσα Θεῷ, καὶ Θεὸς ἐν ἀρχῇ ὢν πρὸς τὸν Θεόν, οὔτ' ἔξωθεν εἰσκεκριμένον καὶ νόθον οἷον ἔχων τὸ ἀπαράβλητον ὄνομα, οὔθ' ὕστερον τούτῳ ἐκτετιμημένος, ἐπανῆλθε πάλιν εἰς ὅπερ ἦν ἀεὶ καὶ ἐν ἀρχαῖς ὑπερανέχον ὕψος, καὶ εἰς ἔμφυτον τιμὴν καὶ δόξαν, καὶ εἰς ἰδίαν τὴν ἐκ δεξιῶν τοῦ ἑαυτοῦ Πατρὸς συνεδρίαν.

[857] Πῶς δὲ καὶ «ὑπερύψωσε καὶ ἐχαρίσατο ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα»; Ἐρῶ, ὅτι καὶ δουλικὴν περιφέροντι αὐτῷ εἰκόνα ἔλεγέ τε, «Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός»[3], καὶ ἤθελε Θεὸν καὶ τότε καλεῖσθαι αὐτόν, «ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ»[4], ὡς προείρηται. Πρὸ τῆς ἐν κόσμῳ γὰρ ἐπιφανείας τοῦ Υἱοῦ, τὰ ἐπουράνια μόνον γόνυ ἔκλινεν αὐτῷ καὶ ἐδόξαζεν αὐτόν, εἰδότα τῆς ἁγίας Τριάδος τὴν ἰσόθεον δόξαν· ὡς τὰ σεραφὶμ τρίτον βοᾶν, «Ἅγιος»[5], καὶ ἅπαξ «Κύριος»[6]· ἵνα καὶ ἑκάστῃ ὑποστάσει τὸν ὕμνον ὁμοίως ἀνα-

1. Φιλιπ. 2,5-11. 2. Φιλιπ. 2,9. 3. Ματθ. 3,17. 4. Φιλιπ. 2,10. 5. Ἡσ. 6,3. 6. Ἔνθ' ἀν.

πέμψῃ καὶ μίαν αὐταῖς εἶναι κυριότητα καταγγείλῃ· τὰ δὲ ἐπίγεια καὶ τὰ καταχθόνια οὐκ ἤδει αὐτὸν οὕτως, ὡς ἐν τῇ οἰκονομίᾳ ἔγνω. Ἐξ ἐκείνου οὖν ἤρξατο καὶ αὐτὰ γόνυ κλίνειν αὐτῷ καὶ δοξάζειν καὶ Θεὸν καλεῖν· καὶ ἐν ἀθρόαις περιστάσεσι, τῇ ὀξύτητι τῶν συμβαι-
5 νόντων φθανόμενα οὐ πολλῇ κεχρῆσθαι προσευχῇ, οὐδὲ κατὰ τὸ σύνηθες βαττολογεῖν, ἀλλ' ἐπικαλεῖσθαι· «Χριστέ, βοήθει»[1]· ὡς τοῦ ὀνόματος τούτου ὄντος πᾶσιν εἰς σωτηρίαν. Τῷ δὲ εἰρῆσθαι «Ἐν ὁμοιώματι ἀνθρώπων καὶ σχήματι εὑρεθείς»[2], οὐ φάντασμα ὑποδηλοῖ τὴν ἐνανθρώπησιν αὐτοῦ, ὡς ὑπετόπασάν τινες· τὸ ἐναντίον
10 μὲν οὖν, ὅτι Θεὸς Λόγος ὁμοιότητα καὶ σχῆμα ἀνθρώπων ὄντως ἔφερεν. Νοητέον δὲ καὶ ἄλλως. Ἀπὸ τῆς ὄψεως καὶ φορέσεως καὶ ἀναστροφῆς δείκνυται ἕκαστος, ὅπερ ἐστί, καὶ ὃ βούλεται πράττειν. Κἂν γὰρ μὴ βοῶν περιέρχοιτο τοῦτο, ἀλλ' ὅμως κατήγορον τὴν φύσιν ἔχει τοῦ πράγματος, κἂν μὴ λέγῃ. Καὶ ὁ Σωτὴρ οὖν βουληθεὶς διὰ
15 τῆς ἀτρέπτου ἐνανθρωπήσεως σῶσαι ἡμᾶς καὶ πάντα ἐσχηκὼς τὰ ἡμέτερα δίχα ἁμαρτίας, ἀνάγκῃ τὴν ἀπὸ γνώμης καὶ ἔργων τοῖς ἀνθρώποις προσοῦσαν ἁμαρτίαν ποιεῖν ὑπελαμβάνετο. Ὁ γὰρ τλημαθέστατος Ἰὼβ ἀπὸ πάντων ἡμῶν κέκραγεν· «Οὐδεὶς ἀναμάρτητος, οὐδ' ἂν μιᾶς ὥρας ὁ βίος αὐτοῦ. Τί γάρ ἐστιν ἄνθρωπος, ὅτι ἐμεγά-
20 λυνας αὐτὸν ἢ ὅτι προσέχεις τὸν νοῦν εἰς αὐτὸν ἢ ἐπισκοπὴν αὐτοῦ ποιεῖς ἕως πρωΐ καὶ εἰς ἀνάπαυσιν αὐτὸν κρίνεις»[3]; Αὐτὸς δέ, τοῦτ' ἔστιν ὁ Δεσπότης, «ἁμαρτίαν», ὡς προείρηται, «οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ»[4]. Τὸ δὲ **[860]** ἀναμάρτητον, ὑπεράνθρωπόν ἐστι. Διὰ τοῦτο κεχρησμῴδηται τό· «Ἐν ὁμοιώματι
25 καὶ σχήματι ἀνθρώπων»[5].

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'

«Ἐγὼ ζῶ διά τὸν Πατέρα».

Καὶ τὸ παρὰ Ἰωάννῃ· «Ἐγὼ ζῶ διὰ τὸν Πατέρα»[6], οὐδαμόθεν ἔχει λῆμμα. Ἢ γὰρ ἕνεκα τοῦ προλεχθέντος τῆς οἰκονομίας εἴρηται
30 τρόπου ἢ διὰ τὸ πεφηνέναι αὐτὸν ζωὴν ἐκ ζωῆς πατρικῆς, ὡς καὶ φῶς ἐκ φωτὸς καὶ Θεὸν ἐκ Θεοῦ. Τοιγαροῦν καὶ τοῦτο ἠκούσαμεν αὐτοῦ παρ' αὐτῷ Ἰωάννῃ· «Ἐγώ εἰμι ἡ ζωὴ καὶ τὸ φῶς»[7]· καὶ πάλιν· «Ὁ Υἱὸς οὓς θέλει ζωοποιεῖ»[8]. Εἰ οὖν καὶ ὁ Πατὴρ ζωή ἐστι καὶ φῶς ἀληθινόν, ζωὴ ζωῆς καὶ φῶς φωτὸς οὐδὲν διαφέρει. Ζωὴ γὰρ καὶ
35 φῶς ἅπαξ ἐστί· καὶ οὐδὲ π θανότητος ἐγγὺς τό· Ἦν, ὅτε οὐκ ἦν, ἐπὶ αὐτῆς τῆς δημιουργοῦ ζωῆς καὶ τοῦ ἀνεκλείπτου φωτός. Καὶ

---

1. Παλλαδίου, Λαυσαϊκὴ Ἱστορ. κεφ. 150. Migne P.G. 34, στ. 1258.
2. Φιλιπ. 2,7. 3. Πρβλ. Ἰὼβ 14,4-5. 4. Ἡσ. 53,9. Α' Πέτρ. 2,22.
5. Πρβλ. Φιλιπ. 2,7. 6. Ἰω. 6,57. 7. Πρβλ. Ἰω. 12,46. 14,6.
8. Ἰω. 5,21.

ἄλλως· Ὁ δι' ἕτερον ζῶν, αὐτὸς οὐκ ἂν εἴη ποτὲ ζωὴ αἰώνιος· ὡς οὐδὲ ὁ μεταδόσει Θεοῦ ἅγιος, αὐτοάγιος· αὐτὸς δὲ κατ' ἐξουσίαν καὶ ἄλλους ἁγιάζων δι' ἑαυτοῦ τε καὶ δι' ἑτέρων.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'

«Κατα βέβηκα ἐκ τοῦ οὐρανοῦ οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τοῦ πέμψαντός με Πατρός».

Καὶ τὸ «Ἐγὼ καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τοῦ πέμψαντός με Πατρός»[1] τοῦτο δηλοῖ· Οὐχ ἵνα τὸ τῆς ἀνθρωπότητος, φησί, θέλημα πράττω ἐν τῇ ἐνανθρωπήσει ἀλλὰ τὸ τῆς θεότητος. Οὐ γάρ ἐστι θέλημα τοῦ ἀγαπητοῦ Υἱοῦ, θελήματος τοῦ Θεοῦ καὶ Πατρὸς κεχωρισμένον. Ἓν γὰρ καὶ τὸ αὐτὸ θέλημά ἐστι τῇ Τριάδι. Ταύτῃ γοῦν τῇ παραδόξῳ αὐτοῦ ὑπακοῇ τῇ ἀνθ' ἡμῶν ἔλυσε τὴν ἡμῶν ἀρχαίαν παρακοήν· καὶ ὃν τρόπον εἰς ὁμοίωσιν ἡμῶν, ὡς οἶδε καὶ ἠβουλήθη, καταβὰς ἔπαθεν· οὕτω καὶ ἡμᾶς συμμόρφους ποιήσας ἑαυτοῦ εἰς ἀπάθειαν μετέστησεν. Ὅθεν, «Καταβέβηκα», ἔφη· αὐθαιρετικῶς, φησίν, οὐχ ὑπουργικῶς. Καθὰ καὶ ἐν ἑτέρῳ μέρει ὁμοίως φάσκει· «Ἐγώ εἰμι ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς»[2], ὅ ἐστιν, οὐ πεμφθείς.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'

«Διὰ τοῦτο ἔχρισέ σε, θεέ, ὁ Θεός σου»· καί· «Ὃν ὁ Πατὴρ ἡγίασε καὶ ἀπέστειλεν εἰς τὸν κόσμον».

Καὶ τὸ τοῦ Ψαλμῳδοῦ· «Διὰ τοῦτο ἔχρισέ σε Θεὸς ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου»[3]· καὶ τὸ παρ' Ἰωάννῃ ἐν Εὐαγγελίῳ κείμενον, «Ὃν ὁ Πατὴρ ἡγίασε, καὶ ἀπέστειλεν εἰς **[861]** τὸν κόσμον»[4], παραπλησίως εἴρηται. Οὐκ ἄλλοτε γὰρ ἐχρίσθη καὶ ἡγιάσθη ὁ ἅγιος καὶ ἁγίοις ἀναπαυόμενος, «ὁ εἷς ἅγιος, εἷς Κύριος Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν»[5]· εἰ μὴ ὅτε οὐκ ἀποθέμενος ὃ ἦν, ἐγένετο ἀσυγχύτως καὶ ὃ οὐκ ἦν· ἵν' ἡμᾶς μετόχους ἑαυτοῦ ποιήσῃ καὶ ἁγιάσῃ, καθὰ εἶπεν· «Ὑπὲρ αὐτῶν ἁγιάζω ἐμαυτόν, ἵνα ὦσιν αὐτοὶ ἡγιασμένοι ἐν ἀληθείᾳ»[6].

---

1. Πρβλ. Ἰω. 6,38-39. 2. Ἰω. 6,51. 3. Ψαλ. 44,8. 4. Ἰω. 10,36. 5. Ἀποστολικαὶ Διαταγαὶ Η', XIII. Β.Ε.Π. 2. σ. 158. 6. Ἰω. 17,19.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'

«Οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδου»· καὶ περὶ τοῦ· «Τὸν Χριστὸν Ἰησοῦν ὁ Θεὸς ἤγειρεν ἐκ νεκρῶν».

Ἀκολούθως τούτῳ θεωρεῖται καὶ τὸ ἐν ψαλμῷ εἰρημένον· «Οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδου, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν»[1]· καὶ τὸ πολλαχοῦ γεγραμμένον, ὅτι τὸν Χριστὸν Ἰησοῦν ὁ Θεὸς ἤγειρεν ἐκ νεκρῶν[2]. Οὐ γὰρ χάριν ἔλαβεν αὐτὸς τὴν ἀνάστασιν, ἀλλὰ χάριν αὐτὸς δέδωκεν ἡμῖν τὸ καθ' ὁμοιότητα τῆς ἀναστάσεως αὐτοῦ ταύτης πάλιν ἀνίστασθαι. Ἐπείτοιγε τὸ πρὸς τὸν Πατέρα ἰσότιμον καὶ ἰσοδύναμον καὶ ἐν τούτῳ διδάσκων τῷ κεφαλαίῳ, παρὰ Ματθαίῳ καὶ Λουκᾷ εἶπε· «Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐγὼ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν»[3]· καί· «Ἐξουσίαν ἔχω τὴν ψυχήν μου θεῖναι καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν»[4].

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'

«Οὐδεὶς ἀγαθός, εἰ μὴ εἷς ὁ Θεός».

[864]Καὶ ἡ πρὸς τὸν νομικὸν ἀπόκρισις, τὸν πειραστικῶς εἰπόντα ὡς ἀνθρώπῳ τῷ Κυρίῳ, «Διδάσκαλε ἀγαθέ»[5], καὶ ἀκούσαντα. «Τί με λέγεις ἀγαθόν; Οὐδεὶς ἀγαθός, εἰ μὴ εἷς ὁ Θεός»[6], τοιαύτη τίς ἐστιν. Τὸ «Οὐδεὶς ἀγαθὸς» εἰς τὸ γένος τῶν ἀνθρώπων· τὸ «Εἰ μὴ εἷς ὁ Θεὸς» εἰς τὸ ὁμοούσιον τῶν θείων ὑποστάσεων φέρει. Εἰ γὰρ οἶδάς με, φησίν, ἀγαθόν, ὁμολόγησόν με Θεὸν ἴσον καὶ ὅμοιον, ὡς κατὰ τὴν ἀγαθότητα οὕτως καὶ κατὰ τὴν οὐσίαν ὑπάρχοντα τοῦ Πατρός. Ἡ γὰρ ἀνθρωπότης μεταλήψει τὴν ἀγαθότητα κέκτηται· ἡ δὲ θεότης ἄκρα ἀγαθότητος καὶ ζωὴ καὶ φῶς καὶ ἀλήθεια καὶ εἰρήνη καὶ ἀγάπη ἐστίν. Καὶ ἐπάγει· «Ἐγὼ φῶς εἰς τὸν κόσμον ἐλήλυθα, ἵνα πᾶς ὁ ἀκολουθῶν μοι ἐν τῇ σκοτίᾳ μὴ μείνῃ»[7]. Πείθων τε τὸν νομικὸν ταῦθ' οὕτως ἔχειν, εἶπε· «Πώλησον πάντα, ὅσα ἔχεις καὶ δεῦρο, ἀκολούθει μοι»[8]. Ὅπερ οὐκ ἐποίησεν ἡττώμενος τῆς γνώμης οὐκ ἐχούσης ἔμφυτον τὸ ἀγαθόν. Ἐμαρτυρήθη μὲν οὖν ἡ ἀγαθότης αὐτοῦ ἐν τῷ α' λόγῳ. Τί δ' ἂν εἴη εἰς ἀπόδειξιν μεῖζον τοῦ ἔργοις μᾶλλον ἢ λόγοις δεικνύντος τὸ ἑαυτοῦ φύσει ἀγαθόν, κατὰ τὸν λέγοντα· «Ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν»[9], — «ποιεῖν» μέν, ἐν τῷ κενῶσαι ἑαυτὸν καὶ μορφὴν δούλου ὑπὲρ τῶν δούλων λαβεῖν, θεραπεῦσαί τε πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν καὶ δαίμονας

---

1. Ψαλ. 15,10. 2. Πρβλ. Πράξ. 2,24. Ρωμ. 14,24. 3. Πρβλ. Ἰω. 2,19. 4. Ἰω. 10,18. 5. Ματθ. 19,16-17. Μάρκ. 10,17. Λουκ. 18,18-19. 6. Μάρκ. 10,18. 7. Πρβλ. Ἰω. 12,46. 8. Πρβλ. Λουκ. 18,22. Ματθ. 19,21. Μάρκ. 10,21. 9. Πράξ. 1,1.

ἀπελάσαι καὶ θάλασσαν ἀνθρώποις ποιῆσαι βατὴν καὶ πεινῶντας ὄχλους ἐπ' ἐρημίας ἐμπλῆσαι καὶ δούλων νίψαι τοὺς πόδας καὶ διὰ τὸ πλᾶσμα τῶν ἰδίων χειρῶν, ὑπὸ τῶν χειρῶν τοῦ πλάσματος παθεῖν, καί ἑκατονταπλασίονα τοῖς εὖ ποιοῦσι χορηγεῖν ἀγαθὰ καὶ προστιθέναι ζωὴν αἰώνιον· διδάσκειν δέ, «Πώλησον ὅσα ἔχεις καὶ δὸς πτωχοῖς καὶ δεῦρο, ἀκολούθει μοι»[1]· καί· «Ὃ σὺ μισεῖς, ἄλλῳ μὴ ποιήσῃς»[2]· καί, «Μὴ ἀποδῶτε κακὸν ἀντὶ κακοῦ»[3]· καί, «Ὃς ἐὰν ποιήσῃ ἑνὶ τούτων τῶν ἐλαχίστων ἐμοὶ ἐποίησεν»[4]· καί· «Παντὶ τῷ αἰτοῦντί σε δίδου»[5] καί· «Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς **[865]** ψυχῆς σου καὶ ἐξ ὅλης τῆς ἰσχύος σου καὶ ἐξ ὅλης τῆς διανοίας σου· καὶ τὸν πλησίον σου ὡς σεαυτόν»[6]· καί· «Ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους»[7]. Καὶ πῶς δὲ οὐκ ἔστιν, ὦ αἱρετικέ, ἀγαθὸς ἴσα τῷ ἑαυτοῦ Πατρί, ὅς γε ταῦτά σοι λέγοντι συγγνώμην ἔχει;

ΚΕΦΑΛΑΙΟΝ ΙϚ'

«Τῷ δὲ βασιλεῖ τῶν αἰώνων, ἀφθάρτῳ, ἀοράτῳ, τῷ μόνῳ σοφῷ Θεῷ τιμὴ καὶ δόξα» καὶ «Μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον» καὶ περὶ τῶν λεγόντων· Οὐκ εἰσὶν οὖν αἱ ψυχαὶ καὶ οἱ ἄγγελοι ἀθάνατοι καὶ ἀόρατοι;

Α'. Διὰ πάντων αἱρεσιομαχεῖν ἐγνωκότες καὶ τὴν πρὸς Τιμόθεον τοῦ Παύλου φωνήν, τὴν λέγουσαν· «Τῷ δὲ βασιλεῖ τῶν αἰώνων, ἀφθάρτῳ, ἀοράτῳ, μόνῳ σοφῷ Θεῷ τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν»[8]· καὶ τήν· «Μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον»[9]· καὶ τὴν ἐν Εὐαγγελίῳ κειμένην· «Ἵνα γινώσκωσί σε, τὸν μόνον ἀληθινὸν Θεόν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν»[10]· καὶ τὴν διαγορεύουσαν προφητείαν· «Ἐγὼ ἐξέτεινα τὸν οὐρανὸν μόνος»[11]· οὐκ εἰς δέον ἐκδέχονται· φάσκοντες τὴν «μόνος» καὶ τὴν «ἀληθινὸς Θεός»[12] λέξιν μὴ ἐπιδέχεσθαι δευτέραν ἢ τρίτην ὑπόστασιν, ἔχεις δὲ τὴν ἀναφορὰν εἰς μόνον τὸν Πατέρα. Ἡ δὲ «μόνος» καὶ ἑνός ἐστι λέξις, ὁσάκις ἂν εἴρηται ἐπὶ τῆς Τριάδος τῇ Γραφῇ, διὰ τὸ ἐν μονάδι θεότητος ὑπάρχειν αὐτήν, καὶ «μοναρχίαν» ἔχειν εἴρηται. Διὸ ἡ ταυτότης «μόνος» ἢ ἐκείνης ἢ ἅμα τῶν δύο ἢ τῶν τριῶν ἀχράντων ὑποστάσεων μνημονεύει ἢ χωρίς. Ἔτι δὲ οὕτως ἐρρήθη πρὸς ἀντεξέτασιν τῶν καλουμένων ψευδωνύμων θεῶν, ὥσπερ ἀεὶ τὴν δαιμόνιον πολυ-

---

1. Πρβλ. Ματθ. 19,21. 2. Ματθ. 39,40. 41,44. Πρβλ. Ρωμ. 12,17. Α' Πέτρ. 3,9. 3. Πρβλ. Ματθ. 25,40. 4. Λουκ. 10,30. 5. Πρβλ. Λουκ. 10,27. 6. Πρβλ. Ἰω. 13,35. 7. Α' Τιμ. 1,17. 8. Α' Τιμ. 6,16. 9. Ἰω. 17,3. 10. Ἡσ. 44,24. 11. Πρβλ. Ἰω. 17,3.

κοιρανίαν ἐκβάλλει, ἀκουσάντων· «Θεοί ἐστε»[1]· ἵνα μηκέτι ὦμεν δεδουλωμένοι ὑπὸ ταλαὰ καὶ πολύμορφα καὶ τρεπτὰ καὶ ἑτερόγνωμα στοιχεῖα, ἐπὶ τὴν πορνείαν ταύτην σκορπίζοντες τὰ νοήματα ἡμῶν, κατὰ τὸν λέγοντα· «Πρώτη πορνεία, ἐπίνοια εἰδώλων»[2]. Πρὸς τούτοις καὶ ὅτι οὐχ ἁρμόττει κτίσματι κυρίως καὶ καθ' ἅπαξ ἡ «μόνος» καὶ ἑνὸς λέξις τῷ εἶναι πάντων ἢ πολλῶν ἅμα κοινόν τι, διὰ τὸ πάντα ἔχειν πολλὰ ὁμοούσια καὶ ὁμοειδῆ, ὡς ἐν τῷ τεσσαρεσκαιδεκάτῳ κεφαλαίῳ τοῦ πρώτου ἐρρήθη λόγου. Ἡ δέ, «Μόνος ἔχων ἀθανασίαν»[3] καὶ ἡ «Ἀοράτῳ μόνῳ σοφῷ Θεῷ»[4] φωνὴ ἐγράφη, διὰ τὸ μηδὲν ἓν κτίσμα ἔχειν ἀφ' ἑαυτοῦ καὶ παντὶ τὸ ἀθάνατον καὶ ἀόρατον καὶ σοφόν, ἀλλ' **[868]** εἰληφέναι παρὰ τοῦ δημιουργήσαντος Υἱοῦ, τοῦ μόνως σὺν Πατρὶ καὶ Πνεύματι ὑπάρχοντος ταῦτα, ὕπαρξιν ἀθανασίας καὶ ἀορασίας· ὡς Παῦλον γράφειν Κορινθίοις τὸ πρῶτον· «Τί δὲ ἔχεις, ὃ οὐκ ἔλαβες; Εἰ δὲ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβών»[5]; Καὶ διὰ τοῦτο μηδὲ τὰς λέξεις ταύτας κυρίως πρέπειν ποιήματι. Ἔστι γὰρ θνητὸν δυνάμει, τὸ μὴ ἔχον οἴκοθεν τὸ ἀθάνατον, ἀλλὰ καὶ δυνάμενον, εἰ θελήσοι τυχὸν ὁ ποιήσας καὶ τὸ ἀποσβεσθῆναι, καθὰ ἐν Εὐαγγελίῳ εἶπε· «Φοβήθητε δὲ μᾶλλόν τὸν δυνάμενον ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ»[6].

Β'. Τούτων οὕτως ἐχόντων, οὐδὲν κωλύει πρὸς πλείονα εὐμαθίαν ἕκαστον ἰδιαζόντως ἐξεργάσασθαι ῥητόν· Τὸ μὲν οὖν «Τῷ βασιλεῖ τῶν αἰώνων, ἀφθάρτῳ, ἀοράτῳ, μόνῳ σοφῷ Θεῷ»[7] ἔγραψε, πολλὰ προδιηγησάμενος κοσμικὰ ἐν τῇ Ἐπιστολῇ καὶ κατὰ πάσης τῆς διηγήσεως ἐπαγαγὼν τοῦτο, ὡς ἔσται σαφὲς παντὶ τῷ προσέχοντι τῇ ἐννοίᾳ τῆς Ἐπιστολῆς. Τὸ δέ, «Μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον»[8], ὡς πρὸς τὴν κτίσιν ἐπέστειλε, καθὰ εἴρηται. Ἡ γὰρ αἰώνιος ζωὴ καὶ ἡ ἀφθαρσία, ἀθανασία ἐστί· καὶ ἡ «ἀλήθεια» καὶ «σοφία» λέξις ἰσοδυναμεῖ τῷ «ἀληθινῷ» καὶ «σοφῷ» ῥήματι· καθάπαξ δὲ ταῦτά ἐστι μόνου Θεοῦ· μεμαρτύρηται δὲ ταῦτα εἶναι ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα. Καὶ εἰ, ὥσπερ ὁ Πατήρ, δημιουργεῖ, ἁγιάζει, δικαιοῖ καὶ θεοποιεῖ τοὺς πρὸς οὓς γίνεται, τὸν ἴσον τρόπον καὶ ὁ Μονογενὴς καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ ποιεῖ· κυρίως ἄρα τῷ τε Υἱῷ, τῷ τε Πνεύματι τοῦ Θεοῦ τὸ «μόνος» καὶ «ἀληθινὸς» καὶ «σοφὸς» καὶ «ἀόρατος Θεὸς» καὶ «μόνος ἔχων ἀθανασίαν»[9], ὡς τῷ Πατρὶ ἐφαρμόσει· καθάπερ καὶ αὐτῷ πρέψει ἡ περὶ τοῦ Μονογενοῦς λέγουσα Γραφή· «Οὗτος ὁ Θεὸς ἡμῶν· οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν»[10]. Πᾶσιν γάρ, ἵν' οὕτως φράσω, οἷς ὁ Πατὴρ τῆς κτίσεως διαφέρει, καὶ ὁ Υἱός, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ ὁμοίως διαφέρει. Πῶς γὰρ λοιπὸν μόνος ἔχει τὰ προλεχθέντα ὁ Πατήρ, εἰ ἀληθεύει τὰ περὶ τοῦ Υἱοῦ

---

1. Ἰω. 10,34. 2. Σ. Σολ. 14,12. 3. Α' Τιμ. 6,16. 4. Α' Τιμ. 1,17 5. Α' Κορ. 4,7. 6. Ματθ. 10,28. 7. Α' Τιμ. 1,17. 8. Α' Τιμ. 6,16. 9. Αὐτόθι. 10. Βαρ. 3,36.

καὶ τοῦ ἁγίου Πνεύματος γεγραμμένα καὶ τό· «Ὥσπερ ὁ Πατὴρ ζωὴν ἔχει, οὕτως ἔδωκε τῷ Υἱῷ ζωὴν ἔχειν»[1], ὡς καὶ τὸ προσεχὲς τούτῳ κεφάλαιον ἐπ.δείξει; Τὸ δὲ «Ἵνα γινώσκωσί σε, τὸν μόνον ἀληθινὸν Θεὸν καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστὸν»[2] συμπεριέχει καὶ τὸν Υἱὸν καὶ δείκνυσιν ἴσον τῷ Πατρί, μεθ' οὗ νοεῖται καὶ τὸ Πνεῦμα αὐτοῦ. Ἡ δὲ ἀποστολὴ τὴν οἰκονομίαν δηλοῖ. Ἡ δὲ «Ἐγὼ ἐξέτεινα τὸν οὐρανὸν μόνος»[3] φωνὴ οὐκ ἔστι τοῦ Πατρός. Ἐπεὶ πῶς ἄληθες τὸ «πάντα διὰ **[869]** τοῦ Υἱοῦ γεγενῆσθαι»[4]; Ἢ γνώτωσαν καὶ περὶ τοῦ Υἱοῦ ὁμοιότροπον ἐν τῷ Ἰὼβ προφητικῶς εἰρῆσθαι· «Ὁ τανύσας τὸν οὐρανὸν μόνος καὶ περιπατῶν ὡς ἐπὶ ἐδάφους ἐπὶ θαλάσσης»[5]. Αὐτὸς γάρ, ὡς πᾶσιν καταφανές, ἀεὶ μέν, οὐχ ἥκιστα δὲ ἐν τῇ ἐνανθρωπήσει ἐθαυματούργησε καὶ ὡς ἐν πεδίῳ ἐβάδισεν ἐπὶ τῆς ὑγρᾶς.

Γ'. Μαρτυρεῖται δὲ καὶ ἐπὶ τοῖς ἄλλοις τοῖς μνημονευθεῖσιν ὁ Υἱὸς καὶ τὸ Ἅγιον Πνεῦμα οὕτως. Περὶ μόνου μὲν ἀληθινοῦ Θεοῦ, ὡς ἡνίκα περὶ μὲν τοῦ Υἱοῦ Ἰωάννης αὐτῇ λέξει ἀληθινὸν Θεὸν[6] αὐτὸν εἶναι καὶ μονογενῆ[7] Θεὸν ἀναφθέγγεται· Ἰούδας «μόνον Δεσπότην»[8] καλεῖ· καὶ ὁ προφήτης λέγει· «Σὺ εἶ ὁ Θεὸς ὁ ποιῶν θαυμάσια, σὺ εἶ μόνος Θεὸς μέγας»[9]· καὶ ἑτέρωθι· «Εἷς ἅγιος, εἷς Κύριος, Ἰησοῦς Χριστός»[10]. Περὶ δὲ τοῦ Ἁγίου Πνεύματος, ὡς ὅταν Παῦλος, ὁ συνέσεως πλήρης, Πνεῦμα τοῦ Θεοῦ[11] καὶ Πατρός[12], καθὰ ἡμῖν τὸ ἡμῶν πνεῦμα, εἶναι αὐτὸ μαρτυρεῖ. Καὶ πάλιν γράφει· «Ταῦτα πάντα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται»[13]. Περὶ μὲν σοφίας, ὡς ἡνίκα περὶ μὲν τοῦ Υἱοῦ ὁ μνημονευθεὶς σεμνότατος γράφει Παῦλος· «Χριστὸν Θεοῦ δύναμιν καὶ Θεοῦ σοφίαν»[14]· καί· «Ἐν ᾧ εἰσι πάντες οἱ θησαυροὶ τῆς σοφίας καὶ γνώσεως ἀπόκρυφοι»[15]. Καὶ Δαυὶδ ψάλλει· «Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε! Πάντα ἐν σοφίᾳ ἐποίησας»[16]. Καὶ ὡς Ἡσαΐας προφητεύει· «Καὶ αὐτὸς σοφὸς ἦγεν ἐπ' αὐτοὺς κακά»[17]. Περὶ δὲ τοῦ Ἁγίου Πνεύματος, ὡς ὅταν Ἡσαΐας προφητεύῃ· «Πνεῦμα τοῦ Θεοῦ, Πνεῦμα σοφίας καὶ συνέσεως, Πνεῦμα βουλῆς καὶ ἰσχύος, Πνεῦμα γνώσεως καὶ εὐσεβείας»[18]. Περὶ δὲ ἀφθαρσίας καὶ ἀθανασίας προείρηται μὲν ἤδη οὐ μέντοι ἄτοπον καὶ ἄλλα παραθέσθαι· ὡς ἡνίκα, περὶ μὲν τοῦ ψυχοδότου Μονογενοῦς, οὗ τὸ ὅμμα καὶ ἡ ἀκοὴ καὶ ἡ δίκη καὶ ἡ φιλανθρωπία πανταχοῦ ἐφέστηκε, Δαυὶδ μελῳδεῖ· «Σὺ ὁ αὐτὸς εἶ καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν»[19]· καί· «Εἰς τὸν αἰῶνα, Κύριε, ὁ λόγος σου διαμένει ἐν τῷ οὐρανῷ»[20]. Περὶ δὲ τοῦ Ἁγίου Πνεύματος τοῦ τὰ σύμπαντα τρέφοντος καὶ θείαις ἀκτῖσι καταλάμποντος καὶ ἕως καὶ ἐπὶ τοὺς

---

1. Ἰω. 5,26. 2. Ἰω. 17,3. 3. Ἡσ. 44,24. 4. Πρβλ. Ἰω. 1,3. 5. Ἰὼβ 9,8. 6. Α' Ἰω. 5,20. 7. Πρβλ. Ἰω. 1,18. 8. Ἰούδ. 4. 9. Πρβλ. Ψαλ. 85,10. 10. Ἀποστολικαὶ Διαταγαὶ Η', XIII. Β.Ε.Π. 2, σ. 158. 11. Ματθ. 3,16. 12. Πρβλ. Ματθ. 10,20. 13. Α' Κορ. 12,11. 14. Α' Κορ. 1,24. 15. Κολ. 2,3. 16. Ψαλ. 103,24. 17. Ἡσ. 31,2. 18. Ἡσ. 11,2. 19. Ψαλ. 101,28. 20. Ψαλ. 118,89.

ἀπολειπο[872]μένους τοῦ θείου νόμου μακροθυμοῦντος, ἵν' ἢ ἐπιστρέψωμεν ἢ ἐκεῖσε τιμωρίαν ὑπόσχωσιν οὐ μεμπτήν· ὡς ὅταν λέγῃ· «Καὶ τὸ ἄφθαρτόν σου Πνεῦμά ἐστιν ἐν πᾶσιν»[1]. Τοῖς δὲ λέγουσιν, Οὐκ εἰσὶν οὖν αἱ ψυχαὶ καὶ οἱ ἄγγελοι ἀθάνατοι καὶ ἀόρατοι, ἀπαντητέον οὕτως· Πρὸς τὸ ἀθάνατον πρῶτον καθ' ἕνα μὲν τρόπον, ὅτι τῇ πρωτουργῷ καὶ ἀπείρῳ ἀθανασίᾳ ἡ τούτων οὐδαμῶς κοινωνεῖ, ὑποβεβηκυῖα καὶ διωρισμένη ἐκείνης, ὅσον δημιούργημα Δημιουργοῦ. Καὶ διὰ τοῦτο μόνος ἔχειν ἀθανασίαν ὁ Θεὸς ἐλέχθη, ὡς ἐστι γνῶναι ῥᾴδιον, εἴπερ εἰς νοῦν βαλοίμεθα, ὅτι τούτων οὐδέν, οὔτε δημιουργεῖν, οὔτε ἀθανασίαν χορηγεῖν δύναται, ὡς ὁ μόνος ἀόρατος καὶ αἰώνιος Μονογενὴς καὶ τὸ Ἅγιον Πνεῦμα δημιουργεῖ καὶ ἀθανάτους κατασκευάζει.

Δ'. Καθ' ἕτερον δέ, ὅτι αἱ ψυχαὶ καὶ οἱ ἄγγελοί εἰσι καὶ ἀθάνατοι κατὰ τὸ ἀνώλεθρον καὶ ἄφθαρτον τῆς οὐσίας καὶ θνητοὶ κατὰ τὸ φθείρεσθαί ποτε τῇ γνώμῃ. Ἀπὸ γὰρ τροπῆς ἐστιν ὅτε πίπτουσιν εἰς ἁμαρτίαν, ἐξ ἧς ἐπέρχεται ὁ θάνατος· καθ' ὃν ὁ Παῦλος γράφει· «Καὶ ἡ σπαταλῶσα χήρα τέθνηκεν»[2], καίπερ μήπω τὸν τῇδε ὑπαλλάξασα βίον, καθὰ ἤδη ἐν τῷ περὶ τοῦ Ἁγίου Πνεύματος ἐξηγήθη λόγῳ. Ἀντιδιαιρεῖται γὰρ τῷ ἀθανάτῳ τὸ θνητόν, [873] καὶ ἀντιστοίχως τῷ θνητῷ τὸ ἀθάνατον καὶ νοεῖται ἐπὶ ψυχῶν καὶ ἀγγέλων, τὸ μὲν ἀθάνατον, ὅταν πρὸς τῷ θάνατον μὴ ἐπιδέχεσθαι, ὅ ἐστι μὴ διαλύεσθαι, ἅτε ἀσυνθέτους ὄντας καὶ ἀνωλέθρους τὴν ὕπαρξιν, ἐὰν καὶ φθορᾷ γνώμης μὴ ὑποπέσωσιν, τοῦτ' ἔστιν, εἰ ἄτρεπτοι διαμείνωσιν· τὸ δὲ θνητόν, ἀντικειμένως τούτῳ. Καθόλου δὲ ἐοίκασιν οἱ τοιοῦτοι μὴ γινώσκειν τὰ ἀντιστρόφως λεγόμενα καὶ ὡς οὐ πάντα τὰ ὁμωνύμως κατά τινων λεγόμενα πέφυκεν ἀντιστρέφειν. Ὁ μὲν γὰρ Θεὸς παντοίως ἀθάνατος, οὐ μὴν τὸ ἀθάνατον ἤδη. Πρὸς δὲ τὸ ἀόρατον, εἰσὶ μὲν καὶ αἱ ψυχαὶ καὶ οἱ ἄγγελοι, ἀόραιοι μὲν τῷ ὀφθαλμῷ τοῦ σώματος ἡμῶν, ἐν τῷ εἶναι ἐκτὸς τῶν ὁρατῶν ἰδιωμάτων (φημὶ χρώματος, σχήματος, μεγέθους) ὁρατοὶ δὲ τῷ νῷ, ὅ ἐστιν ὄμμα τῆς ψυχῆς· ἐπειδὴ μὴ ἀνέφικτοι, ἅτε κτιστοὶ τὴν ὕπαρξίν εἰσιν, ἀλλ' ἔστι ἡμῖν νόησις περὶ αὐτῶν. Ὥστε, εἰ καὶ κατὰ προσβολὴν αἰσθήσεως ὀφθαλμοῦ ὄμματος ἀόρατοι, ἀλλ' οὖν κατὰ ἀντίληψιν θεωρίας ἐπιστημονικῆς ὁρατοί εἰσιν. Ὁ δὲ Θεὸς ὑπὲρ τὸ ἀόρατον καὶ ἀφανέστατον καὶ ὑπὲρ πάντα νοῦν ὑπάρχων οὐ μόνον ὄψει καὶ συνόλως αἰσθήσει, μὴ ὑποπίπτειν, ἀλλὰ μήτε νῷ αὐτῶν ἀγγέλων ἐνορᾶσθαι διὰ τὸ ἀκατάληπτον καὶ ἀπρόσιτον πέφυκεν. Ὅτι μὲν γάρ ἐστι Θεός, πᾶσι γνώριμον· τί δὲ ἢ πῶς ὑπάρχει θεωρῆσαι, πάντων τῶν φυσικῶν δυσαλωτότατον καθέστηκεν. Ὀρθῷ οὖν προσερρήθη τρόπῳ τῷ εἰρημένῳ «μόνος ἀθάνατος σοφός τε Θεὸς καὶ ἀόρατος»[3].

---

1. Σ. Σολ. 12,1. 2. Πρβλ. Α' Τιμ. 5,6. 3. Πρβλ. Α' Τιμ. 1,17.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'

«Ὥσπερ γὰρ ὁ Πατὴρ ζωὴν ἔχει ἐν ἑαυτῷ, οὕτως ἔδωκε τῷ Υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ»· καί· «Ἐξουσίαν ἔδωκεν αὐτῷ κρίσιν ποιεῖν, ὅτι Υἱὸς ἀνθρώπου»· καὶ πάλιν· «Οὓς ἔδωκάς μοι ἐκ τοῦ κόσμου, σοὶ ἦσαν, καὶ ἐμοὶ αὐτοὺς ἔδωκας»· καὶ πάλιν· «Πάντα μοι παρεδόθη παρὰ τοῦ Πατρός»· καὶ πάλιν· «Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς». Καὶ θέα τοιαῦτα. Καὶ τὸ τοῦ Δαυΐδ· «Αἴτησαι παρ' ἐμοῦ καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου».

Α'. Καὶ μὴν καὶ τὰ παρὰ Ἰωάννῃ ἀμώμητα καὶ ἀνεπίληπτα τοῦ πάντων Κυρίου ῥήματα τὰ λέγοντα· «Ὥσπερ ὁ Πατὴρ ζωὴν ἔχει ἐν ἑαυτῷ οὕτως ἔδωκε καὶ τῷ Υἱῷ ἔχειν ἐν ἑαυτῷ· καὶ ἐξουσίαν ἔδωκεν αὐτῷ κρίσιν ποιεῖν ὅτι Υἱὸς ἀνθρώπου ἐστί»[1]· καὶ πάλιν· «Οὓς ἔδωκάς μοι, σοὶ ἦσαν καὶ ἐμοὶ αὐτοὺς ἔδωκας»[2]· καὶ πάλιν· «Πάντα μοι παρεδόθη παρὰ τοῦ Πατρός μου»[3]· καὶ πάλιν· **[876]** «Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς»[4]· καὶ τοῦ Δαυΐδ· «Αἴτησαι παρ' ἐμοῦ καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου καὶ τὴν κατασχεσίν σου τὰ πέρατα τῆς γῆς»[5]· καὶ ὅσα τοιαῦτα τὴν ἄφραστον οἰκονομίαν δηλοῖ. Καὶ ἄμαχον τοῦτο πλέον ποιεῖ καὶ πάντας ἀναγκάζει, τούς γε μὴ τελέως ἀψύχους, συντίθεσθαι ἡμῖν τὸ εὐθὺς προσκεῖσθαι· «Ὅτι Υἱὸς ἀνθρώπου ἐστίν»[6]. Εὐμενῶς γὰρ ἔχων πρὸς τὸ γένος ἡμῶν καὶ ἐκὼν πτωχεύσας[7] σαρκί, ὡς γράφει ὁ Παῦλος, ἵν' ἡμεῖς, οἱ παντοίαις βλάβαις καὶ μεταβολαῖς, διά τε τὴν ἀρχαίαν καὶ τὰς προσφάτους ἁμαρτίας, ὑποκείμενοι τῇ ἐκείνου πτωχείᾳ πλουτήσωμεν· καὶ πᾶσιν προσφόρως προσφερόμενος τῇ ἡμῖν συντρόφῳ ἐχρῆτο διαλέκτῳ, ὅπως τὴν οἰκονομίαν συνιῶμεν, μὴ τῷ ὄγκῳ τῆς θείας ἀποθαμβούμενοι φράσεως. Ἤρκει γὰρ καὶ μόνα τὰ θαύματα ἐκφαίνειν τὴν ἄναρχον καὶ ἀπροσδεῆ αὐτοῦ θεότητα, ὡς μετριάζοντα καὶ τοῦτο λέγειν· «Αἱ ἀλώπεκες τοῦ ἀγροῦ φωλεοὺς ἔχουσι καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις· ὁ δὲ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλῖναι»[8]. Οὐ γὰρ ἔδει τὸν Δεσπότην ἰδιάζον πως ἐπὶ γῆς τι κεκτῆσθαι. Καὶ ἄλλως δέ πως τὸν Θεὸν μέν, ᾧ ἔνδειξις καὶ ἔρις πρὸς ἀνθρώπους οὐδέποτε οὐδεμία, ἀνθρωποπρεπῆ καὶ μετριόφρονα φθέγξασθαι χρειῶδες ἦν καὶ οὐδὲν μὲν τὴν γαληνοτάτην αὐτοῦ καὶ πάντα περιέχουσαν φύσιν καταβλάπτον, ἡμᾶς δὲ εὐεργετοῦν. Ὁρᾷ

---

1. Ἰω. 5,26-27. 2. Πρβλ. Ἰω. 17,6. 3. Ματθ. 11,27. 4. Ματθ. 28,18. 5. Ψαλ. 2,8. 6. Ἰω. 5,27. 7. Β' Κορ. 8,9. 8. Πρβλ. Ματθ. 8,20. Λουκ. 9,58.

γὰρ ἀεὶ οὐ πρὸς τὸ οἰκεῖον ὕψος, πρὸς δὲ τὸ ἀνθρώπων ταπεινόν. Αὐτὸν δὲ συλλήπτορα ποιήσομαι λέγοντα Πέτρῳ· «Ἵνα δέ», φησί, «μὴ σκανδαλίσωμεν αὐτούς, πορευθεὶς εἰς θάλασσαν, βάλε ἄγκιστρον, καὶ τὸν ἀναβάντα πρῶτον ἰχθὺν ἆρον· καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ, εὑρήσεις στατῆρα· καὶ ἐκεῖνον λαβών, δὸς αὐτοῖς ἀντὶ ἐμοῦ καὶ σοῦ»[1]. Ἄνθρωπον δὲ Θεῷ ἁρμόζοντα ῥήματα ἀφιέναι, οὐ θέμις· ἐπεὶ καὶ βασιλεῖ ὅτι μάλιστα πρέπει μετριολογεῖν· μείζονα γὰρ ἐκ τούτου καρποῦται δόξαν καὶ εἰς αὐτὴν ἀναφέρεται τῆς τιμῆς τὴν κορυφήν· ὑπηκόῳ δὲ βασιλικὰς φωνὰς ἐκφέρειν ἀσύμφορον.

Β΄. Ὥστε ἐπειδὴ Ὕψιστος ἦν καὶ Λόγος τοῦ Θεοῦ παντὸς λόγου κρείττων, χώραν εἶχε τὰ χθαμαλὰ αὐτοῦ ῥήματα· εἰ δὲ κτίσμα ἐτύγχανε, πάλιν οὐκ εἶχε χώραν, ἃ ἐφθέγγετο ὑψηλά. Πῶς γὰρ ἂν ἔλαβε ζωὴν ἡ ζωὴ ἢ ἐξουσίαν ὁ κατὰ Ἡσαΐαν ἰσχυρὸς καὶ ἐξουσιαστὴς Θεός[2], ὁ καὶ τοῖς ἀποθανεῖν δυναμέ**[877]**νοις τὸ ζῆν καὶ εἶναι κατ' ἐξουσίαν ἰδίαν παρέχων, ὁ Πέτρῳ τὰς κλεῖς τῆς οὐρανίου ζωῆς ἐγχειρίσας; Ἐκβοᾷ γὰρ καὶ ὁ Ἀπόστολος, ὡς «Οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ»[3]· ἀντὶ τοῦ, Οὐχ ἥρπασεν, οὐκ ἔλαβε τὸ εἶναι ἴσος τῷ Θεῷ καὶ Πατρί. Εἰ δὲ ἄρα καὶ εἰς τὴν θεότητα εἴρητο τοῦ Υἱοῦ, ἐχρῆν αὐτοὺς οὕτω νοεῖν, ὅτιπερ, ὃν τρόπον τὸ ἔχειν ζωὴν τὸν Θεὸν οὐ τὸ κεκτῆσθαί τι ἄλλο ἑαυτοῦ, ὡς μὴ ἀνάρχως ἐσχηκότα, ἀλλὰ τὸ αὐτὸν εἶναι τοῦτο, ὅπερ ἔχειν λέγεται, δηλοῖ· τὸν αὐτὸν τρόπον, τὸ ἔχειν λαβόντα ζωὴν τὸν Υἱόν, οὐχ ὡς μὴ ἔχοντα φύσει σημαίνει. Ἡ γὰρ λέξις ἡ «ὥσπερ ἔχει»[4] καὶ ἡ «οὕτως ἔδωκε»[5], τοῦτο παριστᾷ· ὅτι οὕτως ἔχει ὁ Υἱὸς τὴν ζωήν, ὥσπερ ἔχει αὐτὴν οὐ λαβὼν ὁ Πατήρ· καὶ χρὴ θεοπρεπῶς ἐπί τε τοῦ Πατρὸς τὸ ἔχειν ζωὴν καὶ τὸ «ἐν ἑαυτῷ»[6], ἐπί τε τοῦ Υἱοῦ τὸ «δέδωκεν αὐτῷ»[7] καὶ τό· «ἔχειν ἐν ἑαυτῷ», ἐκλαμβάνειν· καὶ μᾶλλον ἐκ τοῦ ἀναγκαίου τοῦ πράγματος τὴν θεϊκὴν ἐξουσίαν τοῦ Υἱοῦ καὶ τὸ ἐπ' ἀμφοῖν ἓν θέλημα ἀθρεῖν. Ἂν γὰρ λέγει ἔχειν ζωὴν ἐν ἑαυτῷ τὸν Πατέρα καὶ τὸν Υἱόν, ἡ ἑνὰς καὶ ὑπερούσιος οὐσία ἐστὶ καὶ οὐχ ἕτερόν τι ἐν ἑτέρῳ τυγχάνον· ὅθεν εἶπεν· «Ἐγώ εἰμι ἡ ζωή»[8]· ὡς καὶ ἐντεῦθεν ἀναφαίνεσθαι, μὴ ἄλλην τῆς τοῦ Πατρὸς οὐσίας εἶναι τὴν οὐσίαν τοῦ Υἱοῦ. Εἰ γὰρ αὐτός ἐστιν ἡ ζωή, τὴν δὲ αὐτὴν ἔχει ὁ Πατήρ, τί ἄλλο εὑρίσκεται ἢ ὁμοούσιος; Καὶ εἰ αὐτός ἐστιν ἡ ζωή, πῶς, ὅ ἐστιν, εἶχε λαβεῖν; Ἀλλ' εἴπερ εἶχε, φησί, πῶς ἔλαβεν; Καὶ ταῦτα ληρήματα. Καὶ ὅμοιος γὰρ παρὰ ὁμοίου λαμβάνει, ἵνα μὴ εἴπωμεν, ὅτι καὶ μείζων ἔσθ' ὅτε παρ' ἐλάττονος καὶ ἡ δεξιὰ παρὰ τῆς ἀριστερᾶς· ἴσμεν δέ, ὅτι καί τινες ἐξ ἴσης τὸ κρῖναι λαχόντες, παρεχώρησαν τῷ ἑνὶ ἔσθ' ὅτε καὶ μείζονι αὐτῶν καθεστῶτι· καὶ εἴωθε λέγεσθαι· Ἔδωκαν τῷδε τὸ πρᾶγμα μόνῳ δικάσαι, καίτοι ἔχοντι αὐτῷ καὶ πλειόνως εἰκὸς τὴν ἐξουσίαν. Τοιγαρ-

---

1. Ματθ. 17,27. 2. Ἡσ. 9,6. 3. Φιλιπ. 2,6. 4. Ἰω. 5,26. 5. Αὐτόθι. 6. Αὐτόθι. 7. Πρβλ. Ἰω. 5,27. 8. Πρβλ. Ἰω. 14,6.

οὖν οὐκ εἶπεν, ὅτι «Ὃ μὴ ἔχει, ἔλαβεν», ἀλλὰ καὶ ὁ αὐτὸς εὐαγγελιστὴς λέγει· «Εἰς τὰ ἴδια ἦλθε καὶ οἱ ἴδιοι αὐτὸν οὐκ ἔλαβον· ὅσοι δὲ ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι»[1]. Διὰ τῶν τοιούτων ῥημάτων οὐ μόνον δείξας τοῦ Υἱοῦ ἰδίαν τὴν κτίσιν ἀλλ' ὅτι καὶ τῷ Πατρὶ δίδωσιν ὁ Υἱὸς τοὺς λαμβάνοντας αὐτόν, τοῦτ' ἔστι τοὺς πιστεύοντας, πανταχοῦ εὐεργετῶν αὐτοὺς καὶ λαμβάνοντας αὐτὸν καὶ παρεχομένους παρ' αὐτῷ τῷ Πατρί· ἐκ τοῦ κόσμου γὰρ ὄντας, τῇ ἑαυτοῦ οἰκονομίᾳ ποιεῖ οὐρανοπολίτας. Πῶς δὲ καὶ ἡμεῖς τὰ τοῦ Θεοῦ πάλιν αὐτῷ προσφέρομεν; Ἢ πῶς δόξαν αὐτῷ ἀναπέμπομεν; Μὴ ἆρα ὃ μὴ ἔχει, ἢ ὃ μή ἐστιν, αὐτῷ παρέχομεν; Ἀρκεῖ οὖν αὐτοῖς ἀποκρίνεσθαι, ὅτι οὕτως ἔλαβεν, ὡς ἐπτώχευσεν ἑκὼν καὶ ὡς ἐγένετο κατάρα. Τί γὰρ ἂν φήσαιεν ἐρωτώμενοι ἐξ ἀνθυπο**[880]**φορᾶς· Ὁ Θεὸς καὶ Κύριος πάντων ἡ ἀίδιος ζωὴ καὶ τὸ φῶς τὸ ἀληθινὸν καὶ ἡ ἀθανασία πῶς ἐπτώχευσεν; ἢ πῶς ἡ εὐλογία δι' ἡμᾶς ἐγένετο κατάρα[2];

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'

«Ὁ πέμψας με»[9] Πατὴρ μείζων μου ἐστίν». Ἐν ταὐτῷ περὶ Μοντανιστῶν καὶ Μανιχαίων.

Α'. Οὕτως ἂν νοηθείη καὶ τὸ ἐν Ἰωάννῃ τοῖς ἀποστόλοις ῥηθέν· «Εἰ ἠγαπᾶτέ με ἐχάρητε ἂν ὅτι πορεύομαι πρὸς τὸν Πατέρα· ὅτι ὁ πέμψας με Πατὴρ μείζων μου ἐστίν»[3]. Πῶς γὰρ πορεύεται ἢ ἐπέμφθη κατὰ τὴν θεότητα ὁ εἰπών· «Ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ ἐν ἐμοὶ»[4]· καί· «Ὁ Πατὴρ ὁ ἐν ἐμοὶ μένων ποιεῖ τὰ ἔργα»[5]· καί· «Ὁ πέμψας με, μετ' ἐμοῦ ἐστιν»[7]; Ὁ μαρτυρούμενος ὅτι «Ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών[6]· καὶ ὅτι «Ἐν τῷ κόσμῳ ἦν καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο»[8]; Ὁ γὰρ πέμπων ἐκεῖ πέμπει, ἔνθα οὐκ ἔστιν ὁ πέμπων καὶ ὁ πεμπόμενος. Εἰ δὲ ὁ Θεὸς πανταχοῦ πάρεστι καὶ πάντα συνέχει, περιδραξάμενος τὴν κτίσιν καὶ οὐκ ἀπιὼν καὶ πάλιν ἐπανιών, οὐδ' ἐκ τόπων τόπους ἀμείβων. Λέγει γὰρ ὁ μὲν Ἱεροψάλτης· «Ἐγγὺς Κύριος τοῖς φοβουμένοις αὐτόν»[9]· καὶ πάλιν· «Ἐὰν ἀναβῶ εἰς τὸν οὐρανόν, σὺ ἐκεῖ εἶ· ἐὰν καταβῶ εἰς τὸν ᾅδην, πάρει· ἐὰν ἀναλάβοιμι πτέρυγάς μου κατ' ὄρθρον, καὶ κατασκηνώσω εἰς τὰ ἔσχατα τῆς θαλάσσης· καὶ γὰρ ἐκεῖ ἡ χείρ σου ὁδηγήσει με καὶ καθέξει με ἡ δεξιά σου»[10]. Ὁ δὲ Ἱερεμίας· «Τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ, λέγει Κύριος»[11]. Αἱ δὲ Πράξεις· «Καί γε οὐ μακρὰν ἀπὸ ἑνὸς ἑκάστου ἡμῶν

---

1. Ἰω. 1,11. 2. Γαλ. 3,13. 3. Ἰω. 14,28. 4. Ἰω. 14,11. 5. Ἰω. 14,10. 6. Ἰω. 8,29. 7. Φιλιπ. 2,7. 8. Ἰω. 1,10. 9. Πρβλ. Ψαλ. 144,18. 10. Ψαλ. 138,7-10. 11. Ἱερ. 23,24.

ὑπάρχοντα· ἐν αὐτῷ γὰρ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν· ὡς καί τινες τῶν καθ' ἡμᾶς ποιητῶν εἰρήκασι·

[881] Τοῦ γὰρ καὶ γένος ἐσμέν»[1]· ὁ δ' ἥπιος ἀνθρώποισινα.

Καὶ εἰ ὁ Δεσπότης αὐτὸς ἐξηγεῖται, ὡς οὐδέποτε τοὺς οὐρανοὺς τῆς ἑαυτοῦ παρουσίας ἐγύμνωσεν, ὥσπερ οὐδὲ νῦν μετὰ τὴν ἀνάληψιν τῆς γῆς ἀπολιμπάνεται· «Ἰδού» γάρ, φησίν, «ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος»[2]· βεβαιῶν τὰ παρὰ τοῦ ἱεροκήρυκος ἐν ι' ψαλμῷ ᾀσθέντα, δι' ὧν καὶ ἐπὶ γῆς αὐτὸν καὶ ἐν οὐρανῷ ἐπὶ τοῦ θείου ἐπικαθέζεσθαι θρόνου προσεκήρυττεν· φησὶ γάρ· «Κύριος ἐν ναῷ ἁγίῳ αὐτοῦ, Κύριος, ἐν οὐρανῷ ὁ θρόνος αὐτοῦ»[3].

Β'. Εἰ ταῦτα οὕτως ἔχει, ἀμάχως τὸ «πορεύομαι»[4] καὶ «ὁ πέμψας»[5], ὡς «μορφὴν δούλου λαβών»[6], εἶπε, καὶ διὰ τὸ Ἰουδαίους ἀπιστεῖν τῇ οἰκονομίᾳ καὶ ὅτι τῇ συμφωνίᾳ τοῦ Θεοῦ καὶ Πατρὸς ἐπεφάνη· καὶ οὐ διὰ τοῦτο μόνον, ἀλλ' ὥστε καὶ τοὺς παχεῖς τὸν νοῦν καὶ χερσώδεις Μοντανιστὰς ἐντρέπεσθαι, τὸν αὐτὸν Υἱὸν πατέρα ὁμοῦ καὶ Παράκλητον νοοῦντας· σὺν αὐτοῖς δὲ καὶ Μανιχαῖον, μὴ προσιέμενον τὴν Παλαιὰν Διαθήκην· ἀλλ' ἀποκαλοῦντα τὸν μὲν Πατέρα ἀπάνθρωπον, ὡς ἐκβαλόντα τὸν Ἀδὰμ ἀπὸ τοῦ παραδείσου, τὸν δὲ Υἱὸν μόνον φιλάνθρωπον, ὡς δι' ἑαυτοῦ παραγενόμενον καὶ σώσαντα. Πῶς γὰρ μόνῳ τὴν χάριν εἰσώμεθα τῷ Χριστῷ, ὅτι ἔπεμψεν αὐτὸν καὶ ὁ Πατήρ; Εἴωθε δὲ ἡ Γραφὴ τῇ λέξει τοῦ «ὁ πέμψας»[7] καὶ τοῦ «ἀπεστάλη» ἐπὶ τῆς ἀρρήτου συγκαταβάσεως προσχρῆσθαι· καὶ ὡς θνητῷ τῷ λόγῳ περιλαβεῖν ἀδύνατον ἦν τὸν ἀχώρητον, οὕτως καὶ τῇ τῶν ῥημάτων οἰκονομίᾳ τὴν διήγησιν ποιεῖσθαι, ἵνα μή τις ἀντιθεΐας ὑπόνοιαν σχοίη· ἐπείτοιγε

Πάντα Θεοῦ πλήρηβ,

καθὰ εἴρηται. Μαρτυρεῖ δὲ τούτῳ ἡ ἀεὶ ζῶσα φωνή, λέγουσα· «Πάτερ, εὐχαριστῶ σοι, ὅτι ἤκουσάς μου· ἐγὼ δὲ ἤδειν, ὅτι πάντοτέ μου ἀκούεις, ἀλλὰ διὰ τὸν ὄχλον τὸν περιεστῶτα εἶπον, ἵνα πιστεύσωσιν, ὅτι σύ με ἀπέστειλας»[8]· τοῦτ' ἔστιν· «Ἤδειν ὅτι πάντοτέ μου **[884]** ἀκούεις, μιᾶς θελήσεως οὔσης· ἀλλὰ διὰ τὸν περιεστῶτα ὄχλον, ἵνα πιστεύσωσιν, εἶπον τό, Πάτερ, εὐχαριστῶ σοι, ὅτι σύ με ἀπέστειλας»[9]· πρωθυστέρους δὲ τὰς λέξεις ἐφθέγξατο, ἠσφαλισμένως ποιῶν, διὰ τοὺς ἀκροωμένους φιλαιτίους καὶ φιλαπεχθήμονας· ὡς καὶ περὶ τοῦ Προδρόμου τὴν οἰκονομίαν κηρύττοντος εἶπεν· «Ἐγένετο ἄνθρωπος

---

1. Πράξ. 17,27-28. 2. Ματθ. 28,20. 3. Ψαλ. 10,4. 4. Πρβλ. Ἰω. 14,28. 5. Πρβλ. Ἰω. 8,29. 6. Πρβλ. Φιλιπ. 2,7. 7. Πρβλ. Ἰω. 8,29. 8. Ἰω. 11,41. 9. Αὐτόθι.

α. Ἀράτου Σολέως, Φαινόμενα, στ. 5. β. Χρησμοὶ τῶν Ἑλληνικῶν θεῶν, 43. Ἔκδοσις Karl Buresch, Leipzig 1889, σ. 108.

ἀπεσταλμένος παρὰ Θεοῦ»»[1]· καὶ ὅμως οὐκ ἐξ οὐρανῶν ἀποσταλεὶς ἐτύγχανε.

Γ'. Γέγραπται ὁ Θεὸς καὶ ὑπὸ ἀνθρώπου ἀποστελλόμενος καὶ ἄνθρωπος ὀνομαζόμενος καὶ βλάβας περὶ τὴν θείαν καὶ ἀληθῆ δόξαν πάντως οὐχ ὑπομένων· ὡς Μωϋσῆς ἐν τῇ Γενέσει λέγει· «Καὶ διέβη τὸν χειμάρρουν καὶ διεβίβασε πάντα τὰ αὐτοῦ. Ὑπελείφθη δὲ Ἰακὼβ μόνος καὶ ἐπάλαιεν ἄνθρωπος μετ' αὐτοῦ ἕως πρωΐ. Εἶδε δέ, ὅτι οὐ δύναται»[2] «Ἰακὼβ ἐν τῷ παλαίειν, καὶ εἶπεν αὐτῷ· Ἀπόστειλόν με· ἀνέβη γὰρ ὁ ὄρθρος. Ὁ δὲ εἶπεν· Οὐ μή σε ἀποστείλω, εἰ μή με εὐλογήσῃς. Εἶπε δὲ αὐτῷ· Τί τὸ ὄνομά σου ἐστίν; Ὁ δὲ εἶπεν· Ἰακώβ. Καὶ εἶπεν αὐτῷ· Οὐ κληθήσεται ἔτι ὄνομά σου Ἰακώβ, ἀλλ' Ἰσραὴλ ἔσται τὸ ὄνομά σου, ὅτι ἐνίσχυσας μετὰ τοῦ Θεοῦ καὶ μετὰ ἀνθρώπων δυνατὸς ἔσῃ. Ἠρώτησε δὲ Ἰακὼβ καὶ εἶπεν· Ἀνάγγειλόν μοι τὸ ὄνομά σου. Καὶ εἶπεν· Ἵνα τί σὺ ἐρωτᾷς τὸ ὄνομά μου; Καὶ εὐλόγησεν αὐτὸν ἐκεῖ. Καὶ ἐκάλεσεν Ἰακὼβ τὸ ὄνομα τοῦ τόπου ἐκείνου. Εἶδος Θεοῦ· Εἶδον γὰρ Θεὸν πρόσωπον πρὸς πρόσωπον καὶ ἐσώθη μου ἡ ψυχή»[3]. Ὅτι δὲ Θεός ἐστιν ὁ παλαίσας καὶ μὴ εἰπὼν αὐτοῦ τὸ ὄνομα καὶ ἡ προφητεία λέγει· «Ὤφθην πρὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, τοὺς πατέρας ὑμῶν, Θεὸς ὢν αὐτῶν καὶ τὸ ὄνομά μου οὐκ ἐδήλωσα αὐτοῖς»[4]. Πῶς δὲ καὶ μείζων κατὰ τὴν θεότητα ὑπάρχει τοῦ ἴσον ἑαυτὸν ποιοῦντος τῷ Πατρί, τοῦ λέγοντος· «Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν»[5]· καὶ μαρτυρουμένου, ὡς ἀληθινὸς Θεὸς καὶ Υἱὸς καὶ Μονογενής ἐστιν· «Ἐν ᾧ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος»[6]· καί· «Θεὸς μέγας, πρὸς ὃν οὐ λογισθήσεται ἕτερος»[7]· καὶ ὡς ἐκ δεξιῶν συγκαθέζεται; Ἀλλ' ὁμολογουμένως καὶ τὸ «μείζων» εἰς τὴν ἐνανθρώπησιν ἀποτείνεται, δι' ἣν ὁ μεταβολῆς διὰ παντὸς ἄμοιρος ὤν, ἠλαττῶσθαι καὶ τῶν ἀγγέλων, εἰ θέμις τοῦτο φάναι, γέγραπται παρὰ τῷ Ἀποστόλῳ οὕτως· «Τὸν δὲ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν διὰ τὸ πάθημα τοῦ θανάτου»[8]. Ἀμέλει οὐκ ἐν μορφῇ Θεοῦ ὑπάρχων ἐν οὐρανοῖς, ἀλλ' ἐν μορφῇ δούλου ἐπὶ γῆς, ὅτε ἐκ τῆς Παρθένου ἀτρέπτως προῆλθεν, ἔλεγεν· «Ὁ πέμψας με»[9] Πατὴρ μείζων μου ἐστίν»[10], ὡσεὶ καὶ ἔλεγεν· Ἡ ὑμῖν καὶ πάσῃ διανοίᾳ ἀθέατος θεότης, μείζων τῆς ὁρωμένης συγκαταβάσεώς μου ὑπάρχει. Ὁ γὰρ τῷ πράγματι συγκαταβὰς καὶ διακονῶν καὶ μὴ διακονούμενος καὶ δούλου φέρων μορφήν, ὁ ἐν **[885]** μορφῇ Θεοῦ ὑπάρχων[11], πῶς οὐχὶ καὶ τοῖς ῥήμασι συγκαταβαίνειν ἔμελλεν, ὁ παντὸς λόγου ἀνώτερος; οὕτως ὥστε καὶ ὀνειδίζει παρ' Ἰωάννῃ τοῖς ἐπὶ μικροπρεπείᾳ ἐκδεχομένοις τῆς οἰκονομίας τὰ ῥήματα φάσκων· «Ἐγὼ τιμῶ τὸν Πατέρα μου καὶ ὑμεῖς ἀτιμάζετέ με»[12]. Τιμᾷ δὲ καὶ ὁ Πατὴρ τὸν Υἱόν,

---

1. Ἰω. 1,6. 2. Γεν. 32,24-26. 3. Ἔνθ' ἀν. 32,26-31. 4. Ἐξ. 6,3. 5. Ἰω. 10,30. 6. Πρβλ. Κολ. 2,9. 7. Πρβλ. Βαρ. 3,35. 8. Ἑβρ. 2,9. 9. Ἰω. 5,37. 10. Ἰω. 14,28. 11. Πρβλ. Φιλιπ. 2,6. 12. Ἰω. 8,49.

λέγων· «Κάθου ἐκ δεξιῶν μου»[1]· καὶ μέντοι ἔλκων πρὸς αὐτὸν τοὺς ἀξίους. Καὶ αὐτὸ δὲ τοῦτο τὸ εἰπεῖν πεποιθήσει Πατέρα τὸν Θεὸν δείκνυσιν, ὡς τὸ «μείζων»[2] κατὰ τὴν ἐνανθρώπησίν ἐστι.

Δ'. Καὶ ἐξ ὑποδείγματος δὲ ῥᾷον ὑποστῆναι τοῦ μὴ κατὰ τὴν θεότητα εἰρῆσθαι τὸ «μείζων»[3]. Ὁ γὰρ Κύριός φησιν· «Ἀμὴν λέγω ὑμῖν· οὐκ ἐγήγερται ἐν γεννητοῖς γυναικῶν μείζων Ἰωάννου τοῦ Βαπτιστοῦ»[4]. Ἀλλ' οὐχ ὡς ἐξ ἑτέρας μείζονος φύσεως ὄντα ἢ κατ' ἀνθρώπους ἔλεγε μείζονα εἶναι αὐτόν· πάντες γὰρ οἱ ἀρετῆς μεταποιούμενοι ἢ ἐξισοῦντο αὐτῇ ἤ τι ἀπελείποντο· οὐδὲ ὡς δυνάμει κρείττονος ἢ χρόνῳ πλείονι εἰληφότος τὴν γένεσιν· αὐτὸς μὲν γὰρ τῇ ἐν κόσμῳ ζωῇ διέμεινεν ἔτη λ'· ἦσαν δὲ οἱ τῇ τοῦ σώματος ῥώμῃ καὶ τῷ πλήθει τῶν ἐτῶν ὑπερβάλλοντες αὐτόν. Ἀλλ' οὐ ταύτῃ κρείττονα τῶν ἀνθρώπων ἔλεγεν, ἀλλὰ τῇ προφητείᾳ, ἣν μάλιστα ἔνθεον αὐτὸς ἐδέξατο. Καὶ πάλιν· «Ὁ δὲ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μικρότερος, μείζων αὐτοῦ ἐστιν»[5]. Ἔλεγε δὲ περὶ Ἰωάννου τοῦ ἀποστόλου, τοῦ χρόνοις μὲν μικροτέρου Ἰωάννου τοῦ Προδρόμου, τῇ δὲ ἀξίᾳ τῆς ἀποστολῆς μείζονος. «Ἔθετο γὰρ ὁ Θεὸς ἐν τῇ Ἐκκλησίᾳ», ὡς Παῦλος γράφει, «πρῶτον ἀποστόλους, ἔπειτα προφήτας»[6]. Εἶπε δὲ «Ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μικρότερος»[7], διὰ τὸ ἐν βίβλῳ ζώντων πάντων τὰ ὀνόματα γράφεσθαι καὶ ὡς μεταγενεστέρου εἰκότως ὕστερον τετάχθαι τὸ αὐτοῦ ὄνομα. Τινὲς δὲ τὸ μέρος τοῦτο, περὶ τοῦ Δεσπότου ἐνόησαν, μικρότερον μὲν κατὰ τὴν τοῦ δούλου μορφήν, καθ' ἣν ἥσσων προφητῶν καὶ ἱερέων ὑπωπτεύετο τυγχάνειν, μείζονα δὲ κατὰ τὴν θεότητα. Ὥστε καὶ κατὰ ταῦτα τὸ «μείζων»[8] καὶ τὸ «πέμψας»[9] τῷ πρὸς τὸν Πατέρα ὁμοουσίῳ μείωσιν οὐ ποιεῖ. Καὶ ὅπερ δὲ εἴρηται πρὸ βραχέος, δοκεῖ πως ὁ κομψίᾳ λόγων χρώμενος καὶ ὁ ἑαυτῷ ἀεὶ ἀπονέμων τὰ πρωτεῖα καὶ τιμὴν ἀπαιτῶν, οἴησιν ἔχειν· ἡ δὲ οἴησις, ὑπερηφανία τίς ἐστιν. Οὐδὲν δὲ πρὸ τῆς ὑπερηφανίας ἠτίμασεν· οὐδὲ γὰρ μείζονος μᾶλλον μέλει τῷ Θεῷ ἢ μήποτε πλέον τοῦ μικροτέρου. Ἔχει γὰρ ἅπαξ, κἂν αὐτὸς μὴ λέγῃ, σύμφυτον τὸ μεῖζον· καὶ οὐδεὶς τῶν εὐγνωμόνων περὶ τούτου ἀμφισβητεῖ. Δι' ἃ δή φησιν· «Ἐὰν ἐγὼ ἐμαυτῷ μαρτυρῶ, ἡ μαρτυρία μου **[888]** οὐκ ἔστιν ἀληθής· ἔστιν ὁ Πατήρ μου ὁ μαρτυρῶν μοι»[10]. Ἀλλ' ἵνα μὴ καὶ τοῦτο πρὸς σμικρότητος αὐτοῦ νομισθείη, ἑτέρωθι λέγει· «Κἂν ἐγὼ μαρτυρῶ ἐμαυτῷ, ἡ μαρτυρία μου ἀληθής ἐστιν»[11]. Καὶ ἐν τῷ πρώτῳ δὲ λόγῳ ἱκανῶς ἐδείχθη περὶ τοῦ «μείζων» μήτε κατ' οὐσίαν ἢ δύναμιν ἢ δόξαν τὴν ἄνω εἰρῆσθαι. Φασὶ δὲ καὶ οἱ παρ' Ἕλλησιν δόκιμοι

---

1. Ματθ. 22,44. 2. Ἰω. 14,28. 3. Αὐτόθι. 4. Ματθ. 11,11. 5. Αὐτόθι. 6. Α' Κορ. 12,28. 7. Ματθ. 11,11. 8. Ἰω. 14,28. 9. Πρβλ. Ἰω. 5,37. 10. Πρβλ. Ἰω. 5,31. 11. Ἰω. 8,13.

Ἀθάνατος δὲ Θεὸς πανυπέρτατος αἰθέρι ναίων,
Ἄφθιτος, ἀστυφέλικτος, ἀίδιος, αἰὲν ὅμοιος.

ΚΕΦΑΛΑΙΟΝ Ι΄

«Ὁ Πατήρ ἐντολήν μοι δέδωκε, τί εἴπω καὶ τί λαλήσω». Περὶ δὲ τοῦ Ἁγίου Πνεύματος· «Ἀφ' ἑαυτοῦ οὐ λαλήσει»· καί· «Ἀπ' ἐμαυτοῦ οὐκ ἐλάλησα»· καί· «Καθὼς ἐνετείλατό μοι ὁ Πατήρ, οὕτω ποιῶ»· καί· «Ὁ λόγος ὃν ἀκούετε, οὐκ ἔστιν ἐμός, ἀλλὰ τοῦ πέμψαντός με».

Α΄. Οὐκ ἐνόησαν, ὡς ἐστιν ἐπὶ τῶν ἀκροτάτων καὶ ἀπερινοήτων ὑποστάσεων θέμις καὶ τὸ «Ὁ Πατὴρ ἐντολήν μοι δέδωκεν, τί εἴπω, καὶ τί λαλήσω»[1]. Περὶ δὲ τοῦ Ἁγίου Πνεύματος· «Ἀφ' ἑαυτοῦ οὐ λαλήσει», ἀλλ' «ἐκ τοῦ ἐμοῦ λήψεται καὶ ἀναγγελεῖ ὑμῖν»[2]· καὶ ἑτέρωθι· «Ἐγὼ ἀπ' ἐμαυτοῦ οὐκ ἐλάλησα»[3]· καὶ πάλιν· «Καθὼς ἐνετείλατό μοι ὁ Πατήρ, οὕτω ποιῶ»[4]· καὶ πάλιν· «Ὁ λόγος ὃν ἀκούετε, οὐκ ἔστιν ἐμός, ἀλλὰ τοῦ πέμψαντός με»[5]· καὶ ὅσα τοιαῦτα. Τοιούτοις γὰρ ἐχρήσατο ῥήμασιν ὁ Δεσπότης, ὡς λόγος ὢν τοῦ Πατρός, ἐνδείξασθαι ἡμῖν βουλόμενος τὴν ἕνωσιν τῆς φύσεως καὶ τὴν ἄρρητον συμφωνίαν τῆς Ἁγίας Τριάδος καὶ ὡς κοινὰ αὐτῆς ἐστι τὰ διδάγματα καὶ οὐ διεστῶτα. Πᾶν γὰρ κτίσμα, ἐὰν ᾖ λογικόν, ἔχει θέλημα ἴδιον· ὅ, ὡς γέγραπται, κατασιγάζει, ἵνα τὸ τοῦ Θεοῦ θέλημα εἴπῃ. Διὸ ποτὲ μὲν τὰ ἑαυτοῦ λαλεῖ καὶ ποιεῖ, ποτὲ δὲ τὰ τοῦ Θεοῦ· καὶ εἰς ἕνια μὲν συμπνέει τῷ ὁμοίῳ ἀνθρώπῳ· εἰς ἕνια δέ, ἕτερα βούλεται. Ὁ γὰρ Θεὸς Λόγος ἐξουσιαστὴς ὢν καὶ σοφία, ἔτι μὴν καὶ τὸ Ἅγιον Πνεῦμα τοῦ Θεοῦ ἐκπορευόμενον παρ' αὐτοῦ καὶ κατὰ τὸν Ἀπόστολον, ἐρευνῶν τὰ βάθη αὐτοῦ καὶ μόνον εἰδὸς τὰ τοῦ Θεοῦ, κατ' ἐξουσίαν παρέχον τὰς θείας δωρεάς, οὐκ ἀναμένει ἀκοῦσαι καὶ οὕτως εἰπεῖν ἢ ποιῆσαι, ὡς τὰ κτίσματα, ἅπερ πέφυκεν οὐ μόνον τοῦ Θεοῦ τὸ θέλημα ἀγνοεῖν ἀλλ' ἔσθ' ὅτε καὶ μὴ ποιεῖν· ὡς ἡνίκα λέγῃ, ὁ μὲν Ἀβραὰμ ἐνδοιάζων· «Μή τι, Κύριε, ἐὰν λαλήσω»[6]; Ὁ δὲ Μωϋσῆς παραιτούμενος· «Ἰσχνόφωνος καὶ βραδύγλωσσός εἰμι ἐγώ»[7]· καί· «Δέομαι, Κύριε· οὐ δύναμαι μόνος φέρειν τὸ βάρος τοῦ λαοῦ τούτου· προχείρισαι ἄλλον σεαυτῷ»[8]. Καὶ Ἀαρὼν καὶ Μαριὰμ οἰκείᾳ κινήσει ἐθρασύνθησαν κατὰ Μωϋσέως, ὅτε καὶ ἐλεπρίασεν ἡ Μαριὰμ[9]

---

1. Ἰω. 5,49. 2. Πρβλ. Ἰω. 16,13,14. 3. Πρβλ. Ἰω. 12,49. 4. Ἰω. 14,31. 5. Ἔνθ' ἀν. 14,24. 6. Γεν. 18,30. 7. Ἐξ. 4,10. 8. Ἐξ. 4,13. Ἀρ. 9,14. 9. Ἀρ. 12,2,9,10.

καὶ ὠργίσθη θυμῷ Κύριος. Ἀλλὰ καὶ Δαυΐδ, τὸ ἑαυτοῦ θέλημα ποιῶν καὶ ἀριθμῶν τὸν λαόν, ἐπιτιμᾶται[1]. Καὶ **[889]** Ἱερεμίας δέ, παρὰ σκοπὸν τοῦ ἀνεξικάκου καὶ ἀμνησικάκου Θεοῦ εἰπὼν «Νεώτερός εἰμι ἐγὼ καὶ οὐ δύναμαι προφητεύειν»[2] ἀκούει· «Μὴ λέγε, ὅτι Νεώτερός εἰμι ἐγώ»[3]. Καὶ ὁ Ἰωνᾶς δέ, ἴδιον καὶ οὐ τοῦ Θεοῦ ποιῶν θέλημα, πλοίῳ ἐπιβάς, φεύγει εἰς θαρσεῖς ἐκ προσώπου τοῦ παντακοῦ ὄντος Κυρίου[4]. Καὶ Παῦλος περὶ τῶν ἀποστόλων Γαλάταις φησίν· «Ἀλλ' ὅτε εἶδον ὅτι οὐκ ὀρθοποδοῦσι πρὸς τὴν ἀλήθειαν τοῦ Εὐαγγελίου εἶπον τῷ Κηφᾷ ἔμπροσθεν πάντων»[5] τάδε. Ἵνα δὲ πληροφορηθῶσιν οἱ ἄπιστοι εἴγε δὴ ἄρα καὶ πληροφορηθῶσιν, ἀνάγκη μακρῦναι τὸν λόγον. Πρὸ τῆς ἐν κόσμῳ παρουσίας τοῦ Υἱοῦ τοῦ Θεοῦ, ἐφάνησαν ψευδόχριστοι καὶ ψευδοπροφῆται, ὡς Ἰούδας ὁ Γαλιλαῖος, καθὼς ἔχουσιν αἱ Πράξεις τῶν ἀποστόλων[6], πλανῶντες καὶ οὐ τὰ τοῦ Θεοῦ καὶ τοῦ νόμου αὐτοῦ διδάσκοντες· περὶ ὧν καὶ Ἰεζεκιὴλ προφητεύει· «Ζῶ ἐγώ, λέγει Κύριος· ἐπὶ τοὺς προφήτας, τοὺς πλανῶντας τὸν λαόν μου, οὐκ ἀπέστειλα αὐτούς· ἀφ' ἑαυτῶν ἐλάλησαν»[7].

Β'. Ἐλθὼν τοίνυν ὁ ἀληθινὸς Χριστός, ὑπενοήθη πλάνος. Ἔχει γὰρ τὸ Εὐαγγέλιον ὡς ἐν τῇ ἑορτῇ τῶν Σκηνοπηγίων ἐζήτουν τὸν Ἰησοῦν οἱ ὄχλοι, λέγοντες· «Ποῦ ἐστι»· Καὶ ἦν περὶ αὐτοῦ διαφωνία· «οἱ μὲν ἔλεγον· Ἀγαθός ἐστιν· ἄλλοι ἔλεγον· Οὐχί· πλανᾷ τὸν ὄχλον»[8]. Καὶ πάλιν οἱ ἀρχιερεῖς λέγουσι τῷ Πιλάτῳ· «Οἴδαμεν, Κύριε, ὅτι εἶπεν ὁ πλάνος ἐκεῖνος ἔτι ζῶν· Μετὰ τρεῖς ἡμέρας ἐγείρομαι»[9]. Εἶπεν οὖν ὁ Σωτήρ, περὶ μὲν ἐκείνων οὕτως «Ὅσοι ἦλθον πρὸ ἐμοῦ κλέπται ἦσαν καὶ λῃσταί· ἀλλ' οὐκ ἤκουσεν αὐτῶν τὰ πρόβατα[10]. Τὰ ἐμὰ πρόβατα τῆς ἐμῆς φωνῆς ἀκούουσιν καὶ γνωρίζει τὴν φωνήν μου καὶ ἀκολουθεῖ μοι»[11], περὶ δὲ ἑαυτοῦ «Ἐγὼ ἀπ' ἐμαυτοῦ οὐ λαλῶ»[12]· ὡς ἐκεῖνοι δῆλον ὅτι, Προειδὼς δὲ καὶ τὰ μέλλοντα, ὡς Θεός, καὶ ὅτι μετὰ τὴν ἐν οὐρανοῖς ἄνοδον αὐτοῦ καὶ τὴν τοῦ Ἁγίου Πνεύματος ἐπιδημίαν, ἔσονται πάλιν πλάνοι, ὡς Σίμων, ὡς Μοντανός, ὡς Μανιχαῖος, προησφαλίσατο εἰπών· «Ὅταν ἔλθῃ ὁ Παράκλητος, τὸ **[892]** Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, ἐκεῖνος ὑμᾶς ἀναμνήσει τὰ ῥήματά μου, καὶ ὁδηγήσει ὑμᾶς, πρὸς πᾶσαν τὴν ἀλήθειαν· ἀφ' ἑαυτοῦ οὐ λαλήσει»[13]· ἀντὶ τοῦ, Τῷ Ἁγίῳ Πνεύματι μὴ ἀπιστήσητε, τὰ αὐτὰ λέγοντι καὶ διδάσκοντι, ἅπερ ἐγώ· Οὐ γὰρ ἑτερόβουλον, οὐδ' ἑτεροούσιον· τοῖς δὲ Πνεῦμα Ἅγιον λέγουσιν ἔχειν, καὶ μὴ λαλοῦσι τὰ ἐμὰ καὶ τὰ τῶν προφητῶν, μὴ πιστεύσητε· μή τε μὴν ἀνάσχησθε Μανιχαίου, μὴ προσιεμένου τὴν Παλαιὰν Διαθήκην, ἀλλ' ἀπανθρωπίαν καταψηφιζομένου τοῦ ἀγαθοῦ Πατρός, τοῦ σὺν ἐμοὶ λαλοῦντος καὶ ποιοῦντος τὰ φιλάνθρωπα. Πρὸς τούτοις Λόγος

---

1. Πρβλ. Β' Βασ. 24,12. 2. Ἱερ. 1,6-7. 3. Αὐτόθι. 4. Πρβλ. Ἰω. 1,3. 5. Γαλ. 2,14. 6. Πρβλ. Πράξ. 5,37. 7. Πρβλ. Μιχ. 3,5. Ἰεζ. 13,6. 8. Πρβλ. Ἰω. 7,11-12. 9. Πρβλ. Ματθ. 27,63. 10. Πρβλ. Ἰω. 10,8. 11. Ἰω. 10,27. 12. Ἰω. 14,10. 13. Πρβλ. Ἰω. 14,26. 15,26. 16,13.

ὢν τοῦ Θεοῦ ἐνυπόστατος ὁ Υἱὸς καὶ ὢν ἐν τῷ Πατρὶ καὶ τὸν Πατέρα ἔχων ἐν ἑαυτῷ, εἰκότως ἀφ' ἑαυτοῦ οὐ λαλεῖ· ἀλλ', ὡς προγέγραπται, τὰ τοῦ Θεοῦ λαλεῖ, ἅτε δὴ Θεὸς ἄρρητος βλέπων εἰς τὸ θέλημα τοῦ Πατρός· καὶ τὸ Ἅγιον Πνεῦμα ὁμοίως, ἅτε θεῖον Πνεῦμα. Νοητέον καὶ ἄλλως· Τοῦ Λόγου τοῦ Πατρὸς φάσκοντος· «Τὸ Πνεῦμα ἀφ' ἑαυτοῦ οὐ λαλήσει, ἀλλ' ἐκ τοῦ ἐμοῦ λήψεται»[1]· ὁρᾶται ὁ σύνδεσμος τῆς οὐσίας καὶ τοῦ ἑνὸς θελήματος τῆς Τριάδος. Οὐκ εἰπόντος δὲ αὐτοῦ, Ἀφ' ἑαυτοῦ οὐ λαλεῖ, ἀλλ' «οὐ λαλήσει»[2], δείκνυται, ὡς ἐπί τινι καιρῷ καὶ πράγματι ἐλέχθη τό, «οὐ λαλήσει»[3]. Ἐπείτοι τῷ Μωϋσεῖ, ὡς προείρηται, παραιτουμένῳ λέγει ὁ Θεός· «Ἐπίλεξαι ἑβδομήκοντα πρεσβυτέρους καὶ λήψομαι ἀπὸ τοῦ Πνεύματος τοῦ ἐν σοὶ καὶ δώσω ἐπ' αὐτούς»[4]· καὶ ὅμως οὐχ ὡς ἐνδεὴς ἐλάμβανεν ἀπὸ τοῦ Πνεύματος τοῦ ὄντος ἐν τῷ Μωϋσεῖ. Πάλιν γοῦν ἄλλοτε ἐξουσιαστικῶς καὶ δεσποτικῶς ποιεῖν καὶ φθέγγεσθαι τὸν Μονογενῆ καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ μαρτυρεῖ ἡ Γραφὴ οὑτωσί· «περὶ μὲν τοῦ Υἱοῦ, ὡς ἡνίκα λέγῃ Δαυΐδ· «Ὁ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ πάντα, ὅσα ἠθέλησεν, ἐποίησεν»[5]· Ἡσαΐας δέ· «Ἰσχυρὸς ἐξουσιαστής»[6]· καὶ ὡς ὅτε κατ' ἐξουσίαν ἐνεργεῖ, θείαν δύναμιν καὶ θαύματα ἐπετέλει, ὡς προελέχθη Περὶ δὲ τοῦ Ἁγίου Πνεύματος, ὡς ἡνίκα ὁ Κύριος διδάσκῃ· «Τὸ Πνεῦμα ὅπου θέλει πνεῖ»[7]. Παῦλος δέ· «Πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται»[8].

ΚΕΦΑΛΑΙΟΝ Κ'

Ὅταν παραδιδῷ τὴν βασιλείαν τῷ Θεῷ καὶ Πατρὶ καὶ ὅτ' ἂν ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς ὁ Υἱὸς ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα, ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσιν. Ἐν ταυτῷ, ὅτι τὴν οἰκονομίαν, ὅτε ἀνθρωποι, τότε καὶ ἄγγελοι διὰ τοὺς ἀνθρώπους ἔγνωσαν.

[893] Α'. Ἀποτίθεσθαι τὸν Μονογενῆ τὴν βασιλείαν καὶ μὴ εἶναι βασιλέα αἰώνιον, ὑποτάσσεσθαί τε τῷ Θεῷ, ὡς τινα ἀντίθεον (ἵλεως δὲ ἡμῖν ἔστω) καὶ εἶναι μόνον «τὰ πάντα ἐν πᾶσι»[9] τὸν Πατέρα φαντάζονται, ἀφ' ὧν Κορινθίοις Παῦλος ἔγραψε τοιάδε· «Ὅταν παραδιδῷ τὴν βασιλείαν τῷ Θεῷ καὶ Πατρί, ὅταν καταργήσῃ πᾶσαν ἀρχήν, καὶ ἐξουσίαν καὶ δύναμιν· δεῖ γὰρ αὐτὸν βασιλεύειν, ἄχρις οὗ ἂν θῇ

---

1. Ἰω. 16,13,14. 2. Αὐτόθι. 3. Αὐτόθι. 4. Ἀριθ. 11,16-17. 5. Πρβλ. Ψαλ. 113,11. 6. Ἡσ. 9,6. 7. Ἰω. 3,8. 8. Α' Κορ. 12,11. 9. Α' Κορ. 15,28.

πάντας τοὺς ἐχθροὺς αὐτοῦ ὑπὸ τοὺς πόδας αὐτοῦ. Ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος· πάντα γὰρ ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ. Ὅταν δὲ εἴπῃ· Τὰ πάντα ὑποτέτακται, δῆλον, ὅτι ἐκτὸς τοῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα· ὅταν δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε αὐτὸς ὁ Υἱὸς ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα, ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσι»[1]. Καὶ εἰς τοῦτο δέ, ὅτι περὶ τὴν τοῦ δούλου μορφὴν ἐλεῖσθαι ὀφείλομεν τὸν νοῦν ἀκριβῶς· εἴ γέ τις ἀναλογιζόμενος ὅπερ εἰ θεϊκῶς ὑποτάσσεται, ἀπ' ἀρχῆς ἂν ὑπετέτακτο. Ἔτι δὲ καὶ ἐκ τῆς προφητείας Δανιήλ, ἐχούσης ὧδέ πως κατὰ λέξιν· «Ἐθεώρουν ἐν ὁράματι τῆς νυκτὸς καὶ ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ, ὡς Υἱὸς ἀνθρώπου ἐρχόμενος καὶ ἕως τοῦ Παλαιοῦ τῶν ἡμερῶν ἔφθασεν· καὶ προσήχθη αὐτῷ καὶ αὐτῷ ἐδόθη ἡ ἀρχὴ καὶ ἡ τιμὴ καὶ ἡ βασιλεία· καὶ πάντες οἱ λαοί, φυλαί, γλῶσσαι δουλεύσουσιν αὐτῷ· ἡ ἐξουσία αὐτοῦ ἐξουσία αἰώνιος, ἥτις οὐ παρελεύσεται· καὶ ἡ βασιλεία αὐτοῦ οὐ διαφθαρήσεται»[2]. Παλαιὸν γὰρ ἡμερῶν τὸν Πατέρα λέγει· ὡς Υἱὸν δὲ ἀνθρώπου προσαχθέντα αὐτῷ, ᾧτινι ἐδόθη ἡ ἀρχὴ καὶ ἡ τιμὴ καὶ ἡ βασιλεία, τὸν σύμμορφον τῆς ταπεινώσεως ἡμῶν δηλοῖ. Ἐὰν οὖν μὴ δώσωσι, διὰ τοῦτο εἰρῆσθαι τῷ Ἀποστόλῳ καὶ τῷ προφήτῃ τὰ προκείμενα, λείπεται αὐτοὺς παραγράψασθαι τὸν ἕτερον. Ἀπὸ γὰρ τοῦ ἀποστολικοῦ ῥητοῦ, νῦν μὲν βασιλεύει ὁ Υἱός, μετὰ δὲ τὴν ἀνάστασιν ἀποτίθεται, κατ' αὐτούς. Ἀπὸ δὲ τῆς προφητείας, νῦν μὲν οὔπω βασιλεύει «ὁ Βασιλεὺς τῶν βασιλευόντων καὶ Κύριος τῶν κυριευόντων»[3], τότε δὲ ἄρχεται, μετὰ τοῦτο ἔμπαλιν φαίνεσθαι ἐπὶ τοῦ Θεοῦ καὶ Πατρός. Εὑρίσκεσθαι δὲ πρὸς τούτοις, ὅτι τῇ μὲν Παρθένῳ Μητρὶ αὐτοῦ καὶ τῷ Ἰωσὴφ ὑπετάγη εἰς τὴν οἰκονομίαν, ἐκὼν δὲ δῆλον ὅτι καὶ οὐκ ἀνάγκῃ, οὐδὲ καταβάλλων τι τοῦ βασιλικοῦ γέρως, μᾶλλον δὲ τῇ συγκαταβάσει δεικνὺς τὸ ὑπέρογκον τῆς θεότητος καὶ τὸ πρᾶον τῆς Δημιουργοῦ δυνάμεως καὶ οἰκονομῶν τὸ ἡμᾶς πατράσι πείθεσθαι· οἷς **[896]** τὸ τιμᾶσθαι δικαίως δέδωκεν αὐτός, ὡς παρὰ Λουκᾷ εἶπεν· «Τί ὅτι ἐζητεῖτέ με; Οὐκ ᾔδειτε ὅτι ἐν τῷ οἴκῳ τοῦ Πατρός μου δεῖ με εἶναι; Καὶ κατῆλθε», φησίν, «εἰς Ναζαρὲθ καὶ ἦν ὑποτασσόμενος αὐτοῖς»[4]. Τῷ δὲ Πατρὶ καὶ τῷ Θεῷ οὐδέπω, κατ' αὐτούς, ὑπετάγη· καὶ ἐψεύσθη μὲν παρὰ Παύλου Φιλιππησίοις ἐπιστέλλοντος· «Γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ»[5]. Ὥσπερ οὖν ἴσα Θεῷ[6] καὶ ἐν μορφῇ Θεοῦ ὑπάρχων[7]· οὐ δι' ἑαυτὸν ἀλλ' ὑπὲρ ἡμῶν ἁμαρτία γέγονε[8] καὶ κατάρα[9]· οὕτως, οὐ δι' ἑαυτόν, ἀλλὰ δι' ἡμᾶς γέγραπται παραδώσων καὶ ὑποταγησόμενος· ἐπειδὴ διὰ φιλανθρωπίαν γέγονεν ἀσυγχύτως, ὅπερ ἐσμέν, ἐκτὸς ἁμαρτίας, μείνας εἷς καὶ ὁ αὐτός. Πῶς γὰρ ὁ πάντων ποιητὴς

---

1. Α' Κορ. 15,28. 2. Δαν. (Θδτ.) 7,13-14. 3. Α' Τιμ. 6,15. 4. Λουκ. 2,49,51. 5. Φιλιπ. 2,8. 6. Φιλιπ. 2,6. 7. Αὐτόθι. 8. Α' Πέτρ. 2,24. 9. Πρβλ. Γαλ. 3,13.

καὶ πάντων κρατῶν· (ἐν τοῖς πᾶσι δὲ τίθενται καὶ οἱ αἰῶνες), ὁ προφητευθεὶς πρῶτος καὶ εἰς τὰ ἐφεξῆς καὶ Παντοκράτωρ, δύναται εἰς τοὺς ἐφεξῆς αἰῶνας μὴ κρατεῖν καὶ βασιλεύειν σὺν Πατρὶ καὶ Πνεύματι, καθὰ καὶ νῦν καὶ ἀεί.

Β′. Ὅτι δὲ ἀτελεύτητος αὐτοῦ ἡ βασιλεία ὑπάρχει (μία γάρ ἐστιν ἀδιαίρετος τῆς Τριάδος), ἐν τῷ πρώτῳ λόγῳ ἐμαρτυρήθη ἐξεργαστικώτερον, ἐν οἷς Γαβριὴλ εὖγε φαίνεται εἰρηκώς· «Βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰσραὴλ εἰς τοὺς αἰῶνας καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος»[1]· καὶ Δαυΐδ· «Ὁ θρόνος σου, ὁ Θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ῥάβδος εὐθύτητος, ἡ ῥάβδος τῆς βασιλείας σου· ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀδικίαν· διὰ τοῦτο ἔχρισέ σε, Θεέ, ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου»[2]. Περὶ δὲ τοῦ γράφειν, «Ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσι»[3], μάλιστα μὲν ἀδιακρίτως ἔχει Θεόν, ὅμως παραπλήσια τούτου ὁ αὐτὸς Ἀπόστολος γράφει περὶ τοῦ Υἱοῦ, Ῥωμαίοις μέν· «Ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεός»[4]. Κολοσσαεῦσι δὲ περὶ τοῦ μέλλοντος αἰῶνος διαλεγόμενός φησιν· «Ὅπου οὐκ ἔνι Ἕλλην καὶ Ἰουδαῖος, Σκύθης, δοῦλος, ἐλεύθερος, ἀλλὰ τὰ πάντα ἐν πᾶσι Χριστός»[5]· καὶ πάλιν περὶ τῆς Ἐκκλησίας γράφων φησίν· «Ἥτις ἐστὶ τὸ σῶμα τοῦ τὰ πάντα
[897] ἐν πᾶσιν πληροῦντος Χριστοῦ»[6]· καὶ ἀλλαχοῦ· «Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας»[7]· καὶ πάλιν· «Ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων· καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται»[8]· «Εἷς Κύριος Ἰησοῦς Χριστός»[9]· Καὶ γὰρ εἰ μὴ διέσφαλται τό· «Ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος»[10]· καὶ τό· «Ἐν αὐτῷ κόσμον καταλλάσσων»[11]· καὶ τό· «Ἐν αὐτῷ εὐδόκησε πᾶν τὸ πλήρωμα κατοικῆσαι καὶ δι' αὐτοῦ ἀποκαταλλάξαι τὰ πάντα εἰς αὐτόν»[12], οὐχὶ δὲ εἰς ἄλλον· τῇ θεότητι αἱρεσιομάχοι διεσάφησαν· οὐ μόνον ὡς Υἱῷ πρὸς Πατέρα κοινωνίαν, ἀλλ' οὐδὲ ὡς φίλῳ πρὸς φίλον ἰσότητα συγκτητορίας παραχωροῦντες αὐτῷ. Ἰωσαφὰτ γὰρ βασιλεὺς Ἰούδα πρὸς Ἀχαὰβ βασιλέα Ἰσραὴλ τῆς φιλίας τὴν κοινωνίαν ἐνδεικνύμενος, ἔλεγεν· «Καθὼς σύ», φησίν, «οὕτως κἀγώ· καὶ καθὼς ὁ λαός σου, οὕτως καὶ ὁ λαός μου· καὶ καθὼς οἱ ἵπποι σου, οὕτως καὶ οἱ ἵπποι μου»[13]· καὶ τῷ παρ' αὐτοῦ μὴ τεχθέντι, τῆς ἰδίας προετίθει βασιλείας ὁμοτιμίαν. Ὁμοίως δὲ καὶ τοῖς μαθηταῖς ἦν, φησί, κατὰ τὴν Γραφὴν διὰ τὸν Χριστὸν ἅπαντα κοινὰ καὶ ἀμέριστα. Ἀναιδέστερα τοίνυν τὰ αἱρετικῶν ῥήματα τῶν τοῦ διαβόλου. Ἐκεῖνος μὲν γὰρ ὁ Θεομισὴς τὴν οἰκονομίαν οὐδέπω μαθών, τὴν ὅτε ἡμῖν τότε καὶ ἀγγέλοις γνωσθεῖσαν· («οὔπω»[14] γὰρ αὐχηματικώτερόν φημι, ὅτε καὶ δι' ἡμῶν, πειθόμενος Παύλῳ

---

1. Λουκ. 1,32. 2. Ψαλ. 44,8,9. Ἑβρ. 1,8-9. 3. Α′ Κορ. 15,28. 4. Ρωμ. 9,5. 5. Κολ. 3,11. 6. Πρβλ. Ἐφ. 1,23. 7. Ἑβρ. 13,8. 8. Φιλιπ. 2,10-11. 9. Α′ Κορ. 8,6. 10. Κολ. 2,9. 11. Πρβλ. Β′ Κορ. 5,19. 12. Κολ. 1,19-20. 13. Πρβλ. Δ′ Βασ. 3,7. 14. Αὐτόθι.

φανερῶς φθεγγομένῳ· «Ἵνα γνωρισθῇ νῦν ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις διὰ τῆς Ἐκκλησίας ἡ πολυποίκιλος τοῦ Θεοῦ σοφία»[1]), καὶ διὰ τοῦτο πειράζειν τολμῶν, τῇ ἐξουσίᾳ κατελίμπανε τοῦ Σωτῆρος, εἰπών· «Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, βάλε σεαυτὸν κάτω»[2]. Οὗτοι δέ, τὸ τῆς θείας καὶ ἀφράστου γεννήσεως, ὅσον τὸ ἐπ' αὐτοῖς, παραλύοντες ἀξίωμα, τρόπον τινὰ τὸν αἰώνιον ἐκμοχλεύουσι θρόνον καὶ διορίζοντες φάσκουσιν· Ἀπιστοῦμέν σοι λέγοντι· «Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν»[3]· καί· «Πάντα, ὅσα ἔχει ὁ Πατήρ, ἐμά ἐστιν»[4]. Ἀπιστοῦμεν δὲ οὐδὲν ἧττον καὶ τῷ Θεῷ καὶ Πατρὶ φάσκοντι· «Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα»[5]. Τοῦ βασιλικοῦ κατάβηθι θρόνου. Δι' ἃ παρὰ τῷ Λουκᾷ ἐν παραβολῇ φρικτὰ ἀποφαίνεται περὶ αὐτῶν. Λέγει γὰρ τοῖς ἀγγέλοις· «Τοὺς ἐχθρούς μου τούτους τοὺς μὴ θελή-
[900]σαντάς με βασιλεῦσαι ἐπ' αὐτούς, ἀγάγετε ὧδε καὶ κατασφάξατε ἔμπροσθέν μου»[6].

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'

«Πάτερ, εἰ δυνατόν, παρελθέτω τὸ ποτήριον τοῦτο» καὶ περὶ τοῦ· «Σῶσόν με ἐκ τῆς ὥρας ταύτης»· καί· «Θεέ μου, Θεέ μου, ἵνα τί ἐγκατέλιπές με»· καί, «Περίλυπός ἐστιν ἡ ψυχή μου μέχρι θανάτου». «Καὶ περὶ τοῦ δακρῦσαι ἐπὶ Λαζάρῳ καὶ κοπιάσαι καὶ προσεύξασθαι καὶ πεινῆσαι καὶ ὑπνῶσαι καὶ ὅσα τοιαῦτα. Ἐν ταυτῷ, ὅτι μετ' αὐτοῦ ἦν ὁ Πατὴρ καὶ τὸ Ἅγιον Πνεῦμα.

Α'. Προσάπτειν πού τοι τῷ Θεῷ Λόγῳ καὶ οὐ τῇ οἰκονομίᾳ, τὰ ἀνθρωποπαθῶς λεχθέντα βουλόμενοι, σάρκα ἄψυχον γεγενῆσθαι αὐτὸν λέγουσιν· καὶ ὡσανεὶ ὑπ' ἀγωνίας μεταμελομένῳ τῷ ἀτρέπτῳ καὶ ἀκηράτῳ μεγάλῳ Θεῷ ἢ ὡς ἐξ ἀνάγκης καὶ οὐχ ἑκοντὶ καὶ ἀσμένως ἐπὶ ταύτην ἐλθόντι ἢ καὶ ὡς μὴ δυναμένῳ τὴν ἀρχήν, εἰ ἤθελε, τὰ περὶ τὸν σταυρὸν ἀποστῆσαι· οὕτω περιφρονοῦντες τῆς ἀκαταφρονήτου θεότητος, ὀνειδίζουσιν αὐτῷ καὶ τὸ ἐν Ματθαίῳ ἐμφερόμενον· «Πάτερ, εἰ δυνατόν, παρελθέτω τὸ ποτήριον τοῦτο»[7]· καὶ τό· «Σῶσόν με ἐκ τῆς ὥρας ταύτης»[8]· καὶ τὸ ἐν τῷ σταυρῷ εἰρημένον· «Θεέ μου, Θεέ μου, ἵνα τί ἐγκατέλιπές με»[9]· καὶ τό· «Περίλυπός ἐστιν ἡ ψυχή μου μέχρι θανάτου»[10]· καὶ τὸ δακρῦσαι αὐτὸν ἐπὶ Λαζάρῳ[11]· καὶ τὸ ὡσανεὶ κεκοπιακότα ἐξ ὁδοιπορίας ἀναπαύσασθαι»[12]· καὶ τὸ

---

1. Πρβλ. Ἐφ. 3,10. 2. Ματθ. 4,6. 3. Ἰω. 10,30. 4. Ἰω. 16,15. 5. Ματθ. 3,17. 6. Λουκ. 19,27. 7. Ματθ. 26,39. 8. Ἰω. 12,27. 9. Ματθ. 27,46. 10. Ματθ. 26,38. 11. Πρβλ. Ἰω. 11,35. 12. Πρβλ. Ἰω. 4,6.

προσεύξασθαι[1]· καὶ τὴν τῆς τροφῆς ἔφεσιν[2]· καὶ τὴν δίψαν[3]· καὶ τὸν ἐπὶ τοῦ σκάφους ὕπνον[4]· (φεῦ τῆς κακοπιστίας!)· καὶ τό· «Ὤφθη ἄγγελος Κυρίου ἐνισχύων αὐτόν»[5]· καὶ ὅσα τοιαῦτα. Οἷς ἀντιβαίνει πάλιν καὶ ἐπανίσταται τὸ μαρτυρεῖσθαι κατὰ τὴν θεότητα εἶναι ἴσα Θεῷ[6]· καὶ ὡς ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών[7]· καὶ ὅσα προείρηται. Καὶ αὐτὸ τοῦτο, τὸ εἰπεῖν πεποιθήσει, «Πάτερ»· καὶ ὅτι αὐτὸς πάντα τὰ ἔμψυχα ψυχοῖ· καὶ ὅτι οὐχ ὡς ὑπουργὸς ἐφθέγξατό ποτε· «Ἐν τῷ ὀνόματι τοῦ Θεοῦ»[8] ἢ «τοῦ Πατρός μου γενέσθω» ἓν ὧν ἐποίησε θαυμάτων, καθὰ οἱ μαθηταὶ αὐτοῦ τοῖς τε δυσιάτως ἔχουσι καὶ τοῖς σαθρῷ σώματι κεχρημένοις ἔλεγον· «Ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ ἐγέρθητι»[9]· καὶ ἐν τῷ παντοδυνάμῳ καὶ εὐκλεεῖ ὀνόματι τούτῳ ἐποίουν, ὅσα ἦν τῇ κτίσει ὁμοῦ πάσῃ δρᾶσαι ἀδύνατα· ἀλλ' ἰδίᾳ ἐξουσίᾳ ἐνήργει δυνάμεις, συνεχώρει ἁμαρτίας, λέγων βασιλικῶς· «Ἀφέωνταί σοι αἱ ἁμαρτίαι»[10]· ἐκ τοῦ ᾅδου ἐξήρπαζεν, δαίμονας ἐφυγάδευεν, τῇ θαλάσσῃ ἐμβριμούμενος ἐπέταττεν· «Σιώπα, πεφίμωσο»[11]· τοῖς ἀνέμοις ἐπετίμα καὶ ἐκόπαζον[12]· τῷ Πέτρῳ δοὺς τὰς κλεῖς τοῦ οὐρανοῦ, ἔλεγεν· «Ὃ ἐὰν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένον ἐν τοῖς οὐρανοῖς· καὶ ὃ ἐὰν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένον ἐν τοῖς οὐρανοῖς»[13]· τῷ Λα**[901]**ζάρῳ παρεκελεύετο· «Δεῦρο ἐκ τάφων ἔξω»[14]. Ἄλλῳ προσέταττεν· «Νεανίσκε, ἐγέρθητι»[15]· τῷ λεπρῷ ἔφραζεν· «Θέλω, καθαρίσθητι»[16]· ἄλλῳ· «Θάρσει, τέκνον· ἀφέωνταί σοι αἱ ἁμαρτίαι»[17]· ἑτέρῳ· «Ἔγειρε, ἆρον τὸν κράββατόν σου καὶ περιπάτει»[18]· τῷ δαίμονι· «Τὸ ἄλαλον», φησίν, «καὶ κωφὸν δαιμόνιον, ἐγώ σοι ἐπιτάσσω, ἔξελθε»[19]. Καὶ οὐ μόνον ταῦτα ἀντιστήκει, ἀλλὰ καὶ προανηρέθη τῶν ὑβριστῶν ἡ ἔννοια τοῦ «Ἵνα τί ἐγκατέλιπές με»[20]; Τοῦ μὲν Κυρίου παρὰ τῷ αὐτῷ Ἰωάννῃ προαναφωνήσαντος· «Ἰδοὺ ἔρχεται ὥρα καὶ νῦν ἐλήλυθεν, ἵνα σκορπισθῆτε ἕκαστος εἰς τὰ ἴδια καὶ ἐμὲ μόνον ἀφῆτε· καὶ οὐκ εἰμὶ μόνος, ὅτι ὁ Πατήρ μου μετ' ἐμοῦ ἐστιν»[21]· τοῦ δὲ Παύλου Ἑβραίοις ἐπιστείλαντος, ὅτι καὶ τὸ Ἅγιον Πνεῦμα ἀχώριστον αὐτοῦ ἦν· «Εἰ γάρ», φησί, «τὸ αἷμα ταύρων καὶ τράγων καὶ σποδὸς δαμάλεως, ῥαντίζουσα τοὺς κεκοινωμένους, ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς καθαρότητα· πόσῳ μᾶλλον τὸ αἷμα Ἰησοῦ, ὅστις διὰ Πνεύματος Ἁγίου ἑαυτὸν ἄμωμον προσήνεγκε τῷ Θεῷ, καθαρίσει τὰς καρδίας ὑμῶν ἀπὸ συνειδήσεως πονηρᾶς»;

Β'. Τότε δὲ προσήνεγκε διὰ τοῦ Ἁγίου Πνεύματος ἑαυτὸν τῷ Θεῷ, ὅτε εἰς τὸν σταυρὸν ἑκουσίως ἀνέβη. Ὥστε, οὐχ ὡς τῷ ῥήματι δοκεῖ δηλοῦν, ψιλῶς νοεῖν χρή· ἀλλ' ὅτι κἀνταῦθα συγκαταβὰς εἰς πάντα

---

1. Πρβλ. Λουκ. 6,12. 2. Πρβλ. Ματθ. 21,18. 3. Πρβλ. Ἰω. 4,7. 4. Πρβλ. Ματθ. 8,24. 5. Λουκ. 22,43. 6. Φιλιπ. 2,6. 7. Αὐτόθι. 8. Πρβλ. Πράξ. 3,6. 9. Πρβλ. Αὐτόθι. 10. Λουκ. 7,48. 11. Μάρκ. 4,39. 12. Αὐτόθι. 13. Ματθ. 16,19. 18,18. 14. Ἰω. 11,43. 15. Λουκ. 7,14. 16. Ματθ. 8,3. Λουκ. 5,13. 17. Ματθ. 9,2. 18. Μάρκ. 2,9. 19. Μάρκ. 9,25. 20. Ἰω. 16,32. 21. Ματθ. 27,46.

καὶ πτωχεύων τῇ τοῦ δούλου μορφῇ[1] καὶ μεταπλάσας τῷ λόγῳ ἑαυτὸν ἀτρέπτως εἰς τὸ κοινὸν καὶ πᾶσαν τῆς ἐνανθρωπήσεως ἀκολουθίαν φυλάττων καὶ μηδὲν τοῦ χαρακτῆρος τῆς ἀληθείας ἀφανίζων, τὰ πρέποντα ἀνθρώποις χαμαιζήλως, ὥσπερ ἡ ὄντως σοφία, ἐφθέγξατο, πρὸς τὸ καὶ ἡμᾶς ὁμοιουμένους αὐτῷ καὶ τελέως συμμόρφους[2] κατὰ τὸν Ἀπόστολον γινομένους ποιεῖν τὰ πρέποντα καὶ ἀρέσκοντα αὐτῷ καὶ πορεύεσθαι ἀπὸ τῶν γηΐνων ἐπὶ τὰ αἰθέρια. Οἷα δὲ καὶ περὶ τούτου παρὰ τοῖς ἔξω λέλεκται, οὐδὲν οἷον καὶ αὐτῶν ἐκείνων ἀκούειν. Οὕτω γὰρ οὐ μόνον τὴν παρ' ἡμῖν τῶν ἁγίων μεγαλοφωνίαν ἔτι πλέον στέρξομεν, ἀλλὰ καὶ μᾶλλον καὶ μᾶλλον θαυμάσομεν τὴν μίαν ἁπάντων χορηγὸν σοφίαν. Ἔχει δὲ ὧδε·

Πολλάκι γὰρ φθέγγονται, ὅσα σθένος ἐστὶν ἀκοῦσαι
Θνητοῖς· ἄλλα δ' ἔνεστι νοήματα κρείσσονα μύθοις.

[904] Τῶς ἐχρῆν καθαροῖσιν ὑπ' ὄμμασιν ὀξέα λεύσσειν.
Καὶ πρὸς ἀληθείην Θεοῦ ὄλβια δέχνυσο δῶρα,
Ἄλλην θειοτέρην μύθων πρὸς ἀτραπὸν ὁδεύων.

Πῶς γὰρ ἂν ἐπληροφορήθημεν, ὅτι τὰς ἀσθενείας ἡμῶν, κατὰ τὸ γεγραμμένον, εἰς τὸν τίμιον ἀνήνεγκε σταυρόν, ὥστε διὰ τούτου κρείττονα παρασχεῖν τοῖς ἀνθρώποις κατάστασιν, εἰ μὴ πρότερον αὐτάς, καθ' ὃν οἶδε τρόπον, εἰς ἑαυτὸν ἀνέλαβέ τε καὶ ἔδειξεν;

Γ'. Πῶς δὲ ἂν εὐκρινὲς κατέστη, ὡς σὰρξ ἔμψυχος ἐγένετο ἀληθῶς καὶ οὐ φαντασίᾳ, οἰηθέντων αὐτόν, Μανιχαίων μὲν σῶμα δοκήσει ἐσχηκέναι, Ἀρειανῶν δὲ ἄψυχον γεγενῆσθαι, εἰ μὴ εἶπε «Περίλυπός ἐστιν ἡ ψυχή μου»[3] καὶ δειλίαν ἔδειξε καὶ βρωμάτων καὶ πομάτων καὶ ὕπνου μετέλαβε; Τὰ γὰρ τοιαῦτα οὔτε θεότητι ἁρμόττει οὔτε σαρκὶ ἀψύχῳ. Περὶ μὲν τὸ σῶμα θεωρεῖται τὰ πάθη μόνον τὰ αὐτοῦ τοῦ σώματος φθαρτικά, οὐ μὴν τὰ λογισμῶν ἐρημίᾳ τῶν χρησίμων ἡμῖν ἐπιγιγνόμενα· περὶ δὲ τὴν ψυχὴν καταλαμβάνονται αἱ ὑπὲρ τῶν παθῶν φροντίδες. Διὸ καὶ οἱ ἔξω παραγγέλλουσι περὶ τῆς ἐμπλήκτου ἀνοίας·

Φεῦγε τάχος χθονίων παθέων ἄπο, τηλόσε φεῦγε,
Ψυχῆς ὄμμα φέριστον ἔχων καὶ ἀκλινέας αὐγάς.

---

1. Πρβλ. Φιλ. 2,6. 2. Πρβλ. Ρωμ. 8,29. 3. Μάτθ. 26,38.

Σώματος ὡς ἀνέχοιτο μέγα βρίθοντα χαλινά,
Ἐκ καθαρῆς ψυχῆς τε καὶ αἰθερίης πατρὸς αἴγλης.

Ἐπισκοπούμενοι τοίνυν οὐχ ἥκιστα καὶ τὰ ἄλλα γραφικά, τὰ μακρὰν ἀπέχοντα τῶν αἱρετικῶν κακονοιῶν, ὡς ἤδη μοι εἴρηται, μαθησόμεθα, ὅτι οὐ δείδιεν ὁ τροπῆς καὶ πάθους παντὸς ἀμέτοχος Θεός, ὁ ἑκοντί, κατὰ τὸν Ἀπόστολον Γαλάταις γράφοντα· «Ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ ἐξουσίας[1] καὶ δοὺς ἑαυτὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, ὅπως ἐξέληται ἡμᾶς ἐκ τοῦ αἰῶνος τοῦ ἐνεστῶτος πονηροῦ[2]· ὁ ἐπιπλήξας Πέτρῳ δυσχεράναντι, ἡνίκα προέλεγε δεῖν σταυρωθῆναι αὐτὸν καὶ ἀποθανεῖν καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι[3]· ὁ ἐθελοντὴς ἐπὶ τὸν σταυρὸν ἀνελθὼν καὶ ἠγαλλιωμένος ὡς γίγας δραμεῖν ὁδόν· ὁ τῷ ζωοποιῷ αὐτοῦ θανάτῳ τὸν θάνατον θανατώσας[4] καὶ πάντας ἐκ θανάτου λυτρούμενος· οὗ ἡ αὐτεξούσιος ἐνέργεια καὶ ἄλλο πλῆθος θανάτῳ χρόνιον ἅμα αὐτῷ συνανέστησεν καὶ ὅλῃ τῇ ἀνθρωπείᾳ φύσει ἀναστάσεως ἐλπίδα ἐδωρήσατο· ὁ πᾶσιν ἄφοβον κατασκευάσας τὸν ὑπὲρ αὐτοῦ θάνατον καὶ πόθον τὸ **[905]** πάθος ἀναδείξας καὶ ποιήσας μὴ φεύγειν καλὴν τελευτὴν διὰ τὸν φόβον, ἀλλὰ καταστέλλειν τῷ τοῦ Θεοῦ θελήματι, ὡς τοὺς πιστῶς αὐτῷ προσανέχοντας, ἀλύπως καὶ ἀταράχως παθήματα καὶ θάνατον δι' αὐτὸν ὑποδέχεσθαι, σὺν Παύλῳ βοῶντας· «Ἐμοὶ τὸ ζῆν Χριστὸς καὶ τὸ ἀποθανεῖν κέρδος»[5]. Θνητὸν μὲν γὰρ δὴ διὰ σὲ θάνατον, κἂν ἀρετῇ βίου πεποιθὼς ᾖ, εἰκός ἐστιν· τὸν δὲ ἀθάνατον Θεὸν ἀθανασίαν ἀποβαλεῖν καὶ δειλίαν ἀναλαβεῖν ἀδύνατον.

Δ'. Ἀλλὰ καὶ θανάτου, ὡς οἶδεν καὶ ἠθέλησεν, ἐγεύσατο σαρκὶ καὶ ἀθάνατος διέμεινε, ζωὰς καὶ τότε πᾶσιν χορηγῶν. Ἐπείτοιγε καὶ ἀδυναμία μερικῶς περιάπτεται τῷ Πατρὶ διὰ τό, «Εἰ δυνατόν»· καὶ δειλία ἡ οὐκ οὖσα κατηγορεῖται τοῦ Υἱοῦ διὰ τό, «παρελθέτω»[6]· καὶ ἀπροαίρετος ἀναφαίνεται ἡ εἰς τὸν σταυρὸν φιλάνθρωπος καὶ αὐτοπροαίρετος ἄνοδος καὶ ἀνόρμητος αὐτοῦ ἡ εἰς ᾅδου κρατερὰ καὶ ἐμβριθὴς κάθοδος καὶ ψευδὴς εὑρίσκεται ὅ τε Ἰωάννης λέγων· «Ζωή ἐστιν»[7]· καί· «Οὓς θέλει, ζωοποιεῖ»[8]· ὅ τε Παῦλος κηρύττων· «Ἑαυτὸν ἐκένωσεν, μορφὴν δούλου λαβών»[9]· καί, «Ἐταπείνωσεν ἑαυτὸν ὑπήκοος γενόμενος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ»[10]· τοῦτ' ἔστιν, ἀνασχόμενος ἕως σταυροῦ· οὐ γὰρ ἁπλῶς ἔφη μέχρι θανάτου· ὅ τε Κύριος εἰπών· «Ἐγώ εἰμι τὸ φῶς»[11]· «ἐγώ εἰμι ἡ ζωὴ καὶ ἡ ἀνάστασις»[12]· καί· «Ἐγὼ τίθημι τὴν ψυχήν μου, ἵνα πάλιν λάβω αὐτήν. Οὐδεὶς

---

1. Κολ. 2,15. 2. Πρβλ. Γαλ. 1,4. 3. Λουκ. 24,7. 4. Πρβλ. Ἑβρ. 2,14. 5. Φιλιπ. 1,21. 6. Ματθ. 26,39. 7. Πρβλ. Ἰω. 1,4. 14,6. 8. Ἰω. 5,21. 9. Φιλιπ. 2,7. 10. Ἔνθ' ἀν. 2,8. 11. Ἰω. 8,12. 12. Ἰω. 11,25.

αἴρει αὐτὴν ἀπ' ἐμοῦ, ἀλλ' ἐγὼ τίθημι αὐτήν. Ἐξουσίαν ἔχω θεῖναι αὐτὴν καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν»[1]. Καὶ ὑπὲρ τίνος λοιπὸν εὐχαριστῶμεν, ὡς κηδεμόνι καὶ τὸ πρῶτον καὶ μόνον κῦρος ἔχοντι, τῷ ἀπροθύμως καὶ ἔκ τινος βίας, ὡς οἱ ἀπ' ἄλλου διοικούμενοι, ὑπὲρ ἡμῶν παθόντι; Ἢ ἀνθ' ὅτου τὸ τριπόθητον καὶ προμηθέστατον Πάσχα ἑκάστου ἔτους, ἡμέρας μὲν οὖν, μᾶλλον δὲ καὶ ὥρας ἑκάστης τῇ πίστει ἐπιτελοῦμεν ἔμφοβοι, μετέχοντες τοῦ σώματος καὶ τοῦ αἵματος αὐτοῦ; Ἴσασιν δὲ οἱ τοῦ ἀκροτάτου καὶ διαιωνίου μυστηρίου καταξιωθέντες, ὃ λέγω· τὸ γὰρ σέβας καὶ ἡ εὐχαριστία ὀφείλεται τῷ οἰκείᾳ γνώμῃ καὶ ἀμεταμελήτως ἴδιόν τι ἀγαθὸν παρασχομένῳ.

[908] Ε'. Εἴποι ἄν τις, ὡς ἐλεῶν ἐκείνους, περὶ ὧν ἔφη· «Πάτερ, ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσιν»[2], εἶπε καὶ τό· «Παρελθέτω τὸ ποτήριον τοῦτο»[3]· ἀπ' αὐτῶν, φησίν, ἵνα μὴ τηλικοῦτον καθ' ἑαυτῶν εἰς ἐμὲ δυσσεβήσωσιν. Καὶ οὕτω δὲ νοῆσαι τό· «Παρελθέτω τὸ ποτήριον τοῦτο»[4], οὐκ ἔξω ἀληθείας ἐστίν. Ἐπειδὴ ἑώρα τὸν διάβολον, φρίττοντα μὲν καὶ ἀποφεύγοντα, ἡνίκα ἑαυτὸν ὁ Σωτὴρ Θεὸν διὰ τῶν θαυμάτων ἐπεδείκνυεν· προσερχόμενον δέ, ὅτε ἀνθρωπότητος ἴδια ἐφθέγγετο· τὴν παροῦσαν αὐτῷ δειλίαν θανάτου ὑπέφηνεν· «ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν»[5], ἵνα καθὰ ἤδη πειρᾶσαι τολμήσας, τῆς τε ἐλπίδος ἐκτὸς καὶ ἄτιμος καὶ καταγέλαστος ὑπενόστησεν· οὕτω καὶ ἐνταῦθα ἄνθρωπον ψιλὸν πάλιν νομίσας εἶναι καὶ οὐ Θεόν, ὡς οἷδε φανέντα σαρκί, ὀξυδρομήσας προέλθῃ καὶ ὑποβάλῃ αὐτὸν σταυρωθῆναι καὶ αὐτὸς μὲν τρωθεὶς λεληθότως, ὁ τρῶσαι τὸν ἀήττητον Θεὸν μηχανώμενος, παλίνορσος ἀποστῇ· ἡμεῖς δὲ τῷ σταυρῷ τοῦ Χριστοῦ ζήσαντες καὶ τῷ προμηθεστάτῳ αὐτοῦ θανάτῳ λυτρωθέντες, ἀναβοήσωμεν μετὰ Παύλου Κορινθίοις γράφοντος· «Ποῦ σου, θάνατε, τὸ νῖκος; ποῦ σου, ᾅδη, τὸ κέντρον»[6]; Οὕτω δὲ οὐκ ἀγωνίας ἦν τὰ τοῦ Κυρίου ῥήματα, ὅτι καὶ περὶ τοῦ Θεοῦ Πατρὸς («Ὃν», ὡς εἶπεν ἱερὸς ἀνήρ, «φρίττει καὶ τρέμει τὰ σύμπαντα ἀπὸ προσώπου δυνάμεως αὐτοῦ»[7]) Ἡσαΐας ἀπορρήτῳ τινὶ θεωρίᾳ οὕτω διαλέγεται· «Ἀκούσατε δή, οἶκος τοῦ Δαυίδ· μὴ μικρὸν ὑμῖν ἀγῶνα παρέχειν ἀνθρώποις; Καὶ πῶς Κυρίῳ παρέχετε ἀγῶνα; Διὰ τοῦτο δώσει Κύριος αὐτὸς ὑμῖν σημεῖον. Ἰδοὺ ἡ Παρθένος ἐν γαστρὶ λήψεται καὶ τέξεται Υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ»[8], «ὅ ἐστιν μεθερμηνευόμενον· Μεθ' ἡμῶν ὁ Θεός». Ἀλλ' ὅθεν ἐξῆλθε, πάλιν ὁ λόγος ἡμῖν ἐπανίτω. Οὔτε οὖν δακρύει ἡ ἀνωτάτω ἀπάθεια καὶ ζωὴ καὶ χαρὰ καὶ εἰρήνη καὶ πάντων ὑπομονή, ὁ φαιδρὰς ἡμέρας διδοὺς τοῖς ἅπασι, δι' ἄλλο τι, ἀλλὰ διὰ τὸ ὑποφῆναι **[909]** διὰ τοῦ ὁρωμένου τῆς ἀοράτου θεότητος αὐτοῦ τὴν συμπά-

---

1. Πρβλ. Ἰω. 10,17-18. 2. Λουκ. 23,34. 3. Ματθ. 26,39.
4. Αὐτόθι. 5. Α' Κορ. 3,19. Πρβλ. Ἰὼβ 5,13. 6. Α' Κορ. 15,55.
7. Ἀποστολικαὶ Διαταγαὶ Β', XXII. Β.Ε.Π. 2, σ. 30. 8. Ἡσ. 7,13-14.

θειαν. Πανταχοῦ γὰρ ἢ λόγοις ἢ ἔργοις τὰς διαθέσεις ἀναμείγνυσιν, ὅφρα ἡμεῖς ὥσπερ ἔκ τινων ἰχνῶν ἐπ' αὐτὴν ὁρμήσωμεν τὴν θήραν τῆς ἐνθεαστικῆς νοήσεως καὶ εὕρωμεν, ὡς τὸ πᾶν τῆς οἰκονομίας θεϊκῆς ἴδιόν ἐστιν εὐσπλαγχνίας.

Ϛ'. Διά τε τὸ ἐλέγξαι τῶν ἀδελφῶν Λαζάρου τὴν διάνοιαν, ὡς οὐδὲν ἔχουσαν πιστόν, οὐδὲ βέβαιον. Ἐρωτήσαντι γὰρ αὐτῷ «Ποῦ τεθείκατε αὐτόν;»[1] δέον εἰπεῖν· Σὺ πάντα γινώσκεις, ἄτε Υἱὸς Θεοῦ, ἐξ ὧν προεῖπας πολλῷ διαστήματι τῷ φαινομένῳ ἀφεστώς· «Λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται»[2]· καί, εἰ προστάξειας, ἐξ ᾅδου ὑποστρέψει, τὴν κοινὴν ἀνάστασιν προλαβὼν τῇ ἰδίᾳ· πάντα γάρ σοι ῥᾴδια πάντως ὑπάρχει ἐθέλοντι· δέον οὖν ταῦτα εἰπεῖν, τοὐναντίον ἔφασαν· «Τεταρταῖός ἐστιν, ἤδη ὄζει»[3]. Εἴποιμεν ἂν πρὸς τοῦτο δεδακρυκέναι, ὡς βασιλέα τοῖς ἑαυτοῦ ὑποκύπτοντα θεσπίσμασι, τοῖς λέγουσι, «χαίρειν μετὰ χαιρόντων καὶ κλαίειν μετὰ κλαιόντων»[4] καὶ διὰ τοῦτο τὸν παλαιὸν θρῆνον ἡμῶν ἀποπαύοντα. Οὐδὲ κοπιᾷ κατὰ τὴν θεότητα, ἀλλὰ κατὰ τὴν τῆς ἐνανθρωπήσεως ἀκολουθίαν, ὁ ἰώμενος τοὺς συντετριμμένους[5] καὶ τοὺς κεκοπιακότας καὶ πεφορτισμένους ἀναπαύων[6], ὁ τὴν ἔξοδον ἔχων ἀπ' ἄκρου τοῦ οὐρανοῦ καὶ τὸ κατάντημα ἕως ἄκρου αὐτοῦ[7]· ᾧ γὰρ μὴ μείωσις ἢ ἀποπεράτωσις οὐδὲ κόπος ἐστίν. Εἰ γὰρ καὶ πώλῳ ποτὲ φαίνεται καθεσθείς, ἀλλ' ὡς Θεὸς ὑμνεῖτο ὑπὸ παίδων μὲν ἀκάκων κραζόντων· «Ὡσαννὰ ἐν τοῖς ὑψίστοις»[8], ὃ ἑρμηνεύεται «Σῶσον ὁ ἐν τοῖς ὑψίστοις»· ὑπὸ δὲ τοῦ Δαυὶδ ἐν νθ' ψαλμῷ· «Ἀπὸ ἀνατολῶν ἡλίου καὶ μέχρι δυσμῶν ἐκ Σιὼν ἡ εὐπρέπεια τῆς ὡραιότητος αὐτοῦ· ὁ Θεὸς ἐμφανῶς ἥξει»[9]. Οὐδὲ ὀρέγεται τροφῆς ἄκων ὁ ἄρτος τῆς ζωῆς, πρὸς ὃν ἀποβλέπει τὰ πάντα, κατὰ τὸν ψαλμῳδόν· «Οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσιν καὶ σὺ δίδως τὴν τροφὴν αὐτοῖς ἐν εὐκαιρίᾳ. Ἀνοίγεις σὺ τὴν χεῖρά σου καὶ ἐμπιμπλᾷς πᾶν ζῷον εὐδοκίας»[10]· καὶ πάλιν· «Πάντα πρὸς σὲ προσδοκῶσι, **[912]** δοῦναι τὴν τροφὴν αὐτοῖς εἰς εὔκαιρον»[11]· ὁ ἐκ πέντε ἄρτων καὶ δύο ἰχθύων πεντακισχιλίους χορτάσας ἐκτὸς γυναικῶν καὶ παιδίων καὶ δυοκαίδεκα κοφίνους κλασμάτων περιττεῦσαι ποιήσας· ὁ εἰπὼν τῷ διαβόλῳ· «Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος»[12]· ὁ πᾶσιν ἡμῖν πανταρκῆ καὶ ἀνέκλειπτον τράπεζαν, τὴν οἰκείαν προθεὶς ἀγαθότητα, καὶ φάσκων· «Ὁ ἐρχόμενος πρός με, οὐ μὴ πεινήσῃ· καὶ ὁ πιστεύων εἰς ἐμέ, οὐ μὴ διψήσῃ πώποτε»[13]· ὁ ἐλθὼν μὲν ἐπὶ τὴν συκῆν ὡσανεὶ πεινῶν, προστάξας δὲ ὡς Θεὸς μηκέτι καρπὸν τὸ φυτὸν ἐνεργεῖν καὶ ἔργον τῷ λόγῳ ἐπιθεὶς καὶ δείξας, ὡς αὐτὸς ἦν ὁ τὴν ἀρχὴν εἰπών· «Ἐξαγαγέτω ἡ γῆ ξύλα καρποφόρα»[14]. Ἀλλ' οὔτε διψᾷ, εἰ μὴ διὰ τὴν οἰκονομίαν, ἡ ἀθάνατος πηγή, ἡ τὴν Σαμαρεῖτιν ὕδωρ ζωῆς αἰτεῖν

---

1. Ἰω. 11,34. 2. Ἰω. 11,11. 3. Ἔνθ' ἀν. 11,39. 4. Ρωμ. 12,15. 5. Πρβλ. Ἡσ. 61,1. Ψαλ. 146,3. 6. Ματθ. 11,28. 7. Πρβλ. Ψαλ. 18,7. 8. Ματθ. 21,9. 9. Ψαλ. 49,1-2. 10. Ψαλ. 144,15-16. 11. Ψαλ. 103,27. 12. Ματθ. 4,4. 13. Ἰω. 6,35. 14. Πρβλ. Γεν. 1,12.

παρ' αὐτοῦ διδάσκουσα. Ἀρκεῖ δὲ περὶ τούτου τῆς εὐαγγελικῆς μνημονεῦσαι φωνῆς τῆς λεγούσης· «Ὡς εἰδὼς ὁ Χριστός, ὅτι ἤδη πάντα τετέλεσται, ἵνα τελειωθῇ ἡ Γραφή, λέγει· Διψῶ»[1]· ὡς δείκνυσθαι, μὴ ἀνάγκῃ δίψης ἐξεληλυθέναι τὸ ῥῆμα, ἀλλὰ πρὸς τὸ μή τι παραλειφθῆναι τῶν ἐν Γραφαῖς εἰρημένων.

Ζ'. Οὔτε ὕπνῳ μὴ θέλων ἑάλω· οὐ γὰρ ἡττᾶτο τοῦ πάθους, ὁ τῶν ὅλων καὶ τοῦ ὕπνου Κύριος, ὁ μὴ ὑπνῶν μηδὲ νυστάζων, ἀλλὰ φυλάσσων Χριστιανοὺς καὶ ἀπαθὴς τῇ θεότητι καὶ ἐν τοῖς παθήμασι διαμένων· ὡς πρὸς αὐτὸν ἀναφθέγγεσθαι τὸν ψαλμῳδόν· «Ἐξεγέρθητι ὡς ὁ ὑπνῶν, Κύριε»[2]. Τὸ δὲ «ὡς» οὐ καθ' ἅπαξ ὕπνον ἐμφαίνει· διαναστὰς γὰρ εὐθὺς ἐπετίμησεν ὡς Θεὸς καὶ οἱ ἄνεμοι μὲν κατεστάλησαν, ἡ δὲ θάλαττα τοσοῦτον ἐλώφησεν, ὥστε κυμαίνεσθαι καὶ καχλάζειν ἀφεῖσα τύπτεσθαι κώπαις καὶ πρόφασιν ὕμνου μετὰ μέλους διδόναι ναυτικοῦ, μεθ' ἡδονῆς πάντων κραζόντων· «Χριστέ, σῶσον»[3]. Ὅταν γὰρ ἡ ἀληθινὴ ζωὴ νοηθείη κοιμωμένη, τότ' ἂν νοηθείη τὰ πάντα τεθνηκότα, ὡς οὐ ζωοποιούμενα, Οἵου γάρ, ταύτης εὐδούσης, τὸν θάνατον ἐγρηγορέναι καὶ μηδενὶ ὑπάρχειν τὰς ζωτικὰς δρέπεσθαι αὔρας. Οὔτε πτωχεύει οὖν, ὡς ἄνωθεν ὢν ἀνενδεής, ὁ «πλούσιος ἐν ἐλέει»[4] καὶ ἀγαθὸς ἐν οἰκτιρμοῖς, ὁ φάρμακον τῷ ἄλγει τῆς πτωχείας τὴν παρ' ἑαυτοῦ οἰκονομίαν χορηγῶν. Οὐδὲ ἰσχύος ἐπιδεῖται ἀλλοτρίας ἐκεῖνος· γράφει γάρ, ὡς «ἐν αὐτῷ συνέστηκεν τὰ πάντα»[5] καὶ ὡς κάμπτει αὐτῷ «πᾶν γόνυ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων»[6] καὶ ὅτι ἐν αὐτῇ τῇ οἰκονομίᾳ προσελθόντες «ἄγγελοι διηκόνουν αὐτῷ»[7], **[913]** ὡς ἀεὶ ὄντι ἐν τῷ Πατρὶ καὶ πρὸς τὸν Θεὸν ὄντι. Τί οὖν βούλεται τὸ «Ὤφθη ἄγγελος Κυρίου ἐνισχύων αὐτόν;»[8] ἀντὶ τοῦ, δοξάζων αὐτόν. Τοῦτο γὰρ συνέταξε καὶ Μωϋσῆς, ᾄσας ᾠδὴν ἐν τῇ ἐρήμῳ τοιάνδε· «Προσκυνήσουσιν αὐτῷ πάντες ἄγγελοι Θεοῦ· καὶ ἐνισχυσάτωσαν αὐτῷ πάντες υἱοὶ Θεοῦ»[9]· τοῦτ' ἔστιν ἀνυμνήσουσιν. Ἐπαληθεύει δὲ ταῦτα καὶ ἄλλη γραφή, εἰσάγουσα ἀγγέλους λέγοντας· «Σή ἐστιν ἡ δόξα, σόν ἐστι τὸ κράτος, σή ἐστιν ἡ δύναμις, σή ἐστιν ἡ ἰσχύς»[10]. Εὐφήμησαν δὲ καὶ οἱ ἔξω τοιῶσδε·

Πάντα Θεοῦ μεγάλοιο νόου ὑπὸ νεύμασι κεῖται.
Ἀρχή, πηγή τε ζωῆς καὶ ὑπείροχον εὖχος,
Καὶ κράτος ἡδὲ βίη καὶ ἰσχύος ἄφθιτος ἀλκή,
Καὶ δύναμις κρατερὴ καὶ ἀμφιέλικτος ἀνάγκη.

Η'. Οὐδὲ εὔχεται οὖν ὁ μέγας καὶ ἀληθινὸς Θεός, τὸ «ἀπαύγασμα

---

1. Ἰω. 19,28. 2. Πρβλ. Ψαλ. 77,65. 3. Πρβλ. Ματθ. 8,25. 4. Ἐφ. 2,4. 5. Κολ. 1,17. 6. Πρβλ. Φιλ. 2,10. 7. Πρβλ. Ματθ. 4,11. 8. Πρβλ. Λουκ. 22,43. 9. Δευτ. 22,43. 10. Πρβλ. Ματθ. 6,13.

τῆς δόξης»[1] τοῦ Πατρός, ὁ ζῶν τοῦ Θεοῦ Λόγος καὶ πάντων κηδέμών, ὡς ἥσσων τῇ θεότητι· οὐ γὰρ εὐχῇ μεταβάλλει, ὡς ἡμεῖς, τὰ δυσχερῆ, ὃς ἄρα καὶ μόνῳ τῷ θέλειν καὶ μόνῃ τῇ παρουσίᾳ, τὴν ἀγαθὴν ἅπασιν προξενεῖ ἐλπίδα καὶ φθάνει τῇ δόσει τῶν καλῶν τὰς ἡμετέρας λιτάς· «Πρὸς αὐτὸν» γάρ, φησίν, «προσεύξονται»· ἀλλ' εὔχεται διὰ τὸ καθ' ἡμᾶς ἀσυγχύτως καὶ δίχα πταίσματος γεγονέναι καὶ τοῦτο διὰ πραγμάτων ἐπιφανεστέρων δεῖξαι ἐσπουδακέναι. Ὁ γὰρ τοιαῦτα λέξας καὶ σαρκὶ σταυρῷ προσηλωμένος χεῖρας καὶ πόδας· τοὺς μέν, δι' οὓς τὰ τοιαῦτα εἰς τὸ ὕψος ἀνήγαγε, τοὺς δέ γε δαίμονας τῷ ᾄδῃ προσέρρηξεν. Καὶ τοῦτό ἐστιν, ὃ Παῦλος γράφει· «Ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, ἐδειγμάτισε θριαμβεύσας αὐτοὺς ἐν αὐτῷ»[2]. Αὐτόθεν δὲ ἀφ' ὧν αἰτιῶνται ὁ ἔλεγχος. Γράφει γὰρ ὁ αὐτός, σεσοφισμένος ὑπὸ τοῦ Πνεύματος τῆς Σοφίας, εἰς ἄκρον δριμεῖάν πως **[916]** καὶ βαθεῖαν, ὅμως θεοπρεπῆ καὶ οὐκ ἀσύνοπτον καὶ ἐπαμφοτερίζουσαν τῷ τε ὑψώματι τοῦ Μονογενοῦς καὶ τῇ συγκαταβάσει αὐτοῦ ῥῆσιν, ἔχουσαν ὧδε· «Ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ δεήσεις καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον αὐτὸν σῴζειν ἐκ θανάτου μετὰ κραυγῆς ἰσχυρᾶς προσενέγκας καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας, καίπερ ὢν Υἱός, ἔμαθεν ἀφ' ὧν ἔπαθε τὴν ὑπακοήν»[3]. Υἱὸς οὖν φυσικὸς τοῦ Θεοῦ κατὰ τὸ ἐξ ἀμφοῖν δεδειγμένος, οὐκ ἄλλοτε, οὐδὲ διὰ τὴν ἑαυτοῦ θεότητα, ἀλλὰ ὅτε ἦν ἐν σαρκί, διὰ τὰς σάρκας καὶ ὑπὲρ τῶν σαρκῶν ἱκετηρίας, ὡς εὐλαβής, τοῦτ' ἔστιν «ἀναμάρτητος»[4], ἀνέτεινεν ὑπὲρ ἁμαρτωλῶν ἐκείνῳ, ἐν ᾧ ἦν καὶ ὃν εἶχεν ἐν ἑαυτῷ, καθὸ ἥνωτο αὐτῷ τῇ θεότητι, «ἀφ' ὧν ἔπαθεν»[5] ἰδίως κοινωνήσας ἡμῖν σαρκί, μαθὼν γενικῶς τῆς σαρκὸς «τὴν ὑπακοήν»· ὅ ἐστιν, ἐδέξατο τὴν ὑπακοὴν καὶ ἀπήλειψε τὴν ἀρχαίαν παρακοήν. Εὔηθες τοίνυν ἂν εἴη εἰς τὴν θεότητα λογίζεσθαι τὸ δειλιᾶσαι ἢ δακρῦσαι ἢ κοπιᾶσαι καὶ ὅσα προελέχθη. Πάντα γὰρ δύναται ὁ Υἱὸς Λόγος, πλὴν τοῦ κατὰ τὴν πατρικὴν γέννησιν ταῦτα ὑποστῆναι, ὡς ἐστιν ἀδύνατον ψεύσασθαι τὸν Θεόν, καθὰ γράφει Παῦλος δυσαρεστῶν τοῖς τοιούτοις. Ἔχει δὲ ὧδε· «Ἐν οἷς ἐστιν ἀδύνατον ψεύσασθαι τὸν Θεόν»[6].

Θ'. Οὐκοῦν «ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας αὐτῶν»[7] ἀγχθέντες αἱρετικοί, τῶν μὲν ἀνεπιβάτων ἀναχωρείτωσαν καὶ ἃ μὴ θέμις, μὴ πολυπραγμονείτωσαν· ποῦ γὰρ καὶ χρεία τούτου αὐτοῖς; Ἀλλ' ἀκούοντες τὰ προκείμενα νοείτωσαν, ὡς ἃ μὲν ἔλεγεν ἐν τοῖς ἡμετέροις, ἃ δὲ ἐν τοῖς ἑαυτοῦ· καὶ τὴν ἄφατον καὶ ἀνεκδιήγητον αὐτοῦ φιλανθρωπίαν μεθ' ἡμῶν γνωριζέτωσαν καὶ προσκυνείτωσαν καὶ σὺν τῷ Ἀποστόλῳ καὶ ἡμῖν κραζέτωσαν· «Ἡ εἰρήνη τοῦ Θεοῦ ὑπερέχει πάντα νοῦν»[8]· καί· «Ὁ πλοῦτος τοῦ Χριστοῦ ἀνεξιχνίαστος»[9]· ἅμα

---

1. Ἑβρ. 1,3. 2. Πρβλ. Κολ. 2,15. 3. Ἑβρ. 5,7-8. 4. Ἰω. 8,7. 5. Ἑβρ. 5,8. 6. Ἑβρ. 6,18. 7. Ψαλ. 31,9. 8. Φιλιπ. 4,7. 9. Πρβλ. Ἐφ. 3,8.

δὲ τῷ μελωδῷ ψαλλέτωσαν· «Τοῦ Κυρίου τὰ κρίματα ἄβυσσος πολλή»[1]. Ταῦτα μὲν οἱ ἀληθινῶς πιστοὶ καὶ ἀκριβεῖς κήρυκες. Καὶ οἱ ἔξω δὲ συνεβούλευσαν καὶ ἐνουθέτησαν τάδε·

Ἄρρητα μὴ σάλευε· μὴ ζήτει Θεόν.
Οὐ γὰρ τοσοῦτόν ἐστιν ἀνθρώπῳ σθένος,
Τὸν παντεπόπτην, τὴν ἀχώρητον φύσιν
Εὑρεῖν ἀνιχνεύοντι καὶ τεχνωμένῳ.
Τύχοις δ' ἂν αὐτοῦ ῥᾳδίως, πεπεισμένος
Μέγιστον εἶναι τὸν Ποιητὴν τῶν ὅλων.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ'

Οὐδεὶς οἶδε τὴν ἐσχάτην ἡμέραν οὐδὲ οἱ ἄγγελοι οὔτε ὁ Υἱός.

Α'. Ἀλλ' ἐφ' ἕτερον κεφάλαιον προΐωμεν. Καὶ τὴν ἐν Μάρκῳ τοίνυν φερομένην πρὸς τοὺς ἀποστόλους πάνσοφον τοῦ πάντων Δεσπότου ἀπόκρισιν, τὴν ἕνεκα τοῦ γενικοῦ τέλους λέγουσαν ταυτί· «Περὶ δὲ τῆς **[917]** ἡμέρας ἐκείνης ἢ τῆς ὥρας οὐδεὶς οἶδεν οὐδὲ οἱ ἄγγελοι οἱ ἐν οὐρανῷ οὐδὲ ὁ Υἱός, εἰ μὴ ὁ Πατήρ»[2], θεωροῦσιν οὐχ ὑγιῶς. Ματθαῖος μὲν γὰρ πρὸ αὐτοῦ κατὰ τῶν ἄλλων λέξεων ἀπαραλείπτως ἐλθών, οὐκ εἶπε τὸν Υἱὸν ἀγνοεῖν, ἀλλὰ καὶ τὸ σχῆμα αὐτὸ τοῦ τέλους εἰδέναι ἐξέθετο τοιῶσδε· «Περὶ δὲ τῆς ἡμέρας ἐκείνης ἢ τῆς ὥρας οὐδεὶς οἶδεν οὐδὲ οἱ ἄγγελοι τῶν οὐρανῶν, εἰ μὴ ὁ Πατὴρ μόνος. Ὥσπερ γὰρ αἱ ἡμέραι τοῦ Νῶε, οὕτως ἔσται ἡ παρουσία τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. Ὥσπερ γὰρ ἦσαν ἐν ταῖς ἡμέραις ταῖς πρὸ τοῦ κατακλυσμοῦ τρώγοντες καὶ πίνοντες, γαμοῦντες καὶ ἐκγαμίζοντες, ἄχρι ἧς ἡμέρας εἰσῆλθε Νῶε εἰς τὴν κιβωτὸν καὶ οὐκ ἔγνωσαν, ἕως ἐπῆλθεν ὁ κατακλυσμὸς καὶ ἦρεν πάντας· οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ Υἱοῦ τοῦ ἀνθρώπου»[3]. Οἱ οὖν ἄλλοι εὐαγγελισταὶ οὐδὲ ὅλως ἐμνημόνευσαν τούτου· ἀλλὰ κατὰ ταύτης τῆς αἱρετικῆς ἐναντιώσεως λύσιν παρέσχον οἱ ἀπόστολοι, ἐν τῷ κατὰ Ἰωάννην Εὐαγγελίῳ φάμενοι οὕτως· «Νῦν οἴδαμεν, ὅτι πάντα οἶδας»[4]· ἄτε, φησίν, Υἱὸς Λόγος τοῦ Θεοῦ, δι' οὗ τὰ πάντα ἐγένετο· ἐξ ὧν πάντων ἐστὶ καὶ ἡ ἐσχάτη ἡμέρα. Καὶ χρὴ δὲ μὴ καθηκόντως ἐκλαμβάνειν τὸ προνοητικῶς ἀρνηθέν. Καθάπερ γὰρ δι' ἡμᾶς εἵλετο μορφὴν δούλου λαβεῖν, οὕτω καὶ τὸ εἰπεῖν, ὅτι ἀγνοεῖ. Φαρμάκῳ γὰρ οἷον τούτῳ ἐχρήσατο, διὰ τὸ συμφέρειν τῇ ἀνθρωπότητι μὴ γνῶναι τὴν ἐρώτησιν αὐτῆς· ἵν' ἀεὶ προσδοκῶσα καὶ ἐπὶ θύραις εἶναι νομίζουσα τῆς κρίσεως τὸν

---

1. Πρβλ. Ψαλ. 35,7. 2. Μάρκ. 13,32. 3. Πρβλ. Ματθ. 24,36-39. 4. Ἰω. 16,30.

καιρόν, ἕτοιμος γένηται δι' ἔργων καὶ πίστεως εἰς τὸ σωθῆναι. Οὐδὲ γὰρ ἔλαθε δημιουργήσας χρόνον, ὃν οὐκ ἠπίστατο· οὐδ' αὖ ἠγνόησε τὴν ἑαυτοῦ δευτέραν παρουσίαν, ὁ ὢν ἐν τῷ Πατρὶ καὶ τὸν Πατέρα ἔχων ἐν ἑαυτῷ, δῆλον δ' ὅτι σὺν τῇ εἰδήσει· εἰ γὰρ ἐν αὐτῷ ἐστιν ὁ Πατήρ, ὁ πάντα εἰδώς, οἶδε καὶ αὐτός, ὁ πάντα θεωρῶν ἐν τῷ Πατρί. Πῶς γὰρ ἂν καὶ μὴ βλέποι, ὁ τὸ φῶς ἔχων ἐν ἑαυτῷ, ὁ πάντα εἰς τάξιν καὶ διακόσμησιν ἀγαγών, ὁ πάντα εἰδὼς πρὸ γενέσεως αὐτῶν, ὁ δημιουγὸς τῶν χρόνων, ὁ καὶ ὅριον θέμενος τῇ κτίσει καὶ τὸ ποσὸν τῶν ἡμερῶν παγιώσας τῆς συστάσεως αὐτῆς καὶ εἰπών· «Ὡς κλέπτης ἐν νυκτὶ ἔρχεται ἡ τελευταία ἡμέρα»[1]· καὶ πάλιν· «Οὐκ ἔσται ἐν νυκτί, ἵνα ἡ ἡμέρα ἐν σκοτίᾳ ὑμᾶς καταλάβῃ»[2]· ὁ καὶ τὰ ἐσόμενα σημεῖα περὶ ἐκεῖνον τὸν καιρὸν προειρηκὼς καὶ μέλλων ἐκείνην αὐτὴν ἀνατέλλειν τὴν φοβερὰν καὶ ἀνέσπερον ἡμέραν, ὁ καὶ τῆς κρί-
[920] σεως τὸ σχῆμα καὶ τὸν τρόπον προειπών, ὁ ἀποδειχθεὶς ἔχειν «θησαυροὺς σοφίας καὶ γνώσεως»[3]· καὶ προμηνύσας· «Ἔσονται ἐν ὑμῖν αἱρέσεις καὶ σχίσματα»[4]· καὶ τὴν ἄρνησιν Ἰούδα καὶ τὴν πρὸ ἀλεκτρυοφωνίου ἄρνησιν Πέτρου καὶ τὴν κατάλυσιν τοῦ ἱεροῦ· ὁ τοὺς ἐσομένους εἰς τὰ ἔσχατα ψευδοπροφήτας προσημάνας· ὁ λέγων·«Οὐδεὶς οἶδε τὸν Πατέρα, εἰ μὴ ὁ Υἱός»[5]· καὶ «Καθὼς γινώσκει με ὁ Πατήρ, κἀγὼ γινώσκω αὐτόν»[6]; Σαφὲς δέ, ὡς μεθ' ἧς ἔχει γνώσεως ὁ Πατήρ.

Β΄. Εἰ δ' ἕτερόν τι ἐστιν εἰδέναι τὸν Πατέρα, ἕτερον δὲ τὰ τοῦ Πατρός, μεῖζον ἔσται τὸν Θεὸν Πατέρα τοῦ εἰδέναι τὰ αὐτοῦ, ὅ ἐστι καὶ τὴν ἐσχάτην ἡμέραν, καθ' ὅσον ἕκαστος μείζων αὐτὸς τῶν ἑαυτοῦ ὑπάρχει. Ἦ ἄρα καὶ τοιοῦτον εἶναι δύναται τό, «Οὐδεὶς οἶδε τὴν ἡμέραν ἐκείνην ἢ τὴν ὥραν οὔτε ὁ Υἱός, εἰ μὴ ὁ Πατήρ»[7], ὥς τις τῶν ἐν ἁγίοις Πατέρων σοφίας γέμων ἀσυλλογίστως ἐδίδαξεν (Βασίλειος ἦν ὄνομα αὐτῷ)· ἀντὶ τοῦ· «Εἰ μὴ ὁ Πατὴρ οἶδεν, οὐδὲ ὁ Υἱὸς οἶδεν»[8]· ᾧ ἀκολουθεῖ, ὡς τοῦ Πατρὸς εἰδότος, οὐχ οἷόν τε ἐμὲ ἀγνοεῖν· ἀλλ' οὐ λέγω, φησίν· ποιῶ γὰρ πάντα κατὰ τὸ θέλημα τοῦ Πατρός· τὸ δὲ γνῶναι τοῦτο ὑμᾶς, οὐκ ἔστιν θέλημα τοῦ Πατρός. Ὑμῖν οὖν, φησίν, ἀγνοῶ, τῇ ἀληθείᾳ οὐκ ἀγνοῶν· προεῖπον γὰρ ὑμῖν διὰ τοῦ ψαλμῳδοῦ· «Ὡς μακρὰ ἀπὸ τῆς σω**[921]**τηρίας μου οἱ λόγοι τῶν παραπτωμάτων μου»[9]· τοῦτ' ἔστιν, πόρρω τῆς θεότητός μου οἱ ἐν τῇ ἐνανθρωπήσει λόγοι μου. Οὕτω δὲ ποιεῖ καὶ ἐπὶ Λαζάρου, προειπὼν μέν, ὡς πάντα γινώσκων· «Λάζαρος κεκοίμηται»[10]· ἐρωτῶν δέ, ὡς οὐδὲν εἰδώς· «Ποῦ τεθείκατε αὐτόν;»[11] εἶτα ὡς Θεὸς ἐγείρων αὐτόν. Οὕτω καὶ ἐπὶ τῆς αἱμορροούσης, φήσας μέν, ὡς ἄνθρωπος ἀγνοῶν· «Τίς ἥψατό μου;»[12] ἰασάμενος δέ, ὡς Σωτήρ· ὡς καί που ὁ Θεὸς καὶ

---

1. Πρβλ. Α΄ Θεσ. 5,2. 2. Πρβλ. Ἔνθ' ἀν. 5,4. 3. Κολ. 2,3. 4. Πρβλ. Β΄ Πέτρ. 2,1. 5. Πρβλ. Ματθ. 11,27. 6. Ἰω. 10,15. 7. Πρβλ. Μάρκ. 13,32. 8. Αὐτόθι. 9. Ψαλ. 21,2. 10. Πρβλ. Ἰω. 11,11. 11. Ἔνθ' ἀν. 11,34. 12. Πρβλ. Μάρκ. 5,31.

Πατὴρ ἠρώτα, ὡς ἀγνοῶν, τὸν Ἀδάμ· «Ποῦ εἶ;»[1] καὶ τὸν Κάιν· «Ποῦ Ἄβελ ὁ ἀδελφός σου;»[2] καὶ Μωϋσέα· «Τί ἐστιν ἐν τῇ χειρί σου;»[3] καὶ ἑτέρωθι· «Ἔγνω Κύριος τοὺς ὄντας αὐτοῦ»[4]· ὡς δῆθεν τοὺς οὐκ ὄντας ἀγνοῶν. Ἔλεγε δὲ καὶ πρὸς Ἀβραὰμ θελήσαντα σφαγιάσαι αὐτῷ τὸν υἱόν· «Νῦν ἔγνων ὅτι φοβῇ σὺ τὸν Θεόν»[5]· ὡς δῆθεν ἐν τῷ φθάσαντι τοῦτο ἀγνοήσας. Καὶ πάλιν· «Ποῦ Σάρρα ἡ γυνή σου»[6]; Ὅτι δὲ ὁμολογουμένως καὶ τοῦτο εἰδὼς εἶπε, τὰ ἑφεξῆς δηλοῖ. Εἰπόντος γὰρ αὐτοῦ, ὡς τέξεται, κἀκείνης ἀπιστησάσης διὰ τὸ καταγεγηρακέναι καὶ ἐν τῷ κοιτωνίσκῳ μειδιάσάσης, ἔφη· «Ἐγέλασε Σάρρα ἔνδον οὖσα»[7]. Ἔτι δὲ καὶ τῷ Λὼτ εἶπεν· «Οὐ δύναμαι τοῦτο ποιῆσαι (τοῦτ' ἔστιν, τὴν τιμωρίαν ἐπαγαγεῖν Σοδομίταις), μέχρι τοῦ ἐλθεῖν σε ἐκεῖ. Διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα τῆς πόλεως Σιγώρ»[8]· καὶ ἀλλαχοῦ· «Ἀπόστητε ἀπ' ἐμοῦ, ἐργάται τῆς ἀνομίας· οὐδέποτε ἔγνων ὑμᾶς»[9]. Καὶ ἄλλα δέ, τῷ δοκεῖν μικρὰ ὡς πρὸς θεότητα, φέρεται αὐτοῦ· οἷον τό, «Καταβὰς ἔρχομαι, εἰ κατὰ τὴν κραυγὴν αὐτῶν τὴν ἐρχομένην πρός με συντελοῦνται· εἰ δὲ μή, ἵνα γνῶ»[10]· καὶ ἑτέρωθι· «Μεταμέλημαι ποιήσας τὸν ἄνθρωπον»[11]· καὶ πάλιν· «Μεταμέλημαι χρίσας τὸν Σαοὺλ εἰς βασιλέα»[12]· καὶ ἐν ρε΄ ψαλμῷ· «Καὶ ἐμνήσθη τῆς διαθήκης αὐτοῦ καὶ μετεμελήθη κατὰ τὸ πλῆθος τοῦ ἐλέους αὐτοῦ καὶ ἔδωκεν αὐτοὺς εἰς οἰκτιρμούς»[13].

ΚΕΦΑΛΑΙΟΝ ΚΓ΄

«Ὅτι οὐδεὶς Θεός, εἰ μὴ εἷς. Καὶ γὰρ εἴπερ εἰσὶ λεγόμενοι θεοὶ εἴτε ἐν οὐρανῷ εἴτε ἐπὶ γῆς, ὥσπερ εἰσὶ θεοὶ πολλοὶ καὶ κύριοι πολλοί· ἡμῖν δὲ εἷς Θεὸς ὁ Πατήρ, ἐξ οὗ τὰ πάντα καί· «εἷς Κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα». Ἐν ταυτῷ ὅτι ὁ Θεὸς οὐ πρωτεύει τοῦ ὁ Κύριος, ἀλλ' ἀμφότερα ταῖς τρισὶν ἁρμόζει ὑποστάσεσιν πολλάκις δὲ καὶ προτάττεται τὸ ὁ Κύριος τοῦ ὁ Θεός.

Α΄. Καταζώννυνται δὲ εἰς τὰ μάλιστα καὶ ἔχουσιν ἐν **[924]** προβολῇ ὅπερ Παῦλος Κορινθίοις ἐν τῇ πρώτῃ γράφει Ἐπιστολῇ· «Ὅτι οὐδεὶς Θεός, εἰ μὴ εἷς. Καὶ γὰρ εἴπερ εἰσὶ λεγόμενοι θεοὶ εἴτε ἐν οὐρανῷ εἴτε ἐπὶ γῆς (ὥσπερ εἰσὶ θεοὶ πολλοὶ καὶ κύριοι πολλοί), ἡμῖν δὲ εἷς Θεὸς ὁ Πατήρ, ἐξ οὗ τὰ πάντα καὶ εἷς Κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα καὶ ἡμεῖς δι' αὐτοῦ»[14]. Φησὶ γάρ· Ἁρμόζει τό, «ἐξ

---

1. Γεν. 3,9. 2. Γεν. 4,9. 3. Ἐξ. 4,2. 4. Β΄ Τιμ. 2,29. 5. Γεν. 22,12. 6. Γεν. 18,9. 7. Ἔνθ' ἀν. 18,12. 8. Γεν. 19,22. 9. Πρβλ. Ματθ. 7,23. 10. Γεν. 18,21. 11. Πρβλ. Γεν. 6,7. 12. Α΄ Βασ. 15,35. 13. Ψαλ. 105,45-46. 14. Α΄ Κορ. 8,4-6.

οὗ» καὶ τό, «ὁ Θεός», ἐν μόνῳ τῷ Πατρί, ὡς ὑπερτέρῳ πρὸς τὴν θρησκείαν αὐτῶν καὶ οἷον ὄντι τῷ χρόνῳ πρὸς ἀμφοῖν τῶν ὑποστάσεων· τὸ δέ, «δι' οὗ», καὶ τό, «ὁ Κύριος», ὡς ὑπουργῷ καὶ δευτέρως ἔχοντι τῷ Υἱῷ, δι' οὗ τὰ πάντα ἐγένετο· τὸ δέ, «ἐν ᾧ», τρίτως καθ' ὑπόβασιν τῷ Ἁγίῳ Πνεύματι· ἐν αὐτῷ γάρ, φησίν, πᾶσα δόξα ἀναπέμπεται· ὁρμηθέντες καὶ πρὸς τοῦτο ἀπὸ τῶν Παύλου γραμμάτων, τῶν τε πρὸς Ἐφεσίους ἐχόντων παραίνεσιν οὖσαν ἐν τούτοις· «Μὴ λυπεῖτε τὸ Πνεῦμα τὸ Ἅγιον τοῦ Θεοῦ, ἐν ᾧ ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως»[1]· τῶν τε πρὸς Κορινθίους, ἐχόντων διδασκαλίαν τοιάνδε· «Οὐ γάρ ἐστιν ἡ βασιλεία τοῦ Θεοῦ βρῶσις καὶ πόσις, ἀλλὰ δικαιοσύνη καὶ εἰρήνη καὶ χαρὰ ἐν Πνεύματι Ἁγίῳ»[2]. Οὐδὲν δὲ οὐδὲ τοῦτο αὐτῶν ἐστι παντελῶς. Αἱ γὰρ τῶν λέξεων ἐναλλαγαί, οὐ δι' ἐλάττωσιν τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματός εἰσιν· ἀμφότεραι γὰρ αἱ λέξεις οἰκείως ἔχουσι πρὸς ἑκάστην ὑπόστασιν· εἰ γὰρ τὰ πάντα ἐκ τοῦ Θεοῦ, ὥσπερ οὖν ἀληθές, πῶς ἄνωθεν τὰ πάντα διὰ τοῦ Υἱοῦ; Καὶ εἰ ἠπίστατο τοῖς εἰσποιητοῖς θεοῖς ἐναριθμεῖσθαι αὐτόν, τί μὴ τοῖς ἄλλοις ἀνέμειξεν καὶ μὴ τῷ Πατρὶ συνήνωσεν; Ἀλλ' οὕτως εἴρηνται, τοῦτο μὲν διὰ τὸ μὴ σύγχυσιν νοῆσαι τῶν θείων ὑποστάσεων, ἑκάστην δὲ διευκρινηθῆναι· τοῦτο δὲ διὰ τὸ ἐκβάλλεσθαι Ἑλλήνων μὲν τὴν πολυθεΐαν διὰ τοῦ «Εἷς Θεὸς ὁ Πατήρ»[3], Ἰουδαίων δὲ τὴν περὶ τὸν Χριστὸν ἀθέτησιν διὰ τοῦ «Εἷς Κύριος Ἰησοῦς Χριστός»[4], Μοντανιστῶν δὲ τὴν ἄνοιαν, μελλόντων τὰς τρεῖς πανυμνήτους ὑποστάσεις ὡς ἓν πρόσωπον θρησκεύειν, διὰ τοῦ «Εἷς» καὶ «Εἷς» καὶ «Εἷς», Σαβελλίου δὲ τὴν μανίαν ἀνούστατον εἶναι τὸν Θεὸν Λόγον, ὡς τὸν προφορικὸν τὸ ἀναλυόμενον καὶ ἀέρι συνεκχεόμενον, φαντασθέντος, οὕτως· ὅτι ὁ Ἀπόστολος τὸν σύνδεσμον τῆς θείας εἰρήνης φυλάττων πάλιν ἀμφοτέρας τὰς λέξεις ταύτας συναγαγὼν εἰς τὸν ἕνα ἀναπέμπει ἀρρητότατον Θεὸν Ῥωμαίοις γράψας· «Ὅτι ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ καὶ εἰς αὐτὸν τὰ πάντα· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν»[5] καὶ Ἐφεσίοις· «Εἷς Θεὸς καὶ Πατὴρ πάντων, ὁ ἐπὶ πάντων καὶ διὰ πάντων καὶ ἐν πᾶσιν»[6]· οὐκ ἀλλότριον εἶναι λέγων τοῦ «ἐπὶ πάντων» τὸ «διὰ πάντων», οὐδὲ τοῦ «διὰ πάντων» τὸ «ἐν πᾶσιν». Οὐ **[925]** κεχώρισται γὰρ τοῦ «ἐπὶ πάντων» ἡ κτίσις, ἣν ὁ μὲν «διὰ πάντων» Θεὸς Λόγος εἰς τὸ εἶναι παρήγαγε, τὸ δὲ «ἐν ἅπασιν» Πνεῦμα τοῦ Θεοῦ πληροῖ, συνέχει, ἁγιάζει καὶ ζωοποιεῖ. Διά τοι τοῦτο ἐξακολουθῶν τῷ περὶ τὸ βάπτισμα θεσπίσματι τοῦ Δεσπότου, τοῖς αὐτοῖς τὸ δεύτερον Κορινθίοις ἐπιστείλας, τῇ Τριάδι τὴν ἰσοτιμίαν ἐφύλαξεν, εἰπών· «Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ ἡ κοινωνία τοῦ Ἁγίου Πνεύματος μετὰ πάντων ὑμῶν»[7].

---

1. Ἐφ. 4,30. 2. Ρωμ. 14,17. 3. Α' Κορ. 8,6. 4. Πρβλ. Ἐφ. 4,6. 5. Ρωμ. 9,36. 6. Ἐφ. 4,6. 7. Β' Κορ. 13,13.

Β′. Ἐνταῦθα τὸ ταὐτὸν τῆς θεότητος καὶ τὸ ἁπλοῦν τῆς πίστεως μονονουχὶ τοῦ Πατρὸς προτάττων τὸν Υἱόν, ἀλλὰ καὶ προσκύνησιν ἴσην ἀπονέμων τῷ Ἁγίῳ Πνεύματι καὶ ἑνότητα καὶ κοινωνίαν εἶναι λέγων αὐτῷ. Ποίαν δὲ ταύτην; Οὐσίας, βασιλείας, θελήματος καὶ τῆς ἀναπεμπομένης δόξης. Ἐξ ὑπαρχῆς δὲ τοῦ προβλήματος μνημονεύσωμεν. Γράφει· «Εἷς Θεὸς ὁ Πατήρ»[1] καὶ «εἷς Κύριος Ἰησοῦς Χριστός»[2]· οὐχ ὡς τοῦ ὀνόματος «τῆς θεότητος» ὑπερέχοντος ἢ πρωτεύοντος τοῦ ὀνόματος «τῆς κυριότητος», οὐδ' ὡς ἁρμόζοντος μόνῳ μὲν τῷ Πατρὶ τὸ ἀκούειν «Θεός», μόνῳ δὲ τῷ Υἱῷ τὸ καλεῖσθαι «Κύριος» (ἀμφοτέρων γὰρ τὰ δύο ἴδια)· ἀλλ' ὅπως καὶ τὸ ἰδιοσύστατον τῶν ὑποστάσεων καὶ τὸ ἐν μιᾷ εἶναι αὐτὰς θεότητι καὶ κυριότητι ἀπαγγείλῃ. Ἐπείτοιγε κατ' αὐτούς, εἰ μή ἐστιν φύσει Θεὸς ὁ Υἱὸς οὐδὲ Κύριος ὁ Πατὴρ (ἵλεως δὲ ἡμῖν εἴη, τοιαῦτα ἐξ ἀνάγκης διὰ τὴν ἀπόνοιαν φθεγγομένοις τὴν τούτων), ὡς ταὐτὸν δὲ τυγχάνων «Θεὸς» καὶ «Κύριος» καὶ ὡς θάτερον θατέρου μὴ διαφέρον, μηδὲ κεχωρισμένον ὡς ἐπίπαν, προτάττει ἡ Γραφὴ τὸ «ὁ Κύριος» τοῦ «ὁ Θεὸς» κατὰ Μωϋσέα λέγοντα· «Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστιν»[3]· καὶ πάλιν· «Πῶς διώξεται εἷς χιλίους καὶ δύο μετακινήσουσι μυριάδας, εἰ μὴ Κύριος παρέδωκεν αὐτοὺς καὶ ὁ Θεὸς ἀπέδοτο αὐτούς»[4]; καὶ κατὰ τὸν Ψαλμῳδὸν ἐν ζ′ ψαλμῷ· «Κύριε ὁ Θεός μου, εἰ ἐποίησα τοῦτο»[5]. Κατὰ δὲ Ἰησοῦν τὸν τοῦ Ναυῆ ἡ λατρεία, ἥτις ὀφείλεται μόνῳ Θεῷ, τῷ Κυρίῳ προσάγεται· πάντως δὲ ὡς Θεῷ. Ἔχει γάρ· «Μάρτυρες ὑμεῖς καθ' ἑαυτῶν ὅτι ἐξελέξασθε ἑαυτοῖς τὸν Κύριον τοῦ λατρεύειν αὐτῷ»[6]. Ἔστι δὲ σκοπῆσαι καὶ ἐξ ἑτέρας γραφῆς, ὡς οὐ τῇ μιᾷ ὑποστάσει ἁρμόττει τὸ «ὁ Κύριος». Ψάλλει γὰρ Δαυὶδ ἐν πβ′ ψαλμῷ· «Αἰσχυνθήτωσαν καὶ ταραχθήτωσαν εἰς τὸν **[928]** αἰῶνα τοῦ αἰῶνος καὶ ἐντραπήτωσαν καὶ ἀπολέσθωσαν καὶ γνώτωσαν ὅτι ὄνομά σοι Κύριος. Σὺ εἶ μόνος Ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν»[7]. Εἰ γὰρ περὶ τοῦ Πατρὸς λέγει, πῶς Παῦλος γράφει· «Εἷς ἅγιος, εἷς Κύριος Ἰησοῦς Χριστός»[8]; καὶ πάλιν· «Ὁ δὲ Κύριος τὸ Πνεῦμά ἐστιν»[9]; Εἰ δὲ περὶ τοῦ Υἱοῦ γράφει, οὐκοῦν οὐ Κύριος, οὐχ Ὕψιστος, οὐχ ἅγιος, κατ' αὐτούς, ὁ Πατήρ· ἢ ἐγκαλέσουσιν τῷ Δαυὶδ ψάλλοντι, ἐν μὲν ρθ′ ψαλμῷ· «Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου»[10], ἐν δὲ ϛθ′· «Γνῶτε, ὅτι Κύριος αὐτός ἐστιν ὁ Θεός, ὅτι αὐτὸς ἐποίησεν ἡμᾶς καὶ οὐχ ἡμεῖς»[11]. Δηλοῖ δὲ ἐκεῖνον, δι' οὗ τὰ πάντα ἐγένετο[12]. Ἐν δὲ ξζ′· «Ὁδοποιήσατε τῷ ἐπιβεβηκότι ἐπὶ δυσμάς· Κύριος ὄνομα αὐτῷ»[13]. Δυσμὰς δὲ λέγει, ἐπ' ἐσχάτων καιρῶν· Κύριον δὲ τὸν ἐπιφανέντα ὅτε ἦλθε τὸ πλήρωμα τοῦ χρόνου[14]. Ἐγκαλέσουσι δὲ καὶ Ἡσαΐᾳ Θεὸν καὶ Κύριον ὁμοίως τὸν Υἱὸν προφητεύοντι οὕτως·

---

1. Ἐφ. 4,6. 2. Πρβλ. Ἐφ. 4,6. 3. Δευτ. 6,4. 4. Δευτ. 32,30. 5. Ψαλ. 7,4. 6. Πρβλ. Ἰησ. Ν. 24,22. 7. Ψαλ. 22, 18-19. 8. Πρβλ. Α′ Κορ. 8,6. 9. Β′ Κορ. 3,17. 10. Ψαλ. 109,1. 11. Ψαλ. 99,3. 12. Πρβλ. Ἰω. 1,3. 13. Ψαλ. 67,5. 14. Πρβλ. Γαλ. 4,4.

«Ἰδοὺ ὁ Θεὸς ἡμῶν· ἰδοὺ Κύριος μετὰ ἰσχύος ἔρχεται καὶ ὁ βραχίων μετὰ κυρείας· ἰδοὺ ὁ μισθὸς αὐτοῦ μετ' αὐτοῦ καὶ τὸ ἔργον πρὸ προσώπου αὐτοῦ. Ὡς ποιμὴν ποιμανεῖ τὸ ποίμνιον αὐτοῦ καὶ τῷ βραχίονι αὐτοῦ συνάξει ἄρνας»[1]. Ἔτι δὲ καὶ Ἰακώβῳ, προοίμιον τῶν ἑαυτοῦ γραμμάτων τοῦτο ποιησαμένῳ· « Ἰάκωβος Θεοῦ καὶ Κυρίου Ἰησοῦ δοῦλος»[2]· καὶ ἐν τοῖς ἐφεξῆς· «Καὶ Κυρίου Θεοῦ»[3]. Γράψαντα δὲ καὶ Παῦλον, Ῥωμαίοις διαβεβαιούμενον· «Ὅτι πᾶς, ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται»[4]. Ἢ συνθῶνται, ὡς τὸ «ὁ Θεὸς» καὶ «Κύριος» ἐπίκοινόν ἐστιν ὄνομα τῶν τριῶν ὑποστάσεων, ὡς καὶ Βασιλεὺς καὶ Ὕψιστος καὶ ἄχραντος καὶ ἀκατάληπτος καὶ ἅγιος καὶ ὅσα πρέπει λέγειν περὶ Θεοῦ· καὶ οὐκ ἀλλοτριοῦται οὔτε ὁ Πατὴρ τῆς κυριότητος, κἂν γέγραπται· «Εἷς Κύριος Ἰησοῦς Χριστός»[5]· καί· «Ὁ δὲ Κύριος τὸ Πνεῦμά ἐστιν»[6]· οὔτε ὁ Υἱὸς ἢ τὸ Πνεῦμα τὸ Ἅγιον ἐκβάλλεται τῆς θεότητος, κἂν εἴρηται· «Εἷς Θεὸς ὁ Πατήρ»[7].

Γ'. Ἡ μὲν οὖν ἀλήθεια οὕτως, καθὰ δέδεικται καὶ ἡμεῖς δοξάζομεν. Αἱρετικοὶ δέ, κατ' οἰκείαν ἐξουσίαν τὴν δοξολογίαν συνθέντες, ἕτερον δι' ἄλλου ἐν ἄλλῳ, ὡς δι' ὀργάνου, δοξάζουσι, τὸ δ' ἀληθέστερον οὐδένα· παραβαίνοντες καὶ τὸ περὶ τὸ βάπτισμα θεῖον θέσπισμα καὶ τὴν Παύλου Ἐπιστολήν, ἔνθα συνημμένως καὶ ὁμοτίμως μνημονεύει τῆς Τριάδος· ἔτι δὲ παραβαίνοντες καὶ τὸ θέλημα τοῦ Πατρός, βουλόμενου τιμᾶσθαι τὸν Υἱὸν αὐτοῦ, καθάπερ αὐτός. Λέγουσι γάρ· «Δόξα Πατρὶ διὰ Υἱοῦ ἐν Ἁγίῳ Πνεύμα**[929]**τι»· ὅπερ οὐδαμοῦ γέγραπται συνημμένως, ἀλλὰ κεχωρισμένως, καθ' ὑπαλλαγὴν λέξεων, διὰ τὰς μνημονευθείσας αἰτίας, οὐ μέντοι διὰ δοξολογίαν ἤ τινα ὕφεσιν· οἷον ἐν τοῖς προκειμένοις ἡ Γραφὴ εἶπεν· «Εἷς Θεὸς καὶ Πατήρ, ἐξ οὗ τὰ πάντα καὶ εἷς Κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα»[8]· καὶ οὐκ ἐπήγαγεν, Ἐν Ἁγίῳ Πνεύματι, ἤ, Ἐν τῷ Πνεύματι. Πολλάκις δὲ κέχρηται τῷ «δι' οὗ » ἀντὶ τοῦ, μεθ' οὗ, ὡς Παῦλος Κορινθίοις γράφει· «Ἐκ γὰρ πολλῆς θλίψεως καὶ συνοχῆς καρδίας ἔγραψα ὑμῖν διὰ πολλῶν δακρύων»[9] ἀντὶ τοῦ, μετὰ πολλῶν. Καὶ πάλιν ἐν τῇ πρώτῃ Ἐπιστολῇ· «Ὅταν δὲ παραγένωμαι, οὓς ἐὰν δοκιμάσητε, δι' ἐπιστολῶν τούτους πέμψω ἀπενεγκεῖν τὴν χάριν ὑμῶν ἐν Ἱερουσαλήμ»[10]· τοῦτ' ἔστι, μετὰ ἐπιστολῶν πέμψω. Εἶτα ἀλλαχοῦ, οὐκ εἰποῦσα ἡ Γραφὴ τὸ «ἐξ οὗ» καὶ «δι' οὗ», λέγει· «Ἐν Πνεύματι Ἁγίῳ»[11]· ὅ ἐστι σὺν τῷ Ἁγίῳ Πνεύματι. Πολλαχοῦ γάρ, ἀντὶ τοῦ εἰπεῖν, μετὰ καὶ τοῦδε ἢ σὺν τῷδε εἴρηκε τὸ «ἐν τῷδε»· ὡς ἐν ξς' προφητεύει ψαλμῷ· «Εἰσελεύσομαι εἰς τὸν οἶκόν σου ἐν ὁλοκαυτώμασιν»[12]· ἀντὶ τοῦ, μετὰ ὁλοκαυτωμάτων· καὶ πάλιν· «Ἐξήγαγεν αὐτοὺς ἐν ἀργυρίῳ καὶ χρυσίῳ»[13]· τοῦτ' ἔστιν, μετὰ ἀργυρίου καὶ χρυσίου· καὶ πάλιν

1. Ἡσ. 40,11. 2. Ἰακ. 1,1. 3. Ἔνθ' ἀν. 4. Ρωμ. 10,13. 5. Α' Κορ. 8,6. 6. Β' Κορ. 3,17. 7. Α' Κορ. 8,6. 8. Αὐτόθι. 9. Β' Κορ. 2,4. 10. Α' Κορ. 16,3. 11. Ἰω. 1,33. 12. Ψαλ. 65,13. 13. Φιλ. 104,37.

ἐν ρζ'· «Οὐκ ἐξελεύσῃ ἐν ταῖς δυνάμεσιν ἡμῶν»[1]· ὅ ἐστι, σὺν ταῖς δυνάμεσιν ἡμῶν. Ὁ δὲ σοφώτατος Παῦλος, περὶ τοῦ Σωτῆρος Χριστοῦ γράφων, ἀντὶ τοῦ εἰπεῖν, Πάντα ἐπ' αὐτὸν συνέστηκε καὶ παρ' αὐτοῦ ἐκτίσθη, ἔφη· «Πάντα ἐν αὐτῷ συνέστηκεν καὶ ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα»[2]. Εἰ οὖν παραλλαξίαν οὐ δηλοῖ ἡ λέγουσα τοῦ Δεσπότου φωνή, «Βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ 'Αγίου Πνεύματος»[3], παραλλαξίαν ἡ λέξις οὐχ ἕξει, «ἐν τῷ 'Αγίῳ Πνεύματι», διά τε εἰς ἓν ὄνομα ἰσοτίμως εἰρῆσθαι, διά τε αὐτὸν εἶναι εἰπεῖν, «εἰς τὸ ὄνομα» καὶ «ἐν τῷ ὀνόματι».

Δ'. Ἱκανὰ μὲν οὖν ἐστι καὶ ταῦτα. Εὑρίσκεται δὲ ὅμως τὸ «ἐξ οὗ» γεγραμμένον περί τε τοῦ Υἱοῦ, περί τε τοῦ 'Αγίου Πνεύματος καὶ τὸ «δι' οὗ» κείμενον περὶ τοῦ Πατρὸς καὶ περὶ τοῦ θείου Πνεύματος, καὶ τὸ «ἐν ᾧ» οὐ τῷ 'Αγίῳ Πνεύματι ἀφωρισμένον, ἀλλὰ καὶ περὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ λεχθέν, ὡς αἱ ὑποκείμεναι παριστῶσιν γραφαί. Ὅτι τὸ «ἐξ οὗ» εἴρηται καὶ περὶ τοῦ Υἱοῦ καὶ τοῦ 'Αγίου Πνεύματος, οὕτως· περὶ τοῦ Υἱοῦ, Παῦλος Ἐφεσίοις· «Ὅστις ἐστὶν ἡ κεφαλὴ Χριστός, ἐξ οὗ πᾶν τὸ σῶμα συναρμολογούμενον καὶ συμβιβαζόμενον αὔξει τὴν αὔξησιν τοῦ Θεοῦ»[4]· Ἰωάννης ἐν Εὐαγγελίῳ· «Ἐκ **[932]** τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν»[5]· καὶ πάλιν ἀπὸ τοῦ Υἱοῦ· «Ἐκ τοῦ ἐμοῦ λήψεται καὶ ἀναγγελεῖ ὑμῖν»[6]· καὶ ἑτέρωθι· «Ἔγνων δύναμιν ἐξελθοῦσαν ἀπ' ἐμοῦ»[7]. Περὶ τοῦ 'Αγίου Πνεύματος Ἰωάννης· «Ὁ σπείρων εἰς τὸ Πνεῦμα ἐκ τοῦ Πνεύματος θερίσει ζωὴν αἰώνιον»[8]· καὶ πάλιν· «Τὸ γεγεννημένον ἐκ τοῦ Πνεύματος, Πνεῦμά ἐστιν»[9]· καὶ ὁ ἄγγελος· «Τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ Πνεύματός ἐστιν Ἁγίου»[10]. Ὅτι περὶ τοῦ Πατρὸς γέγραπται ἡνωμένως «ἐξ οὗ» «δι' οὗ» καὶ «ἐν ᾧ», προελέχθη· ὅτι κεχωρισμένως τὸ «δι' οὗ» κεῖται περὶ τοῦ Πατρὸς καὶ τοῦ 'Αγίου Πνεύματος, οὕτω· περὶ τοῦ Πατρός, Ἡσαΐας ἀπὸ τοῦ Πατρὸς πρὸς τὸν Υἱόν· «Ἰδοὺ προσήλυτοι προσελεύσονταί σοι δι' ἐμοῦ»[11]. Ἐπιτήρησον, ὡς διὰ τὸ ἰσότιμον καὶ ὁμοούσιον προσάγει τὰ ἔθνη τῷ Υἱῷ ὁ Πατήρ· καὶ πάλιν· «Οὐαὶ οἱ βαθέως βουλὴν ποιοῦντες καὶ οὐ δι.ὰ Κυρίου»[12]. Καὶ ἐν τῇ Γενέσει Ἀδὰμ λέγει· «Ἐκτησάμην ἄνθρωπον δι.ὰ τοῦ Θεοῦ»[13]· καὶ πάλιν· «Ὅσα ἐνετείλατο Μωϋσῆς τῷ Ἰσραὴλ διὰ τοῦ προστάγματος Κυρίου»[14]. Καὶ Ἰωσὴφ πρὸς τοὺς εὐνούχους φησίν· «Οὐχὶ δ.ὰ τοῦ Θεοῦ ἡ διασάφησις αὐτῶν ἔσται»[15]; Ἀλλὰ καὶ Παῦλος Ἑβραίοις· «Ἔπρεπεν γάρ», φησίν, «αὐτῷ, δι' ὃν τὰ πάντα καὶ δι' οὗ τὰ πάντα, πολλοὺς υἱοὺς εἰς δόξαν ἀναγαγόντα, τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν διὰ παθημάτων τελειῶσαι»[16]. Σημειωτέον, πῶς παρα-

---

1. Ψαλ. 107,12. 2. Πρβλ. Κολ. 1,17,16. 3. Ματθ. 28,19. 4. Ἐφ. 4,15-16. 5. Ἰω. 1,16. 6. Πρβλ. Ἰω. 16,15. 7. Λουκ. 8,46. 8. Γαλ. 6,8. 9. Ἰω. 3,6. 10. Ματθ. 1,20. 11. Ἡσ. 55,15. 12. Ἡσ. 29,15. 13. Γεν. 4,1. 14. Ἀρ. 36,5. 15. Γεν. 40,8. 16. Πρβλ. Ἑβρ. 2,10.

πλήσιον τοῦτο μάλιστα τῷ ἐκκειμένῳ κεφαλαίῳ τῷ· «Εἷς Κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα»[1]· καὶ Κολοσσαεῦσιν· «Παῦλος ἀπόστολος δοῦλος Ἰησοῦ Χριστοῦ διὰ θελήματος Θεοῦ»[2]· καὶ Κορινθίοις· «Πιστὸς ὁ Θεός, δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ Υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν»[3]. Μέμνησο πάλιν, ὅτι ὁ Θεὸς καὶ Πατὴρ καλεῖ πρὸς τὸν ἑαυτοῦ Υἱόν. Καὶ Ῥωμαίοις· «Παρακαλῶ οὖν ὑμᾶς, ἀδελφοί, διὰ τῶν οἰκτιρμῶν τοῦ Θεοῦ»[4]· καὶ Γαλάταις· «Ὥστε οὐκ ἔτι εἶ δοῦλος, ἀλλὰ υἱός· εἰ δὲ Υἱὸς καὶ κληρονόμος διὰ Θεοῦ»[5].

Ε'. Περὶ τοῦ Ἁγίου Πνεύματος Ἡσαΐας ἀπὸ τοῦ Πατρός· «Βουλὴν ἐποιήσατε οὐ δι' ἐμοῦ καὶ συνθήκας οὐ διὰ τοῦ Πνεύματός μου»[6]· Παῦλος Κορινθίοις· «Ἡμῖν ἀπεκάλυψεν ὁ Θεὸς διὰ τοῦ Πνεύματος αὐτοῦ· τὸ γὰρ Πνεῦμα πάντα ἐρευνᾷ καὶ τὰ βάθη τοῦ Θεοῦ»[7]· καὶ πάλιν· «Ὧ μὲν γὰρ **[933]** διὰ τοῦ Πνεύματος δίδοται λόγος σοφίας, ἄλλῳ δὲ πίστις διὰ τοῦ αὐτοῦ Πνεύματος»[8]. Ῥωμαίοις· «Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ διὰ τῆς ἀγάπης τοῦ Πνεύματος»[9]· καὶ πάλιν· «Ὁ ἐγείρας Ἰησοῦν Χριστὸν ἐκ νεκρῶν, ζωοποιήσει καὶ τὰ θνητὰ σώματα ὑμῶν, διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ Πνεύματος ἐν ὑμῖν[10], κατὰ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ, δυνάμει κραταιωθῆναι διὰ τοῦ Πνεύματος αὐτοῦ»[11]· καὶ πάλιν· «Ἡ ἀγάπη τοῦ Θεοῦ ἐκκέχυται ἐν ταῖς καρδίαις ἡμῶν διὰ Πνεύματος Ἁγίου»[12]· καὶ πρὸς Τιμόθεον· «Τὴν καλὴν παραθήκην φύλαξον διὰ Πνεύματος Ἁγίου, τοῦ ἐνοικοῦντος ἐν ἡμῖν»[13]. Καὶ αἱ Πράξεις φασίν· «Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων, ὦ Θεόφιλε, ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν, ἄχρι ἧς ἡμέρας ἐντειλάμενος τοῖς ἀποστόλοις διὰ Πνεύματος Ἁγίου, οὓς ἐξελέξατο, ἀνελήφθη»[14]. Εἶπε δὲ «πρῶτον» τὸ Εὐαγγέλιον τὸ κατὰ Λουκᾶν· αὐτὸς γὰρ καὶ τὰς ἀποστολικὰς Πράξεις συνέγραψεν. Ὅτι, ἐν ᾧ ἐγράφη περί τε τοῦ Πατρός, περὶ τοῦ μονογενοῦς αὐτοῦ Υἱοῦ οὑτωσί. Περὶ τοῦ Πατρός, Ὡσιέ· «Καὶ εἶπεν αὐτῷ», φησίν, «ὁ Θεός· Κάλεσον τὸ ὄνομα αὐτῆς, Οὐκ ἠλεημένη· διότι οὐ μὴ προσθήσω ἔτι ἐλεῆσαι τὸν οἶκον τοῦ Ἰσραήλ, ἀλλ' ἢ ἀντιτασσόμενος ἀντιτάξομαι αὐτοῖς· τοὺς δὲ υἱοὺς Ἰούδα ἐλεήσω καὶ σώσω αὐτοὺς ἐν Κυρίῳ Θεῷ αὐτῶν»[15]. Ἐν τῇ ᾠδῇ Ἄννης· «Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ, ὑψώθη κέρας μου ἐν Θεῷ μου»[16]. Δαυὶδ ἐν ψαλμῷ ρζ'· «Καὶ οὐκ ἐξελεύσῃ, ὁ Θεός, ἐν ταῖς δυνάμεσιν ἡμῶν; Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως καὶ ματαία σωτηρία ἀνθρώπου. Ἐν τῷ Θεῷ ποιήσωμεν δύναμιν καὶ αὐτὸς ἐξουδενώσει τοὺς θλίβοντας ἡμᾶς»[17]· καὶ πάλιν· «Ἐν τῷ Θεῷ ὑπερβήσομαι τεῖχος»[18]· καὶ πάλιν· «Ἐν τῷ Θεῷ

---

1. Α' Κορ. 8,6. 2. Κολ. 1,1. 3. Α' Κορ. 1,9. 4. Ρωμ. 12,1. 5. Γαλ. 4,7. 6. Ἡσ. 30,1. 7. Α' Κορ. 12,10. 8. Πρβλ. Α' Κορ. 12,8. 9. Ρωμ. 15,30. 10. Ρωμ. 8,11. 11. Ἐφ. 3,16. 12. Πρβλ. Ρωμ. 5,5. 13. Β' Τιμ. 1,14. 14. Πράξ. 1,1. 15. Ὡσ. 1,6-7. 16. Α' Βασ. 2,1. 17. Ψαλ. 107,12,14. 18. Ψαλ. 17,30.

ἐπαινέσω τοὺς λόγους μου»[1]. Παῦλος πρὸς Κολοσσαεῖς· «Εὐχαριστοῦντες τῷ Πατρί, τῷ ἱκανώσαντι ὑμᾶς εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτί· «ὃς ἐρρύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους καὶ μετέστησεν εἰς τὴν βασιλείαν **[936]** τοῦ Υἱοῦ τῆς ἀγάπης αὐτοῦ· ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν, τὴν ἄφεσιν τῶν ἁμαρτιῶν»[2]. καὶ πάλιν· «Παῦλος καὶ Σιλουανὸς καὶ Τιμόθεος τῇ Ἐκκλησίᾳ Θεσσαλονικέων ἐν Θεῷ Πατρὶ ἡμῶν καὶ Κυρίῳ Ἰησοῦ Χριστῷ»[3]· καὶ πάλιν· «Εἰ δὲ σὺ Ἰουδαῖος ἐπονομάζῃ καὶ ἐπαναπαύῃ νόμῳ καὶ καυχᾶσαι ἐν τῷ Θεῷ»[4]· καὶ ἑτέρωθι· «Εἷς Θεός, δι' οὗ τὰ πάντα καὶ ἡμεῖς εἰς αὐτόν»[5]· καὶ πάλιν· «Ἐν τῷ Θεῷ τῷ τὰ πάντα κτίσαντι»[6]· αὖθίς τε· «Ἤδη ποτὲ εὐοδωθήσομαι ἐν τῷ θελήματι τοῦ Θεοῦ ἐλθεῖν πρὸς ὑμᾶς»[7]· καὶ πάλιν· «Εὔχεσθε ἐν Θεῷ»[8]· καὶ πάλιν· «Ὁ ποιῶν τὴν ἀλήθειαν ἔρχεται πρὸς τὸ φῶς, ἵνα φανερωθῇ αὐτοῦ, ὅτι ἐν Θεῷ εἰσιν εἰργασμένα»[9].

ΣΤ'. Περὶ τοῦ Υἱοῦ Παῦλος Κολοσσαεῦσι μέν· «Ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα ἐν τοῖς οὐρανοῖς καὶ ἐπὶ γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα· εἴτε θρόνοι εἴτε κυριότητες εἴτε ἀρχαὶ εἴτε ἐξουσίαι, τὰ πάντα δι' αὐτοῦ καὶ εἰς αὐτὸν ἐκτίσθη· καὶ αὐτός ἐστι πρὸ πάντων καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκεν»[10]. Κορινθίοις μὲν ἐν τῇ πρώτῃ Ἐπιστολῇ· «Ἀλλὰ ἀπελούσασθε, ἀλλ' ἐδικαιώθητε, ἀλλὰ ἡγιάσθητε ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ καὶ ἐν τῷ Πνεύματι τοῦ Θεοῦ ἡμῶν»[11]· ἐν δὲ τῇ δευτέρᾳ· «Τῷ δὲ Θεῷ χάρις, τῷ πάντοτε θριαμβεύοντι ἡμᾶς ἐν τῷ Χριστῷ καὶ τὴν ὀσμὴν τῆς γνώσεως αὐτοῦ φανεροῦντι δι' ἡμῶν»[12]· καὶ πάλιν· «Ὥστε εἴ τις ἐν Χριστῷ, καινὴ κτίσις»[13]· Ῥωμαίοις δέ· «Ὁ γὰρ νόμος τοῦ Πνεύματος τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου»[14]· τοῖς αὐτοῖς· «Πάντες γὰρ ἥμαρτον καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ, δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ χάριτι διὰ τῆς ἀπολυτρώσεως τῆς ἐν Χριστῷ Ἰησοῦ»[15]· Ἑβραίοις δέ· «Πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις, ἐπ' ἐσχάτων ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν Υἱῷ»[16]. Πέτρος ἐν Ἐπιστολῇ· «Ὁ δὲ Θεὸς πάσης χάριτος, ὁ καλέσας ἡμᾶς εἰς τὴν αἰώνιον αὐτοῦ δόξαν ἐν Χριστῷ Ἰησοῦ»[17].

---

1. Ψαλ. 55,5. 2. Κολ. 1,13. 3. Α' Θεσ. 1,1. 4. Ρωμ. 2,17. 5. 1 Κορ. 8,6. 6. Ἐφ. 3,9. 7. Ρωμ. 1,10. 8. Πρβλ. Β' Κορ. 13,7. 9. Ἰω. 3,21. 10. Κολ. 1,17-18. 11. Α' Κορ. 6,11. 12. Β' Κορ. 2,14. 13. Β' Κορ. 5,17. 14. Ρωμ. 8,2. 15. Ρωμ. 3,23-24. 16. Ἑβρ. 1,1-2. 17. Α' Πέτρ. 5,10.

ΚΕΦΑΛΑΙΟΝ ΚΔ'

Περὶ τοῦ Ἕλληνας πρὸς τὴν ἰδίαν πλάνην νοεῖν τό· Εἴ τινές εἰσι λεγόμενοι θεοὶ εἴτε ἐν οὐρανῷ εἴτε ἐπὶ γῆς.

Ἔτι καὶ οἱ οἰήσει σοφοὶ καὶ πάσης ἀβελτηρίας ἐπέκεινα Ἕλληνες, οἱ πολυθεΐας δόξῃ καταμεθύοντες καὶ ἑαυτοὺς πείθοντες, ὅτιπερ μόνοι εἰσὶν πολυμα[937]θεῖς, ἀμαθαίνοντες δὲ περὶ τὸ καίριον παρὰ πάντας καὶ οὐδεμίαν ἀκριβῆ περὶ τῆς ἐν μονάδι μακαρίας Τριάδος εἴδησιν ἔχοντες, αὐτῶν (παραπλησίως τῇ λεγούσῃ Γραφῇ, «Ἀσεβὴς ἐμπεσὼν εἰς βάθος κακῶν καταφρονεῖ»[1]) δι' ἐθελοακρότητα δεισιδαιμονίας δῆθεν καὶ περιεργείας εἰς βεβαίωσιν τῆς πολυθεΐας, μᾶλλον δὲ ἀθεΐας αὐτῶν ἐπερείδονται κακῶς τῇ προλεχθείσῃ τοῦ Ἀποστόλου φωνῇ· «Εἴ τινές εἰσι λεγόμενοι θεοί, εἴτε ἐν οὐρανῷ, εἴτε ἐπὶ γῆς· ὥσπερ εἰσὶ θεοὶ πολλοὶ καὶ κύριοι πολλοί»[2]· καὶ τῇ προφητικῇ, τῇ φασκούσῃ· «Θεοὺς οὐ κακολογήσεις»[3]· καί· «Θεὸς θεῶν Κύριος ἐλάλησεν»[4]· οὐκ ἔτι βλέποντες δύο ταῦτα· ἓν μέν, ὅτι ὁ Ἀπόστολος ἔγραψε πρὸ τοῦ μνησθέντος ῥητοῦ· «Οὐδεὶς Θεός, εἰ μὴ εἷς»[5], ἕτερον δέ, ὅτι· «Λεγόμενοι θεοί εἰσιν»· τοῦτ' ἐστιν, οὐ φύσει ὑπάρχοντες, ἀλλ' ὀνόματι. Τὸ μὲν γὰρ ἀποτέλεσμα σεσιώπηται, δεῖ δὲ ἐκδέξασθαι, ὡς δεδομένον ἀπὸ μέρους τὸ ὅλον νοοῦντας. Χάριν γὰρ καὶ τῶν κατ' ἔλλειψιν φρασθέντων γράφει· «Ὁ ἀναγινώσκων νοείτω»[6]. Θεοὺς τοίνυν τοὺς ἁγίους λέγει, τοὺς κατὰ χάριν ἀξιωθέντας τῆς υἱοθεσίας καὶ ταύτης τῆς προσηγορίας· ὧν ἐξ ἀρετῆς τὸ πολίτευμα, κατὰ τὸν αὐτὸν Ἀπόστολον, ἔστιν ἐν οὐρανῷ[7]· περὶ ὧν αὐτὸς ὁ ἀπλανὴς Θεὸς εἰρηκὼς φαίνεται· «Ἐγὼ εἶπα· Θεοί ἐστε καὶ υἱοὶ Ὑψίστου πάντες»[8]· καὶ ὁ εὐαγγελιστής· «Εἰ ἐκείνους εἶπε θεούς, πρὸς οὓς ὁ λόγος τοῦ Θεοῦ ἐγένετο[9]. Καὶ μέντοι Μωϋσέα καὶ Ἀαρὼν αἰνίττεται ἡ Γραφὴ τοὺς ἀγγέλων γείτονας, τοὺς οὐ μόνον γενικώτερον, ἀλλὰ καὶ ἰδικώτερον κατηγλαϊσμένους τῷ τοῦ Θεοῦ ὀνόματι. Εἶπε γὰρ ὁ Θεὸς τῷ Μωϋσεῖ· «Ἰδοὺ τίθεμαί σε θεὸν τῷ Φαραώ»[10]· καὶ πάλιν τῷ Ἀαρών· «Ἔσῃ αὐτῷ εἰς Θεόν»[11]· τοῦτ' ἔστι τῇ περὶ αὐτὸν προνοίᾳ. Ἡ τάχα οὐκ ἀπεικὸς κατ' ἐμὲ καὶ τὰς πιστὰς καὶ εὐδοκίμους λειτουργικὰς τοῦ Θεοῦ δυνάμεις τὰ εὐχάριστα ποιήματα, σεραφὶμ λέγω καὶ κυριότητας, δυνάμεις τε καὶ ἐξουσίας, τούτῳ, καθὰ καὶ ἡμεῖς, τῷ ὑπερφερεῖ τετιμῆσθαι ὀνόματι. Ἀφθόνως γὰρ ὁ πάντων γενεσιουργὸς τοῖς αἰτοῦσιν αὐτὸν καὶ οὐκ αἰτοῦσι, πιστοῖς δὲ καὶ εὐγνώμοσιν οὖσι καὶ χάριτος εἰδόσι μεμνῆσθαι, πάντων μεταδίδωσι, κἂν σιγῶσιν, τῶν ἑαυτοῦ ἀγαθῶν. Μᾶλλον οὖν ἐπιλεγέσθωσαν, Ἱερεμίαν μὲν προφητεύοντα περὶ

---

1. Πρβλ. Παρμ. 18,3. 2. Α' Κορ. 8,5. 3. Ἐξ. 22,27. 4. Ψαλ. 49,1. 5. Α' Κορ. 8,4. 6. Ματθ. 24,15. 7. Φιλιπ. 3,20. 8. Ψαλ. 81,6. 9. Ἰω. 10,35. 10. Ἐξ. 7,1. 11. Ἐξ. 4,16.

τῶν παρ' Ἕλλησι συμπτωχοτάτων αὐτοῖς θεῶν· «Θεοί, οἳ [940] τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν ἐπὶ τῆς γῆς»[1]· Κύριος ἐποίησε τοὺς οὐρανοὺς ἐν συνέσει[2], αὐτὸς Θεὸς ζῶν καὶ ἀληθινός»[3]· τὸν δὲ Δαυὶδ ἐν ριγ' ψάλλοντα· «Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων. Στόμα ἔχουσι καὶ οὐ λαλήσουσιν· ὀφθαλμοὺς ἔχουσι καὶ οὐκ ὄψονται· ὦτα ἔχουσι καὶ οὐκ ἀκούσονται· ῥῖνας ἔχουσι καὶ οὐκ ὀσφρανθήσονται· χεῖρας ἔχουσι καὶ οὐ ψηλαφήσουσι· πόδας ἔχουσι καὶ οὐ περιπατήσουσιν· οὐ φωνήσουσιν ἐν τῷ λάρυγγι αὐτῷ. Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς»[4].

ΚΕΦΑΛΑΙΟΝ ΚΕ'

«Δόξασόν με σύ, Πάτερ, παρὰ σεαυτῷ τῇ δόξῃ, ἣ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί».

Καταλιπόντες οὖν ἤδη καὶ τὸ κεφάλαιον τοῦτο, ἐπὶ ἕτερον μεταβῶμεν. Αἱρετικῶν οἱ ἐξηγηταί, νενευκότες πρὸς τὰ αἰσχίω, τὸν ἀγῶνα πρὸς τὸ παραρρηγνύναι τὴν ἀλήθειαν ἔχουσι καὶ μηδὲν ὀρθῷ σκοπῷ προσηκούσας ἀμφισβητήσεις ἐπινοοῦσιν ἀεί. Προσπταίουσι γὰρ καὶ περὶ τὰς ἀναιτίους καὶ μείζονας συλλαβὰς τοῦ τὰ κακυνθέντα ἡμῶν δι' ἡμετέραν ἀφροσύνην ἰωμένου δι' οἰκείαν εὐσπλαγχνίαν καὶ ἀρήγοντος πάντοτε πᾶσιν καὶ μήτε ὀρθῶν, μήτε τῶν ἐπταισμένων τὴν πολιτείαν ἀποστρεφομένου μεγάλου καὶ ἀναμαρτήτου Θεοῦ, τὰς ἐχούσας ὧδε· «Δόξασόν με σύ, Πάτερ, παρὰ σεαυτῷ»[5]· ὑπολαμβάνοντες ἰδίαν αὐτὸν κεκτῆσθαι δόξαν, καίτοι ἐπαγαγόντος· «Τῇ δόξῃ ἣ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί»[6]· καὶ ποιήσαντος διὰ τῆς συμφράσεως ταύτης δῆλον, ὅτι ἀίδιον καὶ σύμφυτον ἔχει δόξαν κατά τὸ θεϊκόν, ἥτις οὐκ ἀπεβλήθη αὐτοῦ· ἀμετάβλητον γὰρ τὸ θεῖον. Ἔφασαν τοιγάρτοι αὐταῖς λέξεσιν, ὁ μὲν ἀοίδιμος Ἰωάννης· «Καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς»[7]· ὁ δὲ ἀείμνηστος καὶ πολύπειρος τούτων Παῦλος· «Εἰ γὰρ ἤδεσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν»[8]. Καὶ ἄλλως δὲ οὐ θέμις νοεῖν, ὡς τῷ ἰδίῳ ἔργῳ δοξάζεται ὁ Θεὸς (πάντα γὰρ δι' αὐτοῦ ἐγένετο), σὺν πᾶσιν δὲ πάντως καὶ ἣν νομίζουσι δόξαν. Καὶ Θεοῦ δὲ δυνάμεως καὶ σοφίας ἔργα καὶ δοῦλα τὰ σύμπαντα κεχρησμῴδηται. Τοῦ Θεοῦ σοφία καὶ δύναμις[9] ὁ Μονογενής ἐστιν, ἅτε δημιουργὸς Λόγος. Ἡρμήνευσε τοιγαροῦν παρὰ τῷ αὐτῷ εὐαγγελιστῇ οὗτος ὁ εὔμεικτος Θεός, τί ἐστι τό, «Δόξασόν με»[10], πρὸς τὸν Πατέρα εἰπών· «Ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς· τὸ ἔργον

1. Ἱερ. 10,11-12. 2. Πρβλ. Ψαλ. 135,5. Ἱερ. 28,15. 3. Πρβλ. Α' Θεσ. 1,9. 4. Ψαλ. 113,12-16. 5. Ἰω. 17,5. 6. Αὐτόθι. 7. Ἰω. 1,14. 8. Α' Κορ. 2,8. 9. Α' Κορ. 1,18. 10. Ἰω. 17,5.

ἐτελείωσα, ὃ δέδωκας μοι ἵνα ποιήσω»[1]· ἀντὶ τοῦ, Οὐδὲν ἔξωθεν τοῦ θελήματός σου ἡ ἐνανθρώπησίς μου ἐποίησεν, ἀλλὰ πάντα **[941]** συμφώνως. Ἐνόησαν δέ τινες πιστῶς τὸ «Δόξασόν με»[2] εἰρῆσθαι διὰ τὴν περιγινομένην δόξαν τῇ δουλικῇ μορφῇ. Ταῦτα ὡς ἐν ἐπιτόμῳ εἴδει. Εἰς ἀγωνιστικοὺς ἐρχόμεθα λόγους πρὸς τοὺς μὴ ἀκούοντας μὲν τό, «Πάτερ», ἐπιλαμβανομένους δὲ τοῦ, «Δόξασον». Εἰπάτωσαν ποίαν δόξαν ἐνόησαν. Ἆρα ἦν καὶ ἡμεῖς ἀναφέρομεν τῷ Θεῷ; Ἔστω τοίνυν κατὰ συγχώρησιν, οὔκουν τῇ ἀληθείᾳ. Δια τί οὖν κτίσμα καὶ ἧττονα λέγουσι τὸν Υἱόν, τὸν ὑπ' αὐτοῦ δοξαζόμενον, τοῦ Πατρός; Ἐν γὰρ τῷ αὐτῷ Εὐαγγελίῳ εἶπε· «Πάτερ, δόξασόν σου τὸν Υἱὸν ἵνα καὶ ὁ Υἱός σου δοξάσῃ σε»[3]· καὶ πάλιν· «Ἐὰν δοξάζω ἐμαυτόν, ἡ δόξα μου ἐν αὐτοῖς ἐστιν· ἔστιν ὁ Πατήρ μου ὁ δοξάζων με»[4]· καὶ πάλιν ἀπὸ τοῦ Πατρός· «Καὶ ἐδόξασα καὶ πάλιν δοξάσω»[5]. Ἀλλ' ἆρα καθ' ὃ δοξάζεται τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος; Καὶ πῶς τὴν ἰσοτιμίαν ἑαυτῷ ἐφύλαξε διὰ τοῦ· «Δόξασον τὸν Υἱόν, ἵνα καὶ Υἱὸς δοξάσῃ σε»[6]; Ἀλλ' ἑτέραν ὑποθώμεθα δόξαν; Ἐξ οὐκ ὄντων αὕτη εὑρίσκεται. Καὶ ποῖον ἔχει λόγον τόν τε Πατέρα τόν τε Υἱὸν ποιητῇ δόξῃ κατὰ νοητὸν δοξάζεσθαι;

ΚΕΦΑΛΑΙΟΝ ΚΣ'

«Ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ».

Πῶς οὖν, φησίν, ἐν τῷ κατὰ Μᾶρκον Εὐαγγελίῳ λέγει· «Ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ μετὰ τῶν ἀγγέλων τῶν ἁγίων»[7]. Τοῦτο γάρ ἐστι τὸ παρ' ὀρθοδόξων λεγόμενον, ὅτι διὰ τὸ ταὐτὸν τῆς θεότητος καὶ βασιλείας ἐν τῇ πατρικῇ δόξῃ ἐλεύσεται· τοῦτ' ἔστι, τὴν ἴσην δόξαν ἔχων τῷ γεννήσαντι. Πάλιν γὰρ ἐν Ματθαίῳ ὁ αὐτὸς Κύριος, τὸ κεφάλαιον τοῦτο φθεγγόμενος καὶ δεικνὺς τὴν αὐτὴν εἶναι δόξαν αὐτῷ τε καὶ τῷ Πατρί, οὕτως εἶπεν· «Ὅταν δὲ ἔλθῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ καὶ πάντες οἱ ἄγγελοι μετ' αὐτοῦ»[8].

ΚΕΦΑΛΑΙΟΝ ΚΖ'

«Μεσίτης Θεοῦ καὶ ἀνθρώπων ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός».

Ἀληθείας δὲ παντοίως ἀλλότριον καὶ τὸ λέγειν αὐτοὺς μεταξὺ τῆς θεϊκῆς φύσεως καὶ τῆς κτιστῆς εἶναι τὴν τοῦ Υἱοῦ φύσιν, μετα-

---

1. Ἰω. 17,5. 2. Ἔνθ' ἀν. 3. Ἰω. 17,1. 4. Πρβλ. Ἰω. 8,54. 5. Ἰω. 12,28. 6. Ἰω. 7,1. 7. Μάρκ. 8,38. 8. Ματθ. 25,31.

φέροντες εἰς τοῦτο κακῶς τὴν καλῶς φέρουσαν Γραφήν· «Μεσίτης **[944]** Θεοῦ καὶ ἀνθρώπων ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός»[1]. Διολισθήσει γὰρ λοιπὸν τοῦ Θεὸς εἶναι καὶ Υἱὸς ἀληθινός, ὅπερ ὑπάρχειν κατὰ τὸν ὀρθὸν τρόπον ἀποδέδεικται· ἐκφεύξεται δὲ καὶ τὸ νοεῖσθαι κατὰ τὸν αἱρετικὸν λόγον, ποίημα, ὅπερ οὔτ' ἔστιν, οὔτε γέγραπται· καὶ γοῦν καὶ τοῦτο ἐν Ἡσαΐᾳ κεχρησμῴδηται· «Οὐ πρέσβυς, οὐκ ἄγγελος, ἀλλ' αὐτὸς Κύριος ἔσωσεν αὐτούς»[2]· τοῦτ' ἔστιν, οὐ κτίσμα, ἀλλ' αὐτὸς ὁ Θεός, ὁ πρεσβυτέρας τῶν ἡμετέρων αἰτήσεων τὰς αὐτῷ πρεπούσας εἰς ἡμᾶς δόσεις χορηγῶν. Ἐν τῇ οἰκονομίᾳ τοίνυν ἡ μεσιτεία· ἐν ᾗ ὑπὲρ παντὸς τοῦ ἀνθρωπείου γένους ἑαυτὸν ἀφράστως ἱερουργήσας καὶ ἐν τάξει θυμιάματος νοητοῦ τῷ ἰδίῳ Πατρὶ προσαγαγών, αὐτόν τε ἐξεδυσώπησε καὶ τὸν ἐπηρτημένον τῷ κοινῷ γένει θάνατον ἀπέσβεσε καὶ ἡμᾶς τῶν εἰδώλων ἀπέστησε καὶ τῇ θεογνωσίᾳ προσήνωσε, τόν τε παράδεισον ἀπέδωκε καὶ εἰς οὐρανοὺς ἀνήγαγε, συνάψας, ὡς Θεὸς ἐξουσιαστής, τὰ ἐπίγεια τοῖς ἐπουρανίοις καὶ τὴν γενομένην διάστασιν συναρμόσας καὶ ἐπαναγαγὼν τὸν ἄνθρωπον εἰς ἐκείνην τὴν χάριν, ἀφ' ἧς διώλισθεν· ὡς τὸν Ἀπόστολον, νικώμενον τῇ ὑπερβολῇ τῆς καταλλαγῆς, θεοφράστῳ γλώττῃ ἀνακηρύττειν· «Αὐτός ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἓν καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας»[3]· καὶ πάλιν· «Δικαιωθέντες οὖν ἐκ πίστεως, εἰρήνην ἔχομεν πρὸς τὸν Θεὸν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ»[4].

ΚΕΦΑΛΑΙΟΝ ΚΗ'

Περὶ τοῦ ἄνευ τοῦ Υἱοῦ μὴ δεδωρῆσθαι κατ' ἐνίους τὰ πρὸ τῆς ἐν κόσμῳ παρουσίας αὐτοῦ χαρίσματα.

Πίστεως δὲ τὸ καθ' ὅλου χηρεύοντές τινες τῶν αἱρετικῶν καὶ ἄλλο γελοῖον ὑπολαβεῖν τε καὶ πολλῷ πλέον εἰπεῖν φάσκουσιν ὅτι τὰ πρὸ τῆς ἐν τῇ οἰκουμένῃ ἀστεμφοῦς καὶ ἀσαλεύτου καὶ φιλανθρώπου παρουσίας τοῦ Σωτῆρος Χριστοῦ τῇ κτίσει δοθέντα χαρίσματα, ὑπὸ τοῦ Θεοῦ Πατρὸς μόνου δεδώρηται, ἄνευ τοῦ ἰδίου αὐτοῦ ἀγαθουργοῦ Υἱοῦ Λόγου, ὡς δῆθεν αὐτοῦ ὑπεξουσίου τυγχάνοντος. Εἰ δὲ μερίδα καὶ κλῆρον[5] εἶχον μετὰ τῶν θεολογησάντων· «Πάντα δι' αὐτοῦ ἐγένετο καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν»[6] (ἐν οἷς πᾶσα δόσις δι' αὐτοῦ καὶ παρ' αὐτοῦ ὑπῆρξεν· μέρος γὰρ τῶν γεγενημένων καὶ αὐταί εἰσιν· ὅθεν καὶ ἀνείρηται· «Οὗτός ἐστι πάντων Κύριος»[7]· καί· «Θεός, Ἰσχυρός, Ἐξουσιαστής»[8]· καί· «Οὐ λογισθήσεται ἕτερος

---

1. Πρβλ. Α' Τιμ. 2,5. 2. Ἡσ. 63,9. 3. Ἐφ. 2,14. 4. Ρωμ. 5,1. 5. Πράξ. 8,21. 6. Ἰω. 1,3. 7. Πρβλ. Γαλ. 4,1. 8. Ἡσ. 9,6.

πρὸς αὐτόν»[1]) καὶ εἰ ἐνόησαν δὲ καὶ τὸν διαγορεύσαντα· «Εἷς ἐστιν ὁ νομοθέτης καὶ κριτὴς ὁ μόνος σῴζειν δυνάμενος»[2]· ᾔδεσαν ἂν ὡς δίχα τοῦ γενεσιουργοῦ καὶ δοτῆρος τῶν ἀγαθῶν, κριτοῦ τε ἅμα καὶ λυτρωτοῦ μονογενοῦς Υἱοῦ Λόγου οὐδεμία **[945]** γέγονεν ἄνωθεν δωρεά· οὐδὲ χρόνος ἢ γένος κτισμάτων, κακῶν τε ἠφείθη καὶ προνοίας ἠξιώθη· ὡς δ' αὖ πάλιν ἔξω τῆς αὐτοῦ κρίσεώς ἐστιν οὐδὲ ἕν· ἀλλ' ἁρμόζουσαν ἕκαστοι τὴν κρίσιν φιλανθρώπως καὶ εἴ τι πλέον ἐστὶ τούτου εἰπεῖν ἢ νοῆσαι ἢ μὴ νοῆσαι, ὑποστησόμεθα παρ' αὐτοῦ, παρ' οὗ καὶ τὰ ἀγαθά, εὐδοκίᾳ τοῦ Πατρὸς καὶ συμφωνίᾳ τοῦ Ἁγίου Πνεύματος, ἐξ ἀρχῆς ἐκομισάμεθα. Πῶς γὰρ οὐκ ἀδικώτατον καὶ δυσσεβέστατον τὸ λέγειν ἢ ὅλως ὑποτοπάζειν, ὅτι ἔκτισε μὲν καὶ ἐνομοθέτησεν αὐτός, οὐ προενόησε δέ, ὅπερ τοῦ κτίσαι προκρίνεται· ἀλλὰ μετὰ ὅλα τὰ τῇδε καὶ κρίνει τοὺς παρ' ἑτέρου δεξαμένους τὰ ἀγαθὰ καὶ ἀπολέσαντας αὐτὰ ἀβουλίᾳ οἰκείᾳ καὶ ἀφροσύνῃ; Ἢ πῶς οὐ παράλογον τοῦτο ὑπολαμβάνειν, ὅτι ἡμᾶς μὲν αὐτεξουσίους, ὅπερ εἴρηται πολλάκις, πεποίηκεν· αὐτὸς δὲ οὐκ ἔσχε τοῦτο, ὅπερ ἄλλοις, κατὰ τὸ μέτρον τῆς φύσεως αὐτῶν καὶ κατὰ τὸ προσῆκον ἀπένειμε; Συνορῶσι δὴ οὖν, οἶμαι, καὶ αὐτοί, ὧν οἱ λόγοι τῶν ἀληθῶν ἁμαρτάνουσιν αἱρετικοί, ὅτι ἀντικείμενόν τι τοῖς ἡμῶν θελήσαντες εἰπεῖν, οὐχ ἕξουσιν. Τῇ γὰρ δυσανασχέτῳ καὶ ἀκαθέκτῳ κακίᾳ αὐτῶν μαχόμενοι, τῷ δὲ τὸ χαίρειν κοινὸν πᾶσιν δεδωκότι Σωτῆρι καὶ ἄλλοι πρὸς τοῖς μνημονευθεῖσιν ἀξιόχρεοι καὶ βέβαιοι τὸν τρόπον ἄνδρες, οὐχ ἁπλῶς ἄνθρωποι, μαρτυροῦντες φαίνονται. Ζαχαρίας μὲν γὰρ περὶ παρεληλυθότων καὶ μελλόντων διακεκριμένως βοᾷ· «Εἴ τι ἀγαθὸν αὐτοῦ καὶ εἴ τι καλόν, παρ' αὐτοῦ»[3] ἔσται. Ἡσαΐας δὲ καθ' ὁμαλοῦ κηρύττει περὶ αὐτοῦ· «Θεός, Ἰσχυρός, Ἐξουσιαστής»[4]. Τοῖς ἁγίοις δὲ τούτοις, οἷς σὺν ὥρᾳ καὶ χάριτι πανταχοῦ τῶν λόγων ἐπανθοῦσιν αἱ θεολογίαι, ἐφεπόμενοί πως ἐν τῷ μέρει τούτῳ καὶ οἱ ἔξω, πρόσφορα περὶ τοῦ Δημιουργοῦ καὶ παμβασιλέως ὑμνήκασιν. Ἔφασαν γάρ·

Πάντα γὰρ ἀνθρώποισι Θεοῦ πέλει ἀγλαὰ δῶρα·
Εἴτ' ἀγαθόν τι πέφυκε καὶ ὄλβιον εἴτε φέριστον
Εἴτε ἐραστόν, πᾶσι Θεοῦ καλὰ δῶρα τέτυκται.

Καὶ πάλιν·

Κάρτος ἀμετρήτοιο Θεοῦ καὶ ἀπείριτος ἀλκὴ
Πάντων μὲν κρατέει, πάντεσσι δὲ μοῦνος ἀνάσσει.

---

1. Βαρ. 3,36. 2. Ιρβλ. Ἰακ. 4,12. 3. Ζαχ. 9,17. 4. Ἡσ. 9,6.

ΚΕΦΑΛΑΙΟΝ ΚΘ'

Περὶ τοῦ, αἰτούσῃ τῇ μητρὶ τῶν υἱῶν Ζεβεδαίου ὥστε καθεσθῆναι ἐκ δεξιῶν αὐτοῦ καὶ ἐξ ἀριστερῶν ἐν τῇ μελλούσῃ κρίσει τοὺς δύο αὐτῆς υἱούς, εἰπεῖν τό· «Οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασται ὑπὸ τοῦ Πατρός».

Καὶ ἐν τῷ Ματθαίῳ αἰτούσῃ , φησί, τῇ καλλίπαιδι μητρὶ τῶν υἱῶν Ζεβεδαίου, ὥστε ἑκατέρωθεν αὐτοῦ, ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων, συνθώκους αὐτοῦ γενέσθαι ἐν τῇ βασιλείᾳ αὐτοῦ τῶν οὐρανῶν τοὺς **[948]** δύο αὐτῆς υἱούς, ἀποστόλους ὄντας, ἀπεκρίθη· «Οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασται ὑπὸ τοῦ Πατρός μου»[1]. Καὶ τοῦτο δὲ οὐδὲν αὐτοῦ καταβάλλει τὸ γέρας. Οὐ γὰρ ἀεί, ὡς μόνη ἡ τῶν ῥημάτων ἔχει σύνταξις, οὕτω καὶ τὰ πράγματα· ἀλλ' ἔστιν ὅτε ἀπαρτίζει τὴν διάνοιαν καὶ πρὸς τὰ μὴ λεγόμενα ἡ ἀλήθεια. Ἐρρήθη οὖν οὕτω διὰ τὴν δουλικὴν μορφὴν ἢ μᾶλλον διὰ τὸ συστῆναι θεομισεῖς τὰς μὴ κατὰ βαθμὸν καὶ κατὰ λόγον εἰσπροεδρίας ἢ καὶ διὰ τὸ ἐκείνην οἴησιν ἐσχηκέναι εὐπαιδίας καὶ τοῦ ἀξίους εἶναι τοὺς παῖδας αὐτῆς τῆς τε ἀποστολικῆς πρωτείας καὶ τῆς θεϊκῆς συγκαθεδρίας· οὐκ ἐλάνθανε γὰρ αὐτὸν τὰ ἐγκάρδια, ὡς Ἰωάννης λέγει· «Αὐτὸς δὲ ὁ Ἰησοῦς οὐκ ἐπίστευεν αὐτοῖς, διὰ τὸν αὐτὸν γινώσκειν πάντας καὶ μὴ χρείαν ἔχειν ἵνα τις μαρτυρήσῃ περὶ τοῦ ἀνθρώπου· αὐτὸς γὰρ ἐγίνωσκε, τί ἦν ἐν τῷ ἀνθρώπῳ»[2]. Ἄκουε δὴ οὖν τῶν ἐξῆς καὶ πείθου, ὡς οὐκ ἐσφάλη μοι τὸ νόημα. Εὐθὺς γὰρ ἔχει, ὅτι, «Ἀγανακτησάντων»[3] τῶν δώδεκα «περὶ τῶν δύο τούτων ἀδελφῶν», εἶπεν ὁ Δεσπότης· «Ἐν ὑμῖν ὃς ἐὰν θέλῃ μέγας γενέσθαι, ἔσται ὑμῶν διάκονος· καὶ ὃς ἐὰν θέλῃ εἶναι πρῶτος, ἔσται ὑμῶν δοῦλος»[4]. Ὅπως δὲ καὶ ἐν τῷ Λουκᾷ[5] κωλύει τὰς ἐξ ἐπιλογῆς πρωτοκαθεδρίας καὶ πρωτοκλισίας ἠκούσαμεν. Καὶ γὰρ οὐκ ἦν τοῦ δικαίου Θεοῦ, τοῦ ἑτοιμάζοντος κατὰ τὴν ἑκάστου πολιτείαν τὰ μέλλοντα, παρασχεῖν τινι μὴ δικαίαν, ἢ αὐχηματικὴν αἴτησιν καὶ τάξαι τοὺς πρώτους ἐν ὑστέροις καὶ παραλυπῆσαι τοὺς τὴν τάξιν μὴ λιπόντας, μηδ' ἀρχῆς ἐφιεμένους ἀποστόλους καὶ σὺν αὐτοῖς τοὺς προαρέσαντας αὐτῷ καὶ ἐπ' ἀρετῇ θαυμασθέντας προπάτορας ἡμῶν, οἷς συνέθετο καὶ οἷς πᾶν ἐστιν εἰκὸς τὴν ἑκατέρωθεν αὐτοῦ προεδρίαν προϋποσχέσθαι, ὧν καὶ εἰς τοὺς κόλπους οὗτοι, περὶ ὧν ὁ λόγος, καταναπαύεσθαι ἔμελλον· πρὸς τούτοις δὲ καὶ Μωϋσέα· ἐπεί τοι καὶ αὐτός ἐστιν ὁ καὶ τοῦ αἰτηθέντος πράγματος καὶ τῆς κρίσεως πάσης Κύριος καὶ ὁ προορίσας τοῖς ἀποστόλοις τοὺς θρόνους, βασιλικώτατα προαγαγόμενος αὐτούς καὶ

---

1. Ματθ. 20,23. 2. Πρβλ. Ἰω. 2,24-25. 3. Ματθ. 20,24. 4. Ματθ. 20,26,27. 5. Πρβλ. Λουκ. 14,7 ἑξ.

ἐπαγγειλάμενος· «Ὑμεῖς καθεσθήσεσθε ἐπὶ δώδεκα θρόνων, κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ»[1]. Ὅρον γοῦν ἕνα οὐκ ἀντίλεκτον τοῦ μὴ μεγάλα αὐχεῖν τινα καὶ ἑαυτῷ ἀποδιδόναι τιθεὶς φάσκει· «Ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐδέν ἐστιν· ἀλλ' ἔστιν ὁ μαρτυρῶν περὶ ἐμοῦ»[2] ὁ λέγων, φησί, Πατήρ· «Οὗτός **[949]** ἐστιν ὁ Υἱός μου»[3]· Ὅτι δ' οὕτως διὰ μόνην τὴν προλεχθεῖσαν αἰτίαν εἰρῆσθαι αὐτὸς πάλιν πιστοῦται, φάσκων· «Κἂν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου ἀληθής ἐστι»[4]· καὶ πάλιν· «Αὐτὰ τὰ ἔργα μαρτυρεῖ περὶ ἐμοῦ»[5] καὶ Μωϋσῆς μαρτυρεῖ περὶ ἐμοῦ[6].

ΚΕΦΑΛΑΙΟΝ Λ′

«Πάτερ, εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου».

Τοιοῦτον ἔχει νόημα καὶ τὸ ἐν τῷ Λουκᾷ παρὰ τοῦ Σωτῆρος εἰρημένον· «Πάτερ, εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου»[7]. Διὰ τοῦ οἰκείου προσώπου τὴν εἰς αὐτὸν τῇ πίστει ζωοποιουμένην ἀνθρωπότητα παρατίθεται, ἥντινα μέλη[8] αὐτοῦ καλέσαι κατηξίωσεν· ἢ τάχα διδάσκει πάντας, τοῦτο μὲν εἰδέναι, ὡς ἐπλανήθη καὶ ἐν τούτῳ Ἄρειος, ἄψυχον αὐτὸν ἐν τῇ οἰκονομίᾳ οἰηθείς· τοῦτο δέ, ἐν ταῖς ὑστέραις ἀναπνοαῖς προσευχομένους τῇ αὐτῇ κεχρῆσθαι φωνῇ, εὐγνωμόνως ὁμολογοῦντας, ὡς παρὰ τοῦ Θεοῦ ἡμῶν τῶν ἀνθρώπων ἡ ὕπαρξίς ἐστιν καὶ εἰς αὐτὸν πάλιν ἡ ἀνάλυσις. Νόμος οὖν ἦν τὸ γινόμενον.

ΚΕΦΑΛΑΙΟΝ ΛΑ′

«Ἑτοιμάζου τοῦ ἐπικαλεῖσθαι τὸν Θεόν σου Ἰσραήλ· διότι ἰδοὺ ἐγὼ στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα καὶ ἀπαγγέλλων εἰς ἀνθρώπους τὸν Χριστὸν αὐτοῦ».

Α′. Οὐ μέχρι δὲ τοῦ Μονογενοῦς, ἀλλὰ καὶ ἕως τοῦ Ἁγίου Πνεύματος ἐπεκτείνουσι τὸ αἱρετικὸν δυσσέβημα. Καὶ γὰρ οὐ μόνῃ τῇ προκειμένῃ τοῦ Σωτῆρος φωνῇ, τῇ· «Ἐγὼ ἀφ' ἑαυτοῦ οὐκ ἐλάλησα»[9]· καί· «Τὸ Ἅγιον Πνεῦμα ἀφ' ἑαυτοῦ οὐ λαλήσει»[10]· καὶ τῇ Παύλου. τῇ ἐχούσῃ· «Μόνῳ σοφῷ Θεῷ»[11]· ἔτι δὲ καὶ ταῖς ἄλλαις ταῖς φερομέναις ἐν τῷ «Περὶ τοῦ Ἁγίου Πνεύματος» λόγῳ, ἀθετικῶς, εἰς τὸ

---

1. Ματθ. 19,28. 2. Ματθ. 3,17. 3. Πρβλ. Ἰω. 5,31,32. 4. Ματθ. 3,17. 5. Πρβλ. Ἰω. 5,36. 6. Πρβλ. Ἰω. 5,39,46. 7. Λουκ. 24,46. 8. Α′ Κορ. 6,15. 9. Ἰω. 12,49. 10. Πρβλ. Ἰω. 16,13. 11. Ρωμ. 16,27. Α′ Τιμ. 1,17.

σμικρύνειν τὴν ἀπειρομεγέθη καὶ σεπτὴν αὐτοῦ φύσιν, κέχρηνται· ἀλλὰ καὶ τῇ προφητείᾳ Ἀμώς, ὡσανεὶ παραδηλούσῃ **[952]** κτίσμα εἶναι τὸ Ἅγιον Πνεῦμα τοῦ Θεοῦ, καίτοι τὸ σύνολον οὐδεμίαν ἔμφασιν τοιαύτην περὶ αὐτοῦ οὔτε ἐν τῷ μέρει τούτῳ οὔτε ἐν ἄλλῳ ποιούσῃ. Ἔχει δὲ ὧδε· «Κατέστρεψα ὑμᾶς, καθὼς κατέστρεψεν ὁ Θεὸς Σόδομα καὶ Γόμορρα, καὶ ἐγένεσθε ὡς δαλὸς ἐξεσπασμένος ἐκ πυρός· καὶ οὐδ' οὕτως ἐπεστρέψατε πρός με, λέγει Κύριος. Διὰ τοῦτο οὕτως ποιήσω σοι, Ἰσραήλ· πλὴν ὅτι οὕτως ποιήσω σοι, ἑτοιμάζου τοῦ ἐπικαλεῖσθαι τὸν Θεόν σου, Ἰσραήλ. Διότι ἰδοὺ στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα καὶ ἀπαγγέλλων εἰς ἀνθρώπους τὸν Χριστὸν αὐτοῦ, ὁ ποιῶν ὄρθρον καὶ ὀμίχλην καὶ ἐπιβαίνων ἐπὶ τὰ ὑψηλὰ τῆς γῆς· Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ ὄνομα αὐτῷ»[1]. Τῶν τριῶν τοίνυν αὐτοτελῶν ὑποστάσεων μνημονευομένων, μιᾶς λεγούσης, «Κατέστρεψα»· ἑτέρας, περὶ ἧς λέγει· «Καθὼς κατέστρεψεν ὁ Θεός»· ἄλλης ἔνθα ἔχει τὸν Χριστὸν αὐτοῦ· εὐθέτως καὶ καταλλήλως εὑρίσκεται ἡ φωνὴ εἰρημένη, οὐκ ἐκ προσώπου τοῦ Πατρὸς ἢ περὶ τοῦ Ἁγίου Πνεύματος αὐτοῦ, ἀλλ' ἀπὸ τοῦ Ἁγίου Πνεύματος, τοῦ καὶ λαλήσαντος περὶ τοῦ ἀνεμιαίου πνεύματος, τοῦ τῇ βροντῇ τῇ ἀνθρώποις ἐνηχουμένῃ παρακολουθεῖν πεφυκότος. Διὸ ἐπάγων μνημονεύει ὄρθρου, ὀμίχλης. Πῶς γὰρ ὁ Πατὴρ εἶχεν εἰπεῖν ἢ τό, «Ἀπαγγέλλων εἰς ἀνθρώπους τὸν Χριστὸν αὐτοῦ»[2]· καὶ οὐχί, τὸν Χριστόν μου, ὡς ἐν ρλα΄ ψαλμῷ ἔφη· «Ἡτοίμασα λύχνον τῷ Χριστῷ μου;»[3] ἤ, «Τὸ ὄνομα αὐτῷ», δέον φάναι, ὄνομά μοι; Εἰ δὲ δὴ καὶ δοθείη αὐτοῦ εἶναι ἡ φωνή, τὸ Πνεῦμα τὸ Ἅγιον ἀναφαίνεται Θεὸς παντοκράτωρ. Οὔτε δὲ τῷ προφήτῃ, λέγοντι περὶ τοῦ Πατρὸς αὕτη ἁρμόζει ἡ φωνή· εὑρεθήσεται γὰρ ἐκ προσώπου αὐτοῦ ἡ «Κατέστρεψα ὑμᾶς, καθὼς κατέστρεψεν ὁ Θεός»[4], λέξις· οὐ καταστρέφει δὲ ἄνθρωπος, καθὼς ὁ Θεός· οὐδὲ ἴδιον προφήτου φθέγξασθαι καυχηματικῶς ἅμα καὶ βλασφήμως. Καὶ τὸ ἔχειν δέ, «Κτίζων Πνεῦμα»[5], οὐχὶ δὲ κτίσας Πνεῦμα, καὶ τὸ τετάχθαι ἐν πρώτοις τὴν βροντὴν στερεοῦσθαι, ἐν δευτέροις δὲ τὸ πνεῦμα κτίζεσθαι, ἔτι δὲ καὶ τὸ ἄνευ τοῦ ἄρθρου καὶ τοῦ Ἁγίου, ψιλῶς προφητεύεσθαι. «Κτίζων πνεῦ**[953]**μα»[6]· δείκνυσι διὰ πάντων τούτων· ὡς εἰς τὸ ἀέριον ὁ λόγος ἀποτείνεται. Σπανίως γὰρ τὸ Ἅγιον Πνεῦμα τοῦ Θεοῦ δίχα τοῦ συνάπτεσθαι αὐτῷ τὸ ἅγιον, ἢ τό, τοῦ Θεοῦ, ἢ τὸ ἄρθρον, ἢ τὴν μετοχὴν αὐτοῦ· ὡς ἡνίκα γράφει· «Πνεῦμα Ἠλία»[7]· καί· «Πνεύματι περιπατεῖτε»[8]. «Κτίζων» δὲ «Πνεῦμα» εἶπε, διὰ τὸ ἐπιγίνεσθαι τὸ ἀέριον, ὅταν καιρὸς καλῇ, πρὸς τὸ λυσιτελοῦν ταῖς χρείαις, δι' ἃς γέγονεν. Εἰώθαμεν γὰρ καὶ νῦν λέγειν· Ἐγένετο ἄνεμος πολύς· ἀλλ' οὐχ ὡς νῦν κτισθείς, ἀλλ' ὡς ἄρτι βίαιος ἐγερθείς.

---

1. Ἀμ. 4,11-13. 2. Ἔνθ' ἀν. 4,13. 3. Ψαλ. 131,17. 4. Ἀμ. 4,11. 5. Ἀμ. 4,13. 6. Αὐτόθι. 7. Δ΄ Βασ. 2,15. 8. Γαλ. 5,16.

Β'. Προφητικῶς τοίνυν καὶ ὑστερομέσως ἐλέχθη ἀπὸ τοῦ θεϊκοῦ Πνεύματος οὕτωσί· «Κατέστρεψα ὑμᾶς», τοῦτ' ἔστι «τοὺς σκληροτραχήλους καὶ ἀπεριτμήτους τῇ καρδίᾳ»[1] Ἰουδαίους, «καθὼς κατέστρεψεν ὁ Θεὸς Σόδομα καὶ Γόμορρα»[2]· τὰς ἐσχηκυίας, φησίν, οἰκήτορας, ὁμοίως Ἰουδαίοις ἀμεταμελῶς βεβιωκότας. Τοίνυν «ἑτοιμάζου τοῦ ἐπικαλεῖσθαι τὸν Θεόν σου, Ἰσραήλ»[3]· ὅν, φησιν, οὔπω καὶ τήμερον ἐκδήλως ἐπιγνοὺς ἐφάνης. Ἔλεγε δὲ τὸν μονογενῆ Υἱὸν τοῦ Θεοῦ. «Διότι ὁ **[956]** στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα καὶ ποιῶν ὄρθρον καὶ ὀμίχλην καὶ ἐπιβαίνων ἐπὶ τὰ ὑψηλὰ τῆς γῆς· Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ ὄνομα αὐτῷ»[4]· «ἰδοὺ ἀπαγγέλλων εἰς ἀνθρώπους τὸν Χριστὸν αὐτοῦ»[5]. Πότε οὖν καὶ πῶς ἀπήγγειλεν αὐτόν; Ὅτε ἔφησεν ὑψόθεν· «Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα»[6]. Πολλαχοῦ δὲ μία ἐκ τῶν τριῶν θείων ὑποστάσεων περὶ τῆς ἄλλης μιᾶς ἢ τῶν δύο λέγουσα φαίνεται, καθὰ ἐν τῷ πρώτῳ λόγῳ πλείοσιν ἀποδείξεσι τὸ περὶ τούτου κεφάλαιον ἡρμηνεύθη. Ἀμέλει καὶ τῆς μνημονευθείσης τοῦ Ἀμὼς προφητείας μικρῷ πρόσθεν τοῦτο εὑρίσκεται· φησὶ γάρ· «Τάδε λέγει Κύριος· Ἐπὶ ταῖς τρισὶν ἀσεβείαις υἱῶν Ἰούδα καὶ ἐπὶ ταῖς τέτταρσιν οὐκ ἀποστραφήσομαι αὐτούς, ἕνεκα τοῦ ἰάσασθαι αὐτούς. Τὸν νόμον Κυρίου καὶ τὰ προστάγματα αὐτοῦ οὐκ ἐφύλαξαν· καὶ ἐπλάνησεν αὐτοὺς τὰ μάταια, ἃ ἐποίησαν, οἷς ἐξηκολούθησαν οἱ πατέρες αὐτῶν ὀπίσω αὐτῶν· καὶ ἐξαποστελῶ πῦρ ἐπὶ Ἰούδαν καὶ καταφάγεται τὰ θεμέλια Ἱερουσαλήμ»[7]. Δέον τοίνυν, εἰ μὴ περὶ τοῦ ἀνεμίου, περὶ γοῦν τοῦ ἰδίου αὐτῶν πνεύματος νομίζειν διαλέγεσθαι τὴν προφητείαν, οὗ πολλάκις τὰ λόγια μνημονεύει· ὡς ὅταν Παῦλος Θεσσαλονικεῦσιν ἐν τῇ πρώτῃ Ἐπιστολῇ γράφει· «Αὐτὸς δὲ ὁ Θεὸς τῆς εἰρήνης ἁγιάσῃ ὑμᾶς ὁλοτελεῖς· καὶ ὁλόκληρον ὑμῶν τὸ πνεῦμα καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα ἄμεμπτον, ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τηρη**[957]**θείη»[8]· καὶ ὡς ἡνίκα Στέφανος εὐχόμενος λέγῃ· «Κύριε Ἰησοῦ, δέξαι τὸ πνεῦμά μου»[9]· καὶ ὡς Λουκᾶς ἐν Εὐαγγελίῳ, ὅτε ὁ Σωτὴρ νεκρὰν ἤγειρε τὴν παῖδα, ἔφη· «Καὶ ἐπέστρεψε τὸ πνεῦμα αὐτῆς»[10]. Δέον οὕτω δοξάζειν, εἰ μετρίως ἐποίουν· οἳ δὲ οὐ τὸ πνεῦμα τοῦτο εἶναι ὑπενόησαν, εἰς δὲ τὴν ἄκραν βλασφημίαν ἀφικνοῦνται. Προσῆκε δὲ ὁρᾶν καὶ τοῦτο, ὅτιπερ ἔχει, «Ἀπαγγέλλων τὸν Χριστὸν αὐτοῦ»[11], ὁ Θεὸς καὶ Πατήρ, οὐχὶ δέ, «κτίζων». Περὶ γὰρ τῶν ἐπικρυπτομένως φανερουμένων ἡμῖν ἕνεκα τῆς ἀρρήτου Τριάδος, ἐγράφη· «Τίς σοφός, καὶ συνήσει ταῦτα»[12]; Ἐκεῖνος δὲ πρόδηλον, ὁ πρεπόντως καὶ νοερῶς νοήσας. Τῷ ὄντι γὰρ χαλεπὸν τῇ ἀκριβείᾳ τῶν Γραφῶν ἐπιστῆναι τοὺς κοσμικὰ ἢ αἱρετικὰ ἠσκημένους. Ὅθεν ἔφη· «Οὐ

---

1. Πρβλ. Πράξ. 7,51. 2. Ἀμ. 4,11. 3. Ἔνθ' ἀν. 4,12. 4. Ἀμ. 4,13. 5. Ἔνθ' ἀν. 6. Ματθ. 3,17. 7. Πρβλ. Ἀμ. 2,4-5. 8. Α' Θεσ. 5,23. 9. Πράξ. 7,59. 10. Λουκ. 8,55. 11. Ἀμ. 4,12. 12. Ὡσ. 14,10.

μὴ καταμείνῃ τὸ Πνεῦμα ἐπ' αὐτούς, διὰ τὸ εἶναι αὐτοὺς σάρκας»[1]. Τὴν τοῖς θησαυροῖς τούτοις κρύφιον δύναμιν διάγνωσίν τε καὶ ἡ ἔξω σοφία παραδίδωσιν ἐκ Θεοῦ, ὡς καὶ τὰ πάντα, ὑπάρχειν, οὕτωσὶ φάσκουσα·

Πάντα γὰρ ἀνθρώποισι Θεὸς διετεκμήρατο
Ὅσσ' ἐθέλει, πάντων τε βροτοῖς ἀδίδακτος
[ἀκούει.

ΚΕΦΑΛΑΙΟΝ ΛΒ'

Περὶ τῶν λεγόντων· «Πάντα διὰ τοῦ Υἱοῦ ἐγένετο»· εἰς «πάντα» οὖν ἐστιν καὶ τὸ Ἅγιον Πνεῦμα.

Ἀλλά, «Πάντα», φησίν, «διὰ τοῦ Υἱοῦ ἐγένετο»[2]· εἰς «Πάντα» οὖν ἐστιν καὶ τὸ Ἅγιον Πνεῦμα. Ἀλλ' εἶπε, «Πάντα», τοῦτ' ἔστι τὰ κτιστά· οὐδαμοῦ δὲ γέγραπται τὸ Πνεῦμα τοῦ Θεοῦ κτίσμα, ὡς οὐδὲ Υἱός. Τὸ γὰρ κτίσμα δοῦλον· τὸ δὲ δοῦλον οὔτε ἐλευθεροῖ, ὡς τὸ Ἅγιον Πνεῦμα οὔτε οἶδε, τί ποιεῖ αὐτοῦ ὁ Κύριος οὔτε ἀνακτίζει τὸ παρὰ τοῦ Δεσπότου κτισθὲν οὔτε ναὸν ἔχει τὸν ἄνθρωπον ἴσως τοῦ Θεοῦ, οὐδὲ θεῖον γέγραπται. Ἄλλως τε δὲ σεσήμαται ὁ πρωτόκτιστος, ὃς τῆς πρωτείας δι' οἰκείαν ἀλαζονείαν εἰς τὰ ἔσχατα τῶν ἐσχάτων ἐρρίφη.

ΚΕΦΑΛΑΙΟΝ ΛΓ'

Περὶ τοῦ τὸν Χριστὸν εἰρηκέναι· «Καὶ πῶς Δαυὶδ ἐν Πνεύματι Ἁγίῳ καλεῖ αὐτὸν Κύριον, λέγων· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου»;

Καὶ Ἰουδαίων δὲ οἰηθέντων τὸν Κύριον μὴ τοῦ Θεοῦ, ἀλλὰ τοῦ Δαυὶδ εἶναι υἱὸν καὶ αὐτοῦ πυθομένου αὐτῶν περὶ ἑαυτοῦ, τίνος ἐστὶν υἱὸς καὶ ἀποκριναμένων, τοῦ Δαυίδ, εἶτα φήσαντος αὐτοῖς· «Καὶ πῶς Δαυὶδ ἐν Πνεύματι Ἁγίῳ καλεῖ αὐτὸν Κύριον, **[960]** λέγων· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου»[3]; Καὶ διὰ τούτου σαφηνίσαντος, ὅτι Δαυὶδ ἐν Πνεύματι Ἁγίῳ προφητεύων τὸν διαδοχῇ γένους ἐσόμενον αὐτοῦ κατὰ τὴν ἐνανθρώπησιν υἱόν, τοῦτον ἑαυτοῦ Κύριον κατὰ τὴν θεότητα ἀποκαλεῖ· ὡς καὶ ἐν ταῖς Βασιλικαῖς ἱστορίαις ὁ αὐτὸς λέγει Δαυίδ· «Πνεῦμα Κυρίου ἐλάλησεν ἐν ἐμοί»[4]. Αἱρετικοὶ

---

1. Γεν. 6,3. 2. Ἰω. 1,3. 3. Ματθ. 22,43-44. 4. Β' Βασ. 23,2.

πονηρῶς ὁμοῦ καὶ ἀμαθῶς παρανοήσαντές φασιν ὅτι τὸ Ἅγιον Πνεῦμα ἑαυτοῦ Κύριον ἔλεγε τὸν Χριστὸν διὰ τοῦ Δαυΐδ. Ἐλέγχει δὲ αὐτοὺς ἡ ἐπαγωγή, ἔχουσα· «Εἰ οὖν Δαυὶδ καλεῖ αὐτὸν Κύριον, πῶς υἱὸς αὐτοῦ ἐστι»[1]; Πάντα μὲν ἔλεγε τοῦ Ἁγίου Πνεύματος ἐνηχοῦντος. Αὐτὸς γὰρ ἄγνωστος τῶν τε ἐσομένων καὶ τῶν ἐπουρανίων ἀναγκαίως ὑπῆρχε· καὶ διὰ τοῦτο ἔχει· «Ἐν Πνεύματι Ἁγίῳ»· οὐ πάντως δὲ ὅλα ἐκ προσώπου τοῦ Ἁγίου Πνεύματος ἢ τοῦ Υἱοῦ ἢ τοῦ Πατρὸς ἢ τῆς κτίσεως προεφήτευσεν, ἀλλὰ καὶ ἐξ οἰκείου προσώπου, ὡς τὰ μνημονευθέντα ῥήματα καὶ ὡς ἡνίκα λέγῃ· «Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα»[2]· καί· «Ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου»[3]. Ἐπείτοιγε λείπεται ἐκδέχεσθαι εἰς τὸ θεῖον Πνεῦμα καὶ ὅταν λέγῃ αὐτός τε Δαυὶδ καὶ οἱ ἄλλοι προφῆται· πάντες γὰρ ἐν Πνεύματι Ἁγίῳ ἐλάλησαν· «Ἐγώ εἰμι Κύριος ὁ Θεός σου ὁ παντοκράτωρ»[4]· καὶ πάλιν· «Πλὴν ἐμοῦ οὐκ ἔστι Θεός»[5]· καὶ ὅσα τοιαῦτα.

ΚΕΦΑΛΑΙΟΝ ΛΔ′

Περὶ τοῦ· «Οὔπω γὰρ ἦν Πνεῦμα Ἅγιον, ὅτι Ἰησοῦς οὔπω ἐδοξάσθη».

Καὶ τῷ Ἰωάννῃ δὲ εἰρημένον, «Οὔπω γὰρ ἦν Πνεῦμα Ἅγιον ὅτι Ἰησοῦς οὔπω ἐδοξάσθη»[6], ταύτην ἔχει σὺν ἀληθείᾳ τὴν ἑρμηνείαν· Οὔπω, φησί, τελείαν τοῦ ἁγιασμοῦ καὶ τῶν χαρισμάτων τοῦ Πνεύματος τοῦ Θεοῦ τὴν γνῶσιν εἶχον ἅπαντες· οὔπω ἔγνωστο τῇ ὑφηλίῳ καὶ ἐδοξάζετο σὺν τῷ Πατρὶ καὶ τῷ Υἱῷ. Γένεσις γὰρ τοῦ Θεοῦ πρὸς ἡμᾶς ἡ γνῶσις αὐτοῦ· καὶ γινώσκομεν τοῦτο οὐχ ὅταν βουλώμεθα, ἀλλ' ὅταν τελείωσιν τοῦ συνιέναι κτησώμεθα· ὅταν δὲ ἐν ἀγωνίοις ἀρεταῖς καθαρθέντες γενώμεθα ἄξιοι, τότε αὐτὸ ἐκεῖνο αὐτόματον τὴν αὐτοῦ ἡμῖν παρέχει ἐπίλαμψιν. Μετὰ γὰρ τὴν **[961]** ἀνάστασιν ὁ Δεσπότης Χριστὸς ἐμφυσῶν εἰς τὰ πρόσωπα τῶν ἀποστόλων εἶπε· «Λάβετε Πνεῦμα Ἅγιον»[7]· καὶ μετὰ τὴν ἀνάληψιν αὐτοῦ τῇ Πεντηκοστῇ ἐπεφοίτησε, πυρίναις γλώσσαις ὀφθέν· «Ἐκάθισε δὲ ἐφ' ἕνα ἕκαστον αὐτῶν καὶ ἐπλήσθησαν Ἁγίου Πνεύματος καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις, καθὼς τὸ Πνεῦμα ἐδίδου ἀποφθέγγεσθαι αὐτοῖς»[8], ὡς μαρτυροῦσιν αἱ Πράξεις. Διὸ καὶ ὁ Δεσπότης προέλεγεν αὐτοῖς· «Ὑμεῖς δὲ λήψεσθε δύναμιν, ἐπελθόντος τοῦ Ἁγίου Πνεύματος ἐφ' ὑμᾶς»[9]. Τὸ δὲ «Ἰησοῦς οὔπω ἐδοξάσθη»[10], ἀντὶ τοῦ, φησίν, οὔπω παθὼν καὶ ἀναστὰς καὶ συνεγείρας ἑαυτῷ πλῆθος νε-

---

1. Ματθ. 22,45. 2. Ψαλ. 50,6. 3. Ἔνθ' ἀν. 50,7. 4. Πρβλ. Ὡσ. 12,5. 5. Πρβλ. Ὡσ. 13,4. 6. Ἰω. 7,39. 7. Ἰω. 20,22. 8. Πράξ. 2,3-4. 9. Πρβλ. Πράξ. 1,8. 10. Ἰω. 7,39.

κρῶν καὶ ἀναληφθείς. Οὔπω γὰρ παρὰ πᾶσιν ἐπιστεύθη εἶναι ὁ προαιώνιος ἀγαπητὸς Υἱὸς τοῦ Θεοῦ καὶ ἐδοξάσθη ὡς Θεὸς τῶν πατέρων· τοῦτ' ἔστιν, οὔπω ἡ περὶ αὐτοῦ δόξα ἐβεβαιώθη παρὰ πᾶσι· διὸ λέγει ὕστερον· «Πάτερ, ἐλήλυθεν ἡ ὥρα»[1]· τοῦτ' ἔστι, πάντα πεπλήρωται τὰ περὶ ἐμοῦ ταῖς ἀπαραβάτοις Γραφαῖς προρρηθέντα· «Δόξασόν σου τὸν Υἱόν, ἵνα καὶ ὁ Υἱός σου δοξάσῃ σε»[2]. Ὡς ἂν τοίνυν νοήσῃς τό, «Ἰησοῦς οὔπω ἐδοξάσθη»[3], οὕτως ἂν ἐκλάβοις τό, «Οὔπω ἦν Πνεῦμα Ἅγιον»[4]· ἐπεὶ μήγε, κἂν μὴ σὺ λέξῃς, φανείης οὐδὲν ἧττον οὕτως ἔχων· ὅτιπερ πρεσβυτερεύει τὰ πρὸ τοῦ ταῦτα οὑτωσὶ φρασθῆναι τοῦ πνεύσαντος αὐτὰ θεϊκοῦ Πνεύματος· ᾧτινι λόγῳ καὶ ἀπόκρισιν, ὡς ψιλὴ ἔννοια, τὸ δὴ λεγόμενον, τρέχοντα παρεξετάσαι, ὑπερβαίνει πᾶσαν ἀναισθησίαν. Ἑτέροις δὲ ἐνοήθη εἰρῆσθαι τό, «Ἰησοῦς οὔπω ἐδοξάσθη»[5], ἢ διὰ τὴν δουλικὴν μορφήν[6], ἣν ἔφερεν αὐτός, ὅτι οὔπω ἦν ἀναβεβηκυῖα εἰς οὐρανούς, ἀπαρχὴ γενομένη τοῖς πιστοῖς τῆς τε ἄλλης πάσης μακαριότητος καὶ μέντοι καὶ τῆς εἰς οὐρανοὺς ἀνόδου (ἀπαρχὴ[7] γὰρ Χριστὸς ὡς ἀνωτέρω εἴρηται)· ἢ δι' ἡμᾶς, ὥνπερ ἀπαρχὴ κατὰ τὴν ἐνανθρώπησιν αὐτὸς εἶναι γέγραπται· ὃν τρόπον εἴρηται· «Ἐγὼ ἁγιάζω ἐμαυτόν, ἵνα ὦσι καὶ αὐτοὶ ἡγιασμένοι ἐν ἀληθείᾳ»[8]· καὶ ὡς Παῦλος συνομολογῶν ἐπιστέλλει· «Συνήγειρε καὶ συνεκάθισεν ἐν τοῖς ἐπουρανίοις ἡμᾶς ἐν Χριστῷ Ἰησοῦ»[9]· καὶ πάλιν· «Ἡμῶν δὲ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει»[10].

ΚΕΦΑΛΑΙΟΝ ΛΕ'

Περὶ τοῦ γράφειν· «Αὐτὸ τὸ Πνεῦμα ὑπερεντυγχάνει ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις· Ὁ δὲ ἐρευνῶν τὰς καρδίας οἶδεν, τί τὸ φρόνημα τοῦ Πνεύματος, ὅτι κατὰ Θεὸν ὑπερεντυγχάνει ὑπὲρ ἁγίων».

Οὐκ ἔχει αὐτοῖς ὑγιῶς καὶ τὸ Παύλῳ Ῥωμαίοις **[964]** γραφέν, ὅτι· «Αὐτὸ τὸ Πνεῦμα ὑπερεντυγχάνει ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις· ὁ δὲ ἐρευνῶν τὰς καρδίας οἶδεν, τί τὸ φρόνημα τοῦ Πνεύματος, ὅτι κατὰ Θεὸν ἐντυγχάνει ὑπὲρ ἁγίων»[11]. Μάλιστα γὰρ ἐσήμηνε τῷ ἔχειν «ἀλαλήτοις»[12], μὴ ζητεῖσθαι τὰ τοιαῦτα· ἀκατάληπτα γάρ, φησίν, καὶ ἄφραστα· τῷ δὲ ἔχειν «κατὰ Θεόν», μὴ καθ' ἡμᾶς εἶναι ταῦτα, μηδὲ χρῆναι νοεῖσθαι κατὰ τὴν ἀνθρωπίνην συνήθειαν· ὑπερέχει γὰρ πάντα νοῦν καὶ λόγου φύσιν ἐλέγχει. Ἔπειτα

---

1. Ἰω. 17,1. 2. Ἔνθ' ἀν. 3. Ἰω. 7,39. 4. Ἔνθ' ἀν. 5. Ἔνθ' ἀν. 6. Πρβλ. Φιλιπ. 2,7. 7. Α' Κορ. 15,20,23. 8. Ἰω. 17,19. 9. Ἐφ. 2,6. 10. Φιλιπ. 3,20. 11. Ρωμ. 8,26-27. 12. Ἔνθ' ἀν.

οὐκ εἶπεν ἀπολελυμένως. Ἐντυγχάνει ἢ κατεντυγχάνει καθ' ἡμῶν καὶ κατὰ ἁγίων· ἀλλά, «Ὑπερεντυγχάνει ὑπὲρ ἡμῶν»[1] καὶ «ὑπὲρ ἁγίων»[2]. Τοῦ Ἁγίου Πνεύματος ἴδιον, ὡς Θεοῦ, τὸ φιλάνθρωπον. Ὅμως, ἐπειδὴ κατὰ ἄνθρωπον ταῦτα καὶ οὐ θεοπρεπῶς προφέρουσιν, γνώτωσαν ὀψὲ γοῦν ποτε, ὡς ἐντυχεῖν καὶ τὸ σκοπῆσαι λέγεται· οἷον ὡς εἰώθαμεν λέγειν· Ἐνέτυχον τῇ βίβλῳ· καὶ πλέον τοῦτο κυριωτέρως φαίη τις· τὸ γὰρ πρὸς ἡδονὴν καὶ ἔντευξίν τινες καλοῦσι ποιήσασθαι. Αἰτήσασθαι μᾶλλον ἤπερ ἐντυχεῖν λέγεται. Στεναγμοὺς δὲ ἐνταῦθα τοὺς οἰκτιρμοὺς λέγει. Τὸ οὖν Πνεῦμα, φησί, τοῦ Θεοῦ ὑπερσκοπεῖ τὰ ὑπὲρ ἡμῶν οἰκτιρμοῖς ἀκαταλήπτοις· τοσοῦτον γὰρ καὶ τοῦτο μυστικῶς εἰρημένον ὑπερβαίνει τὴν κτίσιν, ὅτι εὐθὺς τῷ καρδιογνώστῃ Θεῷ ὡς μέγα τὸ εἰδέναι τὸ φρόνημα τοῦ Ἁγίου Πνεύματος ἀπένειμεν. Ἔπειτα δὲ καὶ ὁ Υἱὸς ὁμοίως ἐντυγχάνει ὑπὲρ ἡμῶν· καὶ ὅμως μέγας καὶ ἐξουσιαστὴς καὶ ἀληθινὸς Θεός ἐστιν. Γράφει γὰρ περὶ αὐτοῦ ὁ αὐτὸς ἀπόστολος Ἑβραίοις μὲν «Πάντοτε ζῶν εἰς τὸ ἐντυγχάνειν ὑπὲρ αὐτῶν»[3], Ῥωμαίοις δὲ «Χριστὸς Ἰησοῦς ὁ ἀποθανών, μᾶλλον δὲ ἐγερθεὶς ἐκ νεκρῶν· ὅς ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ, ὃς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν»[4]. Ὅτι δὲ τὸ ὄνομα τοῦ Παρακλήτου, καὶ τὸ ἐντυγχάνειν ὑπὲρ ἡμῶν, οὐ κατὰ τὸ δοκοῦν τῇ λέξει καὶ τὴν κοσμικὴν ὁμιλίαν ἐκδέχεσθαι χρή, ἔστιν ἐξ ὁμοιοτρόπων ῥημάτων διδαχθῆναι· ὡς ἡνίκα περὶ τοῦ Θεοῦ καὶ Πατρὸς γράφει ἐν πε΄ ψαλμῷ· «Ποίησον μετ' ἐμοῦ σημεῖον εἰς ἀγαθὸν καὶ ἰδέτωσαν οἱ μισοῦντές με καὶ αἰσχυνθήτωσαν, ὅτι σύ, Κύριε, ἐβοήθησάς μοι καὶ παρεκάλεσάς με»[5]· καὶ Παῦλος· «Αὐτὸς δὲ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ ὁ Θεὸς καὶ Πατὴρ»[6] «παρακαλέσει ὑμῶν τὰς καρδίας»[7]· **[965]** καὶ ἑτέρωθι· Ὁ «μετανοῶν ἐπὶ ταῖς κακίαις» τῶν ἀνθρώπων[8]· τοῦτ' ἔστιν ὁ συγγινώσκων ἢ συμπαθῶν· οὐ γὰρ ὡς αὐτὸς ὢν αἴτιος τῆς κακίας ἢ μετανοεῖ. Πολλάκις δὲ ἡ Γραφὴ τὴν λέξιν, τὴν ἐνταῦθα σημαίνουσαν τόδε τι, ἔθηκεν ὡς ἄλλο τῷ φαινομένῳ μηνύουσαν· ὡς ἡνίκα λέγῃ ἐν Ἐξόδῳ· «Ἦν Μωϋσῆς ποιμαίνων τὰ πρόβατα Ἰοθὼρ γαμβροῦ αὐτοῦ»[9]. Ἦν δὲ τοὐναντίον Ἰοθὼρ πενθερός, γαμβρὸς δὲ Μωϋσῆς. Ὅτι δὲ καὶ νῷ παντὶ ἀχώρητος καὶ ἀνέφικτος ὁ ἀόρατος Θεὸς (διὸ ὡς ἐπίπαν αἱ θεηγορίαι οὐχ ὡς ἔτυχε πᾶσιν ἁπλῶς ἐμφανῆ, ἀλλὰ κρύφιον ἔχουσι νοῦν), ἔστιν εὑρεῖν καὶ ἐν βιβλίοις τῶν ἔξω φιλοσοφημάτων. Ἔχουσι γὰρ ταῦτα·

Ἄρρητα δ' οὐρανίοιο Θεοῦ μελεδήματα θνη-
[τοῖς,
Ἀφράστοισιν ἕκαστα διαφραχθέντα προ-
[νοίαις·

---

1. Ρωμ. 8,26-27. 2. Αὐτόθι. 3. Ἑβρ. 7,25. 4. Ρωμ. 8,34. 5. Ψαλ. 85,34. 6. Πρβλ. Β' Θεσ. 2,16. 7. Πρβλ. Ἔνθ' ἀν. 2,17 8. Ἰωὴλ 2,13. Ἰων. 4,3. 9. Ἐξ. 3,1.

Ὧν βροτὸν οὐ θέμις ἐστὶ μέτρῳ τ' ἀμέτρητ' ἰάνελέσθαι.

ΚΕΦΑΛΑΙΟΝ ΛϚ'

«Αὕτη γάρ ἐστιν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεόν»· καὶ πάλιν· «Πιστεύετε εἰς τὸν Θεὸν καὶ εἰς ἐμὲ πιστεύετε». Οὐκ εἶπε δέ, φησίν, καὶ εἰς τὸ Ἅγιον Πνεῦμα.

Καὶ τὴν ἔχουσαν παρ' Ἰωάννῃ περιοχήν, «Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσί σε, τὸν μόνον ἀληθινὸν Θεὸν καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν»[1]· καὶ πάλιν· «Πιστεύετε εἰς τὸν Θεὸν καὶ εἰς ἐμὲ πιστεύετε»[2], βλασφήμως λίαν Μακεδονιανοὶ ἐμελέτησαν, φάσκοντες τὸ Ἅγιον Πνεῦμα μὴ μνημονεύεσθαι, ὡς δῆθεν ὀθνεῖον τῇ φύσει· καὶ διὰ τοῦτο ἐκβάλλεσθαι τοῦ εἶναι ἀληθινὸν Θεόν. Ἀλλ' εἴρηται μὲν ἤδη εἰς ὁμοιότροπα προβλήματα πολλὰ περὶ τούτου καὶ μέντοι ἐν τῷ πρώτῳ λόγῳ ἐν κεφαλαίῳ δεκάτῳ καὶ ἐν τῷδε τῷ βιβλίῳ ἐν κεφαλαίῳ τεσσαρεσκαιδεκάτῳ· ῥηθήσεται δὲ καὶ νῦν. Εἰ τοίνυν ἡ αἰώνιος ζωή, ἡ περὶ τοῦ **[968]** Πατρὸς καὶ τοῦ Υἱοῦ, ἔστι γνῶσις καὶ τὸ Πνεῦμα δὲ ἀποδέδεικται εἶναι ζωή τε καὶ Πνεῦμα τοῦ Θεοῦ· ἄρα καὶ αὐτὸς μόνος ἀληθινὸς Θεὸς ὑπάρχει, νοούμενος ἀεὶ μετὰ τοῦ Πατρός, ὡς Πνεῦμα αὐτοῦ. Διὸ μιᾷ αἰωνίῳ ζωῇ μίαν γνῶσιν καὶ οὐ διάφορον, ἑπομένην ἐν τῷ ἐκκειμένῳ κεφαλαίῳ ἐδίδαξεν. Λέγων δὲ καὶ εὐαγγελιστής, «Ἐν τούτῳ γινώσκομεν, ὅτι ἐν ἡμῖν ἐστιν ὁ Θεός, ἐκ τοῦ Πνεύματος αὐτοῦ, οὗ ἔδωκεν ἡμῖν»[3], συμμνημονεύεσθαι αὐτὸ καὶ συμπαρεῖναι τῷ Πατρὶ δηλοῖ. Ὅτι δὲ οὔτε ὁ Υἱὸς χωρὶς τοῦ Ἁγίου Πνεύματος νοεῖται, εὔδηλον· λέγει γὰρ ὁ μὲν Πατὴρ πρὸς αὐτόν· «Τὸ Πνεῦμα τὸ ἐμόν, ὅ ἐστιν ἐπὶ σοί»[4]· αὐτὸς δέ φησι· «Πνεῦμα Κυρίου ἐπ' ἐμέ»[5]. Καὶ ὁ Παῦλος δέ, τῆς θεότητος τὸ ἐπίκοινον καὶ τὸ συνεκφωνεῖσθαι τὸ Ἅγιον Πνεῦμα τῇ διανοίᾳ τῆς Γραφῆς, κἂν μήποτε ἰδικῶς ἐμφέρηται, σημαίνων, γράφει· «Σπουδάζοντες τηρεῖν τὴν ἑνότητα τοῦ Πνεύματος ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης»[6]. Ἄλλοτε οὖν πάλιν τοῦ Ἁγίου Πνεύματος ἢ κατὰ μόνας ἢ σὺν τῷ Πατρὶ μνημονεύει. Ἀναγκαῖον οὖν οἶμαι μᾶλλον λέγειν αὐτοὺς ὡς ὁ πάνσοφος Μωϋσῆς· «Εἰ εὕρηκα χάριν παρὰ σοί, ἐμφάνισόν μοι σεαυτόν· γνωστῶς ἴδω σε»[7]· ἵν' ὀψέ ποτε γνοῖεν τὴν τῇ φύσει καὶ συμφωνίᾳ ἀδιαίρετον Τριάδα. Ὡς ἔοικε γάρ, οὔπω γνωστῶς ἴσασιν, ἃ πολλοὶ μὲν προφῆται καὶ βασιλεῖς ἠθέλησαν ἰδεῖν καὶ ἀκοῦσαι καὶ οὐκ

---

1. Ἰω. 17,3. 2. Ἰω. 14,1. 3. Α' Ἰω. 3,24. 4. Ἡσ. 59,21. 5. Ἡσ. 61,1. 6. Ἐφ. 4,3. 7. Ἐξ. 33,13.

ἔτυχον· ἡμεῖς δὲ οὐχὶ ἀκούομεν μόνον, ἀλλὰ καὶ βλέπομεν, ὡς παρὰ Λουκᾷ[1] λέγει.

ΚΕΦΑΛΑΙΟΝ ΛΖ′

«Οὐδεὶς γινώσκει τὸν Πατέρα, εἰ μὴ ὁ Υἱός· οὐδὲ τὸν Υἱόν τις ἐπιγινώσκει, εἰ μὴ ὁ Πατήρ». Καὶ πρὸς τοὺς λέγοντας, ἐρευνᾶν τὸ Ἅγιον Πνεῦμα τὰ βάθη τοῦ Θεοῦ, ὡς ἔσθ' ὅτε ἀγνοοῦν.

Α′. Ἐν ἴσῳ πεπλάνηνται καὶ περὶ τὸ γεγραμμένον ἐν τῷ Λουκᾷ· «Οὐδεὶς γινώσκει τὸν Υἱόν, εἰ μὴ ὁ Πατήρ· οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰ μὴ ὁ Υἱός, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκάλύψαι»[2]· καὶ ἐτέρωθι· «Οὐχ ὅτι τὸν Θεόν τις ἑώρακεν, εἰ μὴ ὁ ὢν ἐκ **[969]** τοῦ Θεοῦ»[3]. Ἡγοῦνται γάρ, ὡς ἡ «Οὐδεὶς ἄλλος γιγνώσκει»[4] λέξις ἐξωθεῖ τῆς θείας γιώσεως τὸ θεϊκὸν Πνεῦμα· οὐ προσέχοντες, ὡς ἡ λέγουσα φωνή, «εἰ μὴ ὁ ὢν ἐκ τοῦ Θεοῦ»[5], οὐκ ἐκβάλλει αὐτὸ τοῦ ὁρᾶν καὶ γινώσκειν τὸν Πατέρα, ἅτε καὶ Παύλου ὁμοίως γράψαντος περὶ αὐτοῦ· «Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ»[6]· καὶ τοῦ Υἱοῦ φήσαντος· «Πνεῦμα, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται»[7]· εἶτα καὶ ἐν ἑτέρῳ πάλιν τοῦ Παύλου σιωπήσαντος μὲν τῇ λέξει, οὐχὶ δὲ τῷ νῷ, τὸν Υἱὸν διδάξαντος δὲ τὸ Πνεῦμα μόνον ὁρᾶν καὶ εἰδέναι τὸν Πατέρα ἐν ταῖς συλλαβαῖς ταῖσδε· «Τὸ Πνεῦμα πάντα ἐρευνᾷ καὶ τὰ βάθη τοῦ Θεοῦ· τίς γὰρ οἶδεν ἀνθρώπων τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ; οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ»[8]· καὶ πάλιν· «Ὅτι ὁ Θεὸς οἶδεν, τί τὸ φρόνημα τοῦ Πνεύματος»[9]. Ἐρευνᾷ δὲ τὸν Θεὸν οὐχ ὁ μὴ ὁρῶν, μηδὲ συνὼν αὐτῷ· καὶ οἶδε τὰ τοῦ Θεοῦ οὐχ ὁ μὴ γινώσκων αὐτόν, μηδὲ ὢν τῆς αὐτῆς θεότητος· ἀδύνατον γὰρ εἰδέναι τὰ τοῦ Θεοῦ οὕτως, ὡς οἶδεν αὐτὰ ὁ Θεός, καὶ τὴν ἴσην γνῶσιν κεκτῆσθαι αὐτῷ, μὴ τῆς αὐτῆς αὐτῷ οὐσίας καὶ γνώσεως ὑπάρχοντα. Τὸ δὲ εἰδὸς τὰ τοῦ Θεοῦ καὶ ὂν ἐπὶ τὸν Υἱόν, οἶδε καὶ τὰ τοῦ Υἱοῦ. Ὡς πρὸς τοὺς κτιστούς ἐστι τοίνυν τό, «Οὐδεὶς γινώσκει τὸν Πατέρα»[10] ἢ «τὸν Υἱόν»[11]· οὔτε μὴν ὁρᾷ οὕτως ὡς ἐστιν· οὔτε γὰρ ἡ ἐγχωροῦσα κατανόησις ἐν πᾶσιν, ἐπεὶ μὴ πάντες ἀξιόχρεοι· καὶ ἐν οἷς ἐστιν, οὐκ ἴση ἑκάστῳ ὑπάρχει. Κατὰ γὰρ τὸν Παύλου λόγον· «Ἄλλῳ μὲν δίδοται γνῶσις σοφίας»[12], ἄλλῳ δὲ τόδε ἢ τόδε· κατὰ δὲ τὸ Εὐαγγέλιον, ᾧ δίδοται περισσότερον, περισσοτέρας εὐθύνας ἐπάγεται[13]. Αἱρετικοὶ δέ φασιν· «Ἐρευνᾷ τὰ

---

1. Πρβλ. Λουκ. 10,24. 2. Λουκ. 10,22. 3. Ἰω. 6,46. 4. Πρβλ. Λουκ. 10,22. 5. Ἰω. 6,46. 6. Α′ Κορ. 2,12. 7. Πρβλ. Ἰω. 15,26. 8. Α′ Κορ. 2,10-11. 9. Ρωμ. 8,27. 10. Πρβλ. Λουκ. 10,22. 11. Αὐτόθι. 12. Α′ Κορ. 12,8. 13. Πρβλ. Λουκ. 12,48.

βάθη τοῦ Θεοῦ»[1], ὡς ἀγνοοῦν. Ἀλλ' ἐπήγαγεν, ὡς «Οἶδεν τὰ τοῦ Θεοῦ»[2].

[972] Β'. «Ὁ» γὰρ «δοῦλος οὐκ οἶδε, τί ποιεῖ ὁ κύριος αὐτοῦ»[3]. Ὅτι δὲ οὐκ ἀεὶ τὸ ἐρευνᾶν τῷ ζητεῖν ὅμοιον διασαφηνίζει τὰ λόγια. Ἡνίκα μὲν γὰρ προφητεύει «Ἐρευνῶντες, εἰς τίνα ἢ ποῖον καιρὸν ἐδηλοῦτο ἐν αὐτοῖς Πνεῦμα Χριστοῦ»[4], τὸ ζητεῖν καὶ μανθάνειν δηλοῖ, παραπλησίως τῷ λέγοντι· «Ἐρευνᾶτε τὰς Γραφάς»[5]· ἡνίκα δὲ ὁ Ἀπόστολος γράφει περὶ τοῦ Θεοῦ καὶ Πατρός· «Ὁ δὲ ἐρευνῶν τὰς καρδίας οἶδε τί τὸ φρόνημα τοῦ Πνεύματος, ὅτι κατὰ Θεὸν ἐντυγχάνει ὑπὲρ ἁγίων»[6]· ἢ ἐν λ' ψαλμῷ λέγει· «Ὅτι ἀληθείας ἐκζητεῖ Κύριος»[7]· ἢ ἐν ζ'· «Ἐτάζων καρδίας καὶ νεφροὺς ὁ Θεός»[8]· ἢ ἑτέρωθι· «Ἐρευνῶν ταμεῖα κοιλίας»[9]· οὐ τὸ ἐξετάζειν καὶ μανθάνειν, ἀλλὰ τὸ περιλαμβάνειν τὴν καρδίαν, ὡς μηδέν που λανθάνειν τῶν πώποτε αὐτῇ ἐνθυμηθέντων ἢ νενοημένων· ἅπερ καὶ δίχα ἐξιχνιασμῶν οἶδεν ὁ καρδιογνώστης. Εἰ γὰρ τὸ πᾶν τῆς γνώσεως τῷ ἐρευνᾶν ἀπονεμηθείη καὶ ἐρευνῶν ὡς ἀγνοῶν εὑρεθήσεται καὶ ὁ Θεὸς καὶ ἀδοξίαν αὐτῷ κατ' ἐκείνους οἴσει τόδε ἐν τῷ Σοφονίᾳ ὑπ' αὐτοῦ, οἷον τὸ ἀπὸ μεταφορᾶς τῶν ἀνθρώπων, εἰρημένον· «Ἐξερευνήσω τὴν Ἱερουσαλὴμ μετὰ λύχνου»[10]. Τὸ ῥῆμα τὸ τοιοῦτο τῆς δυνάμεως αὐτοῦ πολλὴν ἐργάζεται σημείωσιν. Ἐρευνᾷ οὖν τὸ θεῖον Πνεῦμα τοῦ Θεοῦ, οὐχ ὡς ἀγνοοῦν, ἀλλ' ὡς Πνεῦμα τοῦ Θεοῦ ἡνωμένον αὐτῷ τῇ φύσει. Ὅθεν ὁ Ψαλμῳδὸς οὐ διαστέλλων αὐτὸ τῆς οὐσίας καὶ γνώσεως τοῦ Θεοῦ καὶ Πατρὸς αὐτὸ δὲ μᾶλλον ἐνυποστάτως εἶναι τὴν σοφίαν αὐτοῦ ἐν ἴσῳ τοῦ Μονογενοῦς ἀναπείθων ηὔχετο· «Τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ»[11]· τὸ ἀποκαλύπτον μοι, φησίν, «τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου»[12].

ΚΕΦΑΛΑΙΟΝ ΛΗ'

Περὶ τοῦ ἀφορίζειν αὐτοὺς μόνῳ τῷ Ἁγίῳ Πνεύματι τὸ ὄνομα τοῦ Παρακλήτου· λέγειν δέ, ὅτι καὶ ἀπεστάλη παρὰ τοῦ Υἱοῦ. Καὶ περὶ τοῦ καὶ τὸν Υἱὸν ἀπεστάλθαι παρὰ τοῦ Πατρὸς καὶ τοῦ Ἁγίου Πνεύματος. Ἐν ταὐτῷ καὶ περὶ Μοντανοῦ.

Α'. Καὶ τὰς παρὰ Ἰωάννῃ δὲ διαλαλούσας τοῦ Χριστοῦ πανωφελεῖς συλλαβάς· «Ὅταν ἔλθῃ ὁ Παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρός μου τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύε-

---

1. Α' Κορ. 2,10. 2. Α' Κορ. 2,11. 3. Ἰω. 15,15 4. Α' Πέτρ. 1,11. 5. Ἰω. 5,39. 6. Πρβλ. Ρωμ. 8,27. 7. Ψαλ. 30,24. 8. Ψαλ. 7,10. 9. Ψαλ. 20,27. 10. Σοφον. 1,12. 11. Ψαλ. 50,13. 12. Ψαλ. 50,8.

ται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ»[1]· καὶ πάλιν· «Ὁ δὲ Παράκλητος, τὸ Πνεῦμα τὸ Ἅγιον, ὃ πέμψει ὁ Πατὴρ ἐν τῷ ὀνόματί μου, ἐκεῖνος ὑμᾶς διδάξει πάντα καὶ ὑπομνήσει ὑμᾶς πάντα, ἃ εἶπον ὑμῖν»[2]· οὐκ ἀδιαστρόφως δέχονται, καταψηφιζόμενοι τοῦ Ἁγίου Πνεύματος. Ἀντὶ γὰρ τοῦ νοεῖν Παράκλητον ἢ διὰ τὸ παρακαλεῖσθαι ὡς Θεὸν παρὰ τῆς κτίσεως ἢ διὰ τὸ παραμυθεῖσθαι αὐτὴν καὶ θυμηδίαν καὶ εἰρήνην ἐμβάλλειν· συνώνυμοι γὰρ αἱ λέξεις τῆς παρακλήσεως καὶ παραμυθίας εἰσίν· ὡς γράφει· «Καὶ τοὺς ταπεινοὺς τοῦ **[973]** λαοῦ αὐτοῦ παρεκάλεσεν»[3]. Καὶ ἡ ἐκ προσώπου τῶν ἀξιωθέντων τῆς παραμυθίας φησίν· «Κύριε, κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν μου ἐν τῇ καρδίᾳ μου αἱ παρακλήσεις σου εὔφραναν τὴν καρδίαν μου»[4]· καὶ πάλιν· «Ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου»[5]. Καὶ ὡς Παῦλος Θεσσαλονικεῦσιν ἐπεύχεται· «Αὐτὸς δὲ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ ὁ Θεὸς καὶ Πατὴρ παρακαλέσει ὑμῶν τὰς καρδίας»[6]. Οἱ δὲ ἀντὶ τοῦ οὕτω νοεῖν λέγουσι διὰ τὸ παρακαλεῖν ὑπὲρ αὐτῆς ὠνομάσθαι Παράκλητον· καὶ ἐπάγουσιν, ὅτι καὶ ἀποστέλλεται. Ἀλλὰ πρῶτον μὲν τῷ τε Ἁγίῳ Πνεύματι καὶ τῷ Υἱῷ ἐπίκοινόν ἐστι τοῦ Παρακλήτου τὸ ὄνομα, ὡς καὶ ἡ φύσις· καθὰ Ἰωάννης γέγραφεν οὕτως, ἐν μὲν ταῖς Καθολικαῖς· «Ταῦτα γράφω ὑμῖν, ἵνα μὴ ἁμάρτητε· ἐὰν δὲ καὶ ἁμάρτωμεν, Παράκλητον ἔχομεν πρὸς τὸν Θεὸν Ἰησοῦν Χριστὸν δίκαιον καὶ αὐτὸς ἱλασμός ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν»[7]. Ἐπιτήρησον δὲ τέως, ὅτι Παράκλητον πρὸς τὸν Θεὸν εἰπὼν Ἰησοῦν Χριστόν, τῷ Παρακλήτῳ τὴν ἐξουσίαν ἀπένειμεν, ὡς αὐτοῦ παρακαλουμένου· «Αὐτὸς» γάρ, φησίν, «ἱλασμός ἐστιν»[8]· ἵν' οὕτω καὶ τὸ αὐτεξούσιον τοῦ Παρακλήτου δείξῃ καὶ εἰς τὴν μίαν θεότητα τὸν ἱλασμὸν ἀναγάγῃ.

Β'. Καὶ πάλιν ἐν Εὐαγγελίῳ ἀπὸ τοῦ Δεσπότου· «Ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολὰς τὰς ἐμὰς τηρήσατε, κἀγὼ ἐρωτήσω τὸν Πατέρα καὶ ἄλλον Παράκλητον δώσει ὑμῖν, ἵνα μένῃ μεθ' ὑμῶν εἰς τὸν αἰῶνα, τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν, ὅτι οὐ θεωρεῖ αὐτό, οὐδὲ γινώσκει αὐτό· ὑμεῖς δὲ γινώσκετε αὐτό, ὅτι παρ' ὑμῖν μένει καὶ ἐν ὑμῖν ἔσται. Οὐκ ἀφήσω ὑμᾶς ὀρφανούς· ἔρχομαι πρὸς ὑμᾶς»[9] ἄλλον Παράκλητον φήσας, οὐ κατ' οὐσίαν, ἀλλὰ καθ' **[976]** ὑπόστασιν. Ἔπειτα δὲ τὸ προειπεῖν τὸν Υἱὸν «Πέμψω ὑμῖν παρὰ τοῦ Πατρός μου τὸ Πνεῦμα τῆς ἀληθείας»[10] παρέστησε τὰς τρεῖς ὑποστάσεις καὶ ὡς εὐδοκίᾳ καὶ συμφωνίᾳ μιᾷ ἡ τοῦ Ἁγίου Πνεύματος ἐγένετο παρουσία, ὡς καὶ ἐν τῷ κεφαλαίῳ τῷ· «Ὁ Πατὴρ ἐντολήν μοι δέδωκεν, τί εἴπω καὶ τί λαλήσω»[11]· καὶ περὶ τοῦ Ἁγίου Πνεύματος· «Ἀφ' ἑαυτοῦ οὐ λαλήσει»[12], προελέχθη. Ὡς γὰρ οὐκ

---

1. Ἰω. 15,26. 2. Ἰω. 14,26. 3. Ἡσ. 49,13. 4. Ψαλ. 93,19.
5. Ψαλ. 4,8. 6. Β' Θεσ. 2,16,17. 7. Α' Ἰω. 2,1,2. 8. Αὐτόθι.
9. Πρβλ. Ἰω. 14,18. 10. Ἰω. 15,26. 11. Ἰω. 12,49. 12. Ἰω. 16,13.

ἀπέζευκται τοῦ Πατρὸς ὁ Υἱὸς πεμφθείς, οὕτως οὐδὲ τὸ Ἅγιον Πνεῦμα. Τὸ δὲ προσκεῖσθαι, «Πνεῦμα τῆς ἀληθείας»[1], διδάσκει ἀληθῶς αὐτὸ Πνεῦμα εἶναι τοῦ Θεοῦ καὶ οὐχ ὡς τὰ λειτουργικά. Τὸ δὲ ἔχειν «Ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται»[2] σημαίνει, ὡς ἀνάρχως καὶ ὁμοουσίως ἐκ τῆς πατρικῆς ὑποστάσεως ἐξεφάνη· πᾶσα γὰρ πρόοδος διὰ τῶν ἴσων καὶ ὁμοίων ἐπιτελεῖται· καὶ διαφερόντως ὁμοουσίως ἐγένετο ἡ ἀπὸ τοῦ Θεοῦ γέννησις τοῦ Υἱοῦ καὶ ἐκπόρευσις τοῦ Πνεύματος αὐτοῦ. Τὸ δέ, «Ἐκεῖνος ὑμᾶς διδάξει πάντα καὶ ὑπομνήσει ὑμᾶς πάντα, ἃ εἶπον ὑμῖν»[3], παράγγελμά ἐστι μὴ ἀπιστῆσαι τῷ Ἁγίῳ Πνεύματι, ὡς ἀνωτέρω εἴρηται, ἐλθόντι μετὰ τὴν ἀνάληψιν τοῦ Χριστοῦ καὶ διδάσκοντι· Οὐκ ἀπάδουσα γάρ, φησίν, τῆς ἐμῆς γνώμης καὶ διδασκαλίας ἔσται ἡ αὐτοῦ· ἐπειδὴ καὶ τῇ θεότητι ἡνωμένως καὶ ἐχομένως ἔχει· κοινὰ δὲ τῆς Ἁγίας Τριάδος τὰ διδάγματα καὶ τὰ πρὸς σωτηρίαν δωρήματα· καὶ ᾧ εἶπον τρόπῳ τό, «Ὁ Πατὴρ ἐντολήν μοι δέδωκεν, τί εἴπω καὶ τί λαλήσω»[4], ἔστι δὲ ὅτι συμφωνίας τῷ αὐτῷ φημὶ καὶ περὶ τοῦ Ἁγίου Πνεύματος, ὅτι «Ἐκ τοῦ ἐμοῦ λήψεται καὶ ἀναγγελεῖ ὑμῖν»[5]. Τῷ δὲ εἰπεῖν· «Ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολάς μου τηρήσατε, κἀγὼ ἐρωτήσω τὸν Πατέρα, καὶ ἄλλον Παράκλητον δώσει ὑμῖν»[6], ἐδήλωσε μονονουχὶ καὶ ἑαυτὸν Παράκλητον ὀνομάζεσθαι καὶ ὡς, Εἰ μὴ φυλάξητε, φησίν, τὰς ἐμὰς ἐντολάς, ἀνάξιοι τῆς τοῦ Ἁγίου Πνεύματος ἐπιφοιτήσεως τυγχάνετε, ἥτις οὐκ ἀπάδει τῆς ἐμῆς ἐπιφανείας. Τὸ δὲ γράφειν· «Τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν, ὅτι οὐ θεωρεῖ αὐτό, οὐδὲ γινώσκει αὐτό· ὑμεῖς δὲ γινώσκετε αὐτό»[7], ἔδειξεν, ὅτι οἱ μὲν κοσμικοί, τοῦτ' ἔστιν αἱρετικοί, οὐ δύνανται λαβεῖν αὐτό, ὅτι οὐ θεωροῦσιν αὐτὸ τοῖς τῆς πίστεως ὀφθαλμοῖς, οὐδὲ γινώσκουσιν αὐτό, μὴ δοξάζοντες ὡς Θεόν· οἱ δὲ ὁμολογοῦντες αὐτὸ εἶναι Θεὸν ἔχουσιν αὐτὸ μένον παρ' αὐτοῖς.

Γ'. Τὸ δὲ ἔχειν «Δώσει ὑμῖν»[8] καὶ «Παρ' ὑμῖν μένει καὶ ἐν ὑμῖν ἔσται»[9], ἐσήμανεν, ὡς καὶ ἄνω καὶ κάτω, ἅτε δὴ Θεός, πανταχοῦ παρὸν τὸ Ἅγιον Πνεῦμά ἐστιν· εἰ γὰρ καὶ παρ' ἡμῖν μένει καὶ ἐν ἡμῖν ἔσται καὶ πάντα πληροῖ, κατὰ τὴν σοφίαν λέγουσαν· «Πνεῦμα Κυρίου πεπλήρωκεν τὴν οἰκουμένην»[10]· πῶς ἡμῖν ἀπεστάλη; Ὅτι δὲ καὶ λέγοντος αὐτοῦ ταῦτα, μετ' αὐτοῦ ἦν ὡς ὁμοούσιον, πάλιν αὐτὸς ἔπεισεν, ἐμφυ**[977]**σήσας εἰς τὰ πρόσωπα τῶν ἀποστόλων καὶ εἰπών· «Λάβετε Πνεῦμα Ἅγιον»[11], ὡς προείρηται. Τὸ δὲ «Οὐκ ἀφήσω ὑμᾶς ὀρφανούς· ἔρχομαι πρὸς ὑμᾶς»[12], ἐδίδαξεν, ὡς ὃν τρόπον τὸ Πνεῦμα τοῦ Θεοῦ ἦν καὶ πρὸ τῆς γνωστῆς αὐτοῦ ἐπιδημίας ἐν πᾶσιν, οὕτω καὶ μετὰ τὴν ἀνάληψιν ὁ Υἱὸς ἐν ἀπεριγράφῳ μιᾷ θεότητι καὶ

---

1. Ἰω. 16,13. 2. Ἰω. 15,26. 3. Ἰω. 14,26. 4. Ἰω. 12,49. 5. Ἰω. 16,14. 6. Ἰω. 14,16. 7. Ἰω. 14,17. 8. Ἰω. 16,13. 9. Ἰω. 14,17. 10. Σ. Σολ. 1,7. 11. Ἰω. 20,22. 12. Ἰω. 14,18.

Ergo quia nulla venia in Trinitatem conceditur blasphemantibus, omni studio et cautela est providendum, ut ne in brevi quidem parvoque sermone de ea disputantes, labamur. Quin potius si quis hoc volumen legere voluerit, quæsumus, ut mundet se ab omni opere malo et cogitationibus pessimis: quo possit illuminato corde ea intelligere, quæ dicuntur, et plenus sanctitate atque sapientia ignoscere nobis, sicubi voluntatem nostram non implevit effectus, et tantummodo consideret, qua mente quid dictum sit, non quibus expressum sermonibus. Sicut enim pietatis sensum nobis audaciter juxta nostram conscientiam vindicamus, ita quantum de eo loqui pertinet, venustatem rhetoricam facundiamque juxta consequentiam textumque sermonis procul abesse simpliciter confitemur. Studii quippe nostri fuit de Scripturis sanctis disserentibus pie intelligere, quæ scripta sunt, et imperitiam mensuramque nostri non ignorare sermonis.

1. Matth. 12,32. 2. Hebr. 10,29. 3. 1 Reg. 2,25. 4. Matth. 10,33.

ΔΙΔΥΜΟΥ ΚΑΤΑ ΜΑΝΙΧΑΙΩΝ*

Α'. Οὐδεμία ἀντίθεσις ἐναντίων ἐξ ὅλων ἀντίκειται, τῷ καὶ κοινά τινα ὑπάρχειν τοῖς ἐναντίοις. Οἷον τὸ λευκὸν ἐναντίον ὂν τῷ μέλανι, κατὰ μόνας τὰς διαφορὰς ἔχει τὴν ἐναντίωσιν, ὄντων αὐτοῖς κοινῶν χρώματος καὶ ποιότητος· οὐδὲν δὲ τῶν τοιούτων, τὴν περὶ αὐτὰ ἐναντιότητα προτέραν ἔχει· πάντα γὰρ μετὰ τὰ κοινά· ἐν δὲ τοῖς κοινοῖς οὐκ ἔστιν ἐναντιότης. Δεῖ γὰρ κοινὸν χρῶμα καὶ ποιότητα εἶναι, ἵνα οὕτω τὸ λευκὸν καὶ τὸ μέλαν ᾖ, ὡσαύτως μετὰ τὸ ποιὸν καὶ διάθεσιν ἡ ἀρετὴ καὶ ἡ κακία. Εἰ τοίνυν ἀγένητοι δύο ἀρχαὶ καὶ αὐταὶ ἐναντίοι ἢ ἐξ ὅλων εἰσὶ τὴν ἐναντιότητα ἔχουσαι ἢ ὑπάρχει τινὰ αὐταῖς κοινά. Ἀλλ' οὐδὲν ἐξ ὅλων δέχεται ἐναντιότητα· ἔχουσιν ἄρα καὶ αὐταὶ κοινά, τὸ εἶναι, τὸ οὐσίαι εἶναι, καὶ εἴ τι ἕτερον εὑρίσκεται περὶ αὐτὰς κοινόν. Ἐναν**[1088]**τίας δὲ ποιεῖ αὐτάς, τὸ τὴν μὲν ἀγαθόν, τὴν δὲ κακόν· καὶ τὴν μὲν φῶς, τὴν δὲ σκότος εἶναι. Προεπινοεῖται δὲ τὸ εἶναι αὐτὰς οὐσίας ἢ τὸ ἀγαθὸν καὶ κακὸν ὑπάρχειν. Ἡ ἐναντιότης ἄρα οὐ κατὰ τὰ κοινά, ἀλλὰ κατὰ τὴν ἰδιότητα. Τίθενται δὲ αὐτὰς ἀγενήτους εἶναι· οὐδὲν δὲ πρὸ ἀγενήτου. Πρὸ τούτων δέ τί ἐστιν, αὐτὸ ὃ εἶπον κοινῶς αὐταῖς ὑπάρχειν· οὐκ ἄρα ἀγένητοι αἱ ἀρχαί. Αὗται γὰρ ἀγένητοι αἱ ἐναντίαι· τὸ δὲ κοινῶς αὐταῖς ὑπάρχειν πρὸ αὐτῶν. Οὐκ ἄρα ἀγένητοι αἱ ἀρχαί· οὐδὲν γὰρ πρὸ ἀγεννήτου.

Β'. Εἰ δὲ λέγοιεν, μὴ κατὰ τὸ ἀγένητον ἔχειν αὐτὰς τὴν ἐναντιότητα· καὶ τοῦτο κοινὸν αὐτῶν εὑρεθήσεται. Ἀλλ' ἐπεὶ ἀγενήτως τὸ κακόν, κακὸν καὶ τὸ ἀγαθόν, ἀγαθὸν κοινὸν εὑρεθήσεται τὸ ἀγένητον κακὸν ἀμφοτέρων καὶ τὸ ἀγένητον ἀγαθὸν ἀμφοτέρων. Εἰ γὰρ ἀγαθὸν ἄνευ τοῦ ἀγενήτου οὐ δύναται εὑρεθῆναι, κοινὸν δὲ τὸ ἀγένητον· κοινὸν ἄρα καὶ τὸ ἐξ ἀνάγκης ἑπόμενον τῷ ἀγενήτῳ· τοῦτο δέ ἐστιν ἀγαθόν.

Εἰ δὲ λέγοιεν, μὴ κοινὸν αὐτῶν τὸ ἀγένητον εἶναι· ἢ θατέρῳ ὑπάρχει, τῷ λοιπῷ οὐχ ὑπάρχει· ἔσται τοίνυν ἀγένητον ἢ τὸ ἀγαθὸν ἢ τὸ κακόν· οὐ τὸ ἀγαθὸν καὶ κακόν. Εἰ οὖν εὑρεθείη τὸ ἀγαθὸν ἀγένητον, τὸ κακὸν γενητόν.

Ἄλλως τε πᾶν κακὸν κολαστέον· οὐδὲν κολαστέον ἄφθαρτον· οὐδὲν ἄρα κακὸν ἄφθαρτον, τῷ μὴ ἀφθάρτως ὑπάρχειν φθαρτόν.

Οὐδὲ φθαρτὸν ἀγένητον· ἔστι δὲ τὸ κακὸν φθαρτόν· τὸ ἄρα κακὸν οὐκ ἀγένητον.

Οὐδὲν κατ' οὐσίαν κακόν, τῷ τὸ κακὸν ποιὸν εἶναι· οὐδὲν δὲ ποιὸν οὐσία· τὸ ἄρα κακὸν οὐκ οὐσία.

---

* Κατὰ τὴν ἔκδοσιν J. - P. Migne, Patrologiae Cursus Completus, Series Graeca, τόμ. 39, στ. 1085-1109, ἔνθα αἱ παράγραφοι χαρακτηρίζονται ὡς κεφάλαια φέρουσαι ἰδιαιτέρας ἐπιγραφάς.

Πάντα τὰ ἐναντία ἀλλήλων φθαρτικά· τὰ δὲ ἀγένητα ἄφθαρτα· οὐκ ἄρα ἐναντία· τὰ γὰρ ἐναντία οὐκ ἄφθαρτα.

Οὐδὲν ἀγένητον τρεπτόν· τρέπεται δὲ τὸ ἀγαθὸν κρατηθὲν ὑπὸ τοῦ κακοῦ· τὸ ἄρα ἀγαθὸν οὐκ ἀγένητον.

Τὸ ἀγένητον οὐκ ἔστιν ὀρεκτικὸν φθορᾶς τινος, οὐδέ γε φθαρτικόν· τὸ δέ γε κακὸν ὀρεκτικὸν φθορᾶς· τὸ ἄρα κακὸν οὐκ ἀγένητον.

Αἱ θεῖαι Γραφαὶ κολάσει παραδίδοσθαι, οὐ τοὺς ἀνθρώπους κακοὺς μόνον, ἀλλὰ καὶ αὐτὸν τὸν διάβολον[1], λέγουσιν. Πᾶν δὲ τὸ κολάσει παραδιδόμενον τρεπτόν· οὐδὲν δὲ τρεπτὸν ἀγένητον· οὐδὲν ἄρα τῶν κακῶν ἀγένητον.

[1089] Τῶν δι' ὅλων ἐναντιουμένων οὐδὲν κοινόν. Ὥστε πᾶσα ἀνάγκη τὸ θατέρῳ ὑπάρχον, τῷ λοιπῷ μὴ ὑπάρχειν· ὑπάρχει δὲ τῷ ἀγαθῷ τὸ εἶναι ἀγένητον· τῷ ἄρα κακῷ οὐδέτερον τούτων ὑπάρχει. Μὴ ὂν ἄρα τὸ κακόν.

Πᾶς ὁ εὐλόγως ὀρεγόμενός τινος, ἐπιτετευγμένην ἔχει τὴν ὄρεξιν, εἰ εὐλόγως ὀρέγεται. Θεὸς δὲ τοῦ φθεῖραι τὴν κακίαν ὀρέγεται· τῶν φθαρτῶν ἄρα ἐστὶν ἡ κακία. Τῶν δὲ φθαρτῶν οὖσα ἀφανισθήσεται· ἀφανιζομένη δέ, οὐκ ἔστιν ἀγένητος.

Εἰ ἀγένητον τὸ κακόν, κατὰ φύσιν αὐτῷ ὑπάρχει τὸ κακὸν εἶναι. Οὐδεὶς δὲ τὸ κατὰ φύσιν ἐνεργῶν ἁμαρτάνει. Τὸ ἄρα κακὸν οὐχ ἁμαρτάνει· τὸ δὲ μὴ ἁμαρτάνον, οὐχ ὑπαίτιον. Ὑπαίτιος δὲ ὁ Σατανᾶς· οὐκ ἄρα ἀγένητος.

Γ'. Ἡ θεία γὰρ Γραφὴ τῶν πράξεων καὶ τῶν ἐπιτηδευμάτων, ὧν ποιοῦσιν οἱ ἄνθρωποι, λέγει αὐτοὺς εἶναι υἱοὺς καὶ γεννήματα. Τοὺς γοῦν ὀργίλους καὶ τὴν ἄλλην ἁμαρτίαν ἔχοντας, ὡς διὰ τοῦτο ὑποκεῖσθαι τῇ κατὰ κόλασιν ὀργῇ, τέκνα ὀργῆς ὀνομάζει, ἣ φησιν ὁ Παῦλος· «Καὶ ἦμεν φύσει τέκνα ὀργῆς, ὡς καὶ οἱ λοιποί»[2]. Οὗτοι μεταβάλλειν δυνατὸν ὡς μηκέτι εἶναι τέκνα φύσει ὀργῆς. Παῦλος γοῦν περὶ ἑαυτοῦ καὶ τῶν παραπλησίως ἁγίων γεγενημένων, λέγει, ὅτι «Ἦμεν φύσει τέκνα ὀργῆς», ὡς καὶ οἱ λοιποὶ ἄνθρωποι, οἱ εἰσέτι δεῦρο ἐν τῷ ἁμαρτάνειν ὄντες· προσκείμενον δὲ τὸ φύσει, οὐ τὸ κατὰ φύσιν σημαίνει, ἀλλὰ τὸ ἀληθείᾳ. Τὸ γὰρ «Ἦμεν φύσει τέκνα ὀργῆς»[3], λέγε, δηλῶν, ὅτι ἀληθείᾳ ὑπεύθυνοι ὀργῇ τυγχάνουσιν οἱ ἁμαρτάνοντες· ὥσπερ δὲ κατὰ φύσιν τέκνον ὀργῆς γίνεται τῷ συνεῖναι αὐτῷ κακίαν, οὕτω μεταβαλὼν ἀληθείας γίνεται τέκνον καὶ ἀρετῆς. Εἴρηται γοῦν περί τινων ὑπὸ τοῦ Σωτῆρος τοιαῦτα· «Ἐδικαιώθη ἡ σοφία ἀπὸ τῶν τέκνων αὐτῆς»[4]· τέκνα σοφίας τοὺς σοφοὺς λέγων. Ἐπεὶ γὰρ οἱ τέκνα τινὸς ὄντες ἐκ τοῦ τεκόντος ἔχουσι τὸ εἶναι· ἔχουσι δὲ καὶ οἱ ποιοὶ τὸ εἶναι ἐκ τῆς ποιότητος τῆς προσγενομένης αὐτοῖς· εἰκότως οἱ ποιοὶ τέκνα καὶ υἱοὶ τῆς ποιότητος ὀνομάζονται. Ὡς γὰρ εἴρηται ὑπὸ τοῦ Σωτῆρος τοιαῦτα. Οὗτοι δέ εἰσιν οἱ σοφοὶ

1. Ματθ. 25,41. 2. Ἐφ. 2,3. 3. Αὐτόθι. 4. Ματθ. 11,19.

σοφίας τέκνα· οὕτω καὶ ἄλλους υἱοὺς εἰρήνης προσηγόρευσε φάσκων τοῖς μαθηταῖς· «Ἐὰν εἰσέλθητε εἰς πόλιν ἢ εἰς οἰκίαν καὶ ἦ ἐκεῖ υἱὸς εἰρήνης, ἡ εἰρήνη ὑμῶν (ἡ διδομένη τῇ πόλει ἢ τῇ οἰκίᾳ) ἐπαναπαύσεται»[1] ἐπὶ τὸν ὄντα ἐν αὐτῇ υἱὸν εἰρήνης.

Δ΄. Πάλιν ὁ αὐτὸς Σωτήρ φησιν· «Φρονιμώτεροί εἰσιν οἱ υἱοὶ τοῦ αἰῶνος τούτου ὑπὲρ τοὺς υἱοὺς τοῦ φωτός, ἐν τῇ γενεᾷ τῇ ἑαυτῶν»[2]· υἱοὺς φωτὸς λέγων τοὺς πεφωτισμένους τῇ γνώσει τῆς ἀληθείας καὶ τοῖς ἔργοις τῆς ἀρετῆς. Πρὸς οὓς καὶ φῶς γεγενη**[1092]**μένους, διὰ τὸ τυγχάνειν φωτὸς υἱούς, λέγει· «Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου»[3]· τοὺς δὲ ἀγαπήσαντας τὸ παρὸν ζῆν καὶ πρὸς αὐτὸ πάντα, ἃ ποιοῦσιν, ἀναφέροντας, υἱοὺς αἰῶνος τούτου ὠνόμασεν. Ἀλλ', εἰ καὶ εἶπε τούτους φρονιμωτέρους ὑπὲρ τοὺς υἱοὺς τοῦ φωτός, οὐ καθάπαξ αὐτοὺς εἶπε φρονιμωτέρους, ἀλλ' «ἐν τῇ ἑαυτῶν γενεᾷ»· τοῦτ' ἔστιν, ἐν τοῖς πράγμασι τοῖς οἰκειωθεῖσι τούτῳ τῷ αἰῶνι, φρονιμώτεροι τῶν τοῦ φωτὸς υἱῶν τυγχάνουσιν. «Σοφοὶ γάρ εἰσι τοῦ κακοποιῆσαι· τὸ δὲ καλῶς ποιῆσαι οὐ συνῆκαν»[4]. Καὶ περὶ τοῦ Ἰούδα δὲ γέγραπται, ὡς εἴη υἱὸς ἀπωλείας. Ὁ γὰρ Κύριος περὶ αὐτοῦ εἶπεν, ὅτι «Οὐδεὶς ἀπώλετο ἐκ τῶν μαθητῶν μου, εἰ μὴ ὁ υἱὸς τῆς ἀπωλείας»[5]. Ἀπωλείας δὲ υἱὸν αὐτὸν εἶπε τῷ τὰ τῆς ἀπωλείας πεπραχέναι. Οὐ γάρ, ὅτε εἷς ἦν τῶν ἀποστόλων καὶ διηκόνει ἅμα ἐκείνοις τῷ Σωτῆρι, ἦν τοιοῦτος, ἀλλ' ὅτε προδότης γέγονε τοῦ Υἱοῦ τοῦ Θεοῦ καὶ Διδασκάλου, ἀγαπήσας τὰ τῆς ἀπωλείας ἀργύρια. Καὶ ὅτι οὐ κατὰ φύσιν ἦν κακός, ἅμα πᾶσι τοῖς μαθηταῖς ὧν ἤκουσεν· «Ἰδοὺ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων»[6]. Εἰ δὲ λύκους τοὺς ἁμαρτάνοντας λέγει, πρόβατα δὲ τοὺς πρακτικοὺς τῆς ἀρετῆς, εἴπερ ὁ Ἰούδας φύσει κακὸς ἦν, οὐκ ἦν πρόβατον Χριστοῦ· ἐπεὶ μὴ πρακτικὸς τῆς ἀρετῆς ὁ κατὰ φύσιν κακός. Ἀλλ' οὐδ' αὐτὸς ὁ διάβολος κατὰ φύσιν κακός, ἀλλ' ἐκ τροπῆς τοῦ ἰδίου αὐτεξουσίου.

Ε΄. Ὥσπερ οὖν οὐ τῶν φαύλων μόνον, ἀλλὰ καὶ τῶν σπουδαίων ἐπιτηδευμάτων καὶ πραττομένων, υἱοὶ καλοῦνται καὶ τέκνα οἱ ἐπιτελοῦντες τῷ προειρημένῳ τρόπῳ, καθ' ὃν ἐλέγετο γεννήματα ποιοτήτων εἶναι τοὺς λαμβάνοντας ὑπ' αὐτῶν τὸ εἶναι, ὅπερ ἔχουσιν ἐκ τῆς ποιότητος· εἰκότως σὰρξ ἁμαρτίας[7] καὶ σῶμα ἁμαρτίας[8], οὐ καθάπαξ λέγεταί τις, ἀλλὰ τῷ ὑπηρετεῖν τῇ ἁμαρτίᾳ. Ὁ γὰρ ἄνθρωπος τῷ σώματι καὶ τῇ σαρκὶ εἰς λαγνείαν καὶ τὰς ἄλλας τοιαύτας ἐνεργείας καταχρώμενος, ποιεῖ τὸ σῶμα αὐτοῦ ἁμαρτίας σῶμα· καὶ τὴν σάρκα, σάρκα ἁμαρτίας· ὥσπερ ὁ σπουδαῖος διὰ σωφροσύνης καὶ τῆς ἑπομένης ἀρετῆς, τὸ σῶμα ἑαυτοῦ καὶ τὴν ψυχὴν ἁγιάζει. Ἡ παρθένος γοῦν ἁγία γίνεται σώματι καὶ πνεύματι, ὅ ἐστι ψυχή, ὡς γράφει Παῦλος λέγων ὅτι τὴν παρθένον δεῖ ἀπερίσπαστον εἶναι τῶν βιοτικῶν πρα-

---

1. Λουκ. 10,5-8. 2. Λουκ. 16,8. 3. Ματθ. 5,14. 4. Ἱερ. 4,22. 5. Ἰω. 17,12. 6. Ματθ. 10,16. 7. Ρωμ. 8,3. 8. Ρωμ. 6,6.

γμάτων, «Ἵνα ᾖ ἁγία σώματι καὶ πνεύματι»[1]. Ἀλλὰ καὶ ἐν τῇ Ἐπιστολῇ τῇ Κορινθίων γράφει· «Δοξάσατε τὸν Θεὸν ἐν τῷ σώματι ὑμῶν»[2]. Εἰ δὲ δοξάζεται ὁ Θεὸς ἐν τῷ σώματι τῶν ἀνθρώπων, οὐ δοξάζεται δὲ Θεὸς ἐν κακῷ· οὐ κακὸν τὸ σῶμα τῇ φύσει, κἂν κακόν, αὐτὸ ποιεῖ ὁ ἁμαρτωλός, ἁμαρτητικῶς αὐτῷ χρώμενος. Καὶ μετ' ὀλίγον πάλιν τοῖς αὐτοῖς προσφωνεῖ· «Ἢ οὐκ οἴδατε, ὅτι τὰ σώματα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν Ἁγίου Πνεύματός ἐστιν, οὗ ἔχετε ἀπὸ Θεοῦ»[3]; Εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ Θεός· ὁ γὰρ ναὸς τοῦ Θεοῦ ἅγιός ἐστιν, οἵτινές ἐστε ὑμεῖς»[4].

Ϛ'. Ἀλλὰ καὶ ἐν τῇ πρὸς Θεσσαλονικέας ὁ αὐτὸς Ἀπό- **[1093]**
στολος γράφει· «Ὁ Θεὸς τῆς εἰρήνης ἁγιάσαι ὑμᾶς ὁλοτελεῖς καὶ ὁλόκληρον ὑμῶν τὸ Πνεῦμα καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα ἀμέμπτως ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ διατηρηθείη»[5]. Πῶς γὰρ ὁλοτελῶς ἁγιασθῆναι καὶ ὁλόκληρον ἔχειν τις τὸ σῶμα ἑαυτοῦ δύναται, εἰ τὸ σῶμα μὴ πέφυκεν, κακὸν ὄν, ἁγιάζεσθαι; Εἰ γὰρ κακὸν τῇ φύσει τοῦτο, οὐ δεκτικὸν ἁγιασμοῦ· εἰ δὲ δέχεται τὸ ἀγαθόν, δῆλον ὅτι οὐ φύσει κακόν, δεκτικὸν ὂν ἀγαθοῦ. Τὸ γὰρ τῇ φύσει κακόν, ἀνεπίδεκτον ἀγαθοῦ. Ὥσπερ τὸ φύσει ἀγαθόν, ἀνεπίδεκτον κακοῦ.

Γράφει ἐν ἑτέρᾳ Ἐπιστολῇ ὁ αὐτὸς Ἀπόστολος πρός τινας· «Καθαρίσωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἐπιτελοῦντες ἁγιωσύνην ἐν φόβῳ Θεοῦ»[6]· δεικνὺς καὶ διὰ ταύτης τῆς λέξεως, ὡς πέφυκε καὶ ἡ σὰρξ καθαίρεσθαι τῶν προσαπτομένων αὐτῇ ἐξ ἁμαρτίας μολυσμῶν. Ἀλλὰ καὶ τὸ πνεῦμα καὶ ἡ ψυχή· εἰ δὲ ἡ σὰρξ κατ' οὐσίαν ἦν κακὸν καὶ τὸ πνεῦμα κατ' οὐσίαν ἀγαθόν, οὐδ' ἂν τὸ πνεῦμα μολυσμὸν εἶχεν, οὔτε μὴν ἡ σὰρξ ἀπὸ μολυσμοῦ ἐκαθαίρετο. Προστάττει δὲ ἑκάτερα καθάραι ἀπὸ μολυσμοῦ, λέγων καὶ τὸν τρόπον τῆς καθάρσεως. «Ἐπιτελοῦντες γάρ, φησίν, ἁγιωσύνην ἐν φόβῳ Θεοῦ»[7]. Εὖ δὲ καὶ τὸ εἰπεῖν· «Ἐν φόβῳ Θεοῦ»· δεικνὺς τὸ ὑπήκοον ἔχειν ἐξ αὐτῶν καὶ οὐκ ἐξ ἀνάγκης. Εἰ δὲ ἐπιτελοῦντες ἁγιωσύνην ἐν φόβῳ Θεοῦ, καθαίρομεν τὴν ἑαυτῶν σάρκα ἀπὸ μολυσμοῦ καὶ τὸ πνεῦμα· δῆλον ὅτι ἐγγινομένης ἐν ἡμῖν τῆς ἁγιωσύνης τοῦτο γίνεται. Ὥσπερ γὰρ καθαίρεται ἀγνοίας ψυχὴ καὶ ἀδικημάτων παρουσίᾳ ἐπιστήμης καὶ δικαιοσύνης (ἡ γὰρ ἀποφυγὴ τῆς κακίας ἀρετῆς εἴσοδον ἐργάζεται ἐκ τοῦ ἐναντίου)· οὕτως παρουσίᾳ ἁγιασμοῦ καθαίρεται ἡ σὰρξ μολυσμοῦ καὶ τὸ πνεῦμα. Πνεῦμα δὲ ἐν τούτοις τὴν ψυχὴν λέγει, ὥσπερ καὶ ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων Στέφανος ὁ ἀπόστολος καταλευόμενος καὶ μέλλων ἀποθνήσκειν εἶπεν εὐχόμενος· «Κύριε Ἰησοῦ, δέξαι τὸ πνεῦμά μου»[8]. Οὐδὲ γὰρ ἄλλο τι ἐν τούτοις ἔλεγε τὸ πνεῦμα ἑαυτοῦ ἢ τὴν ψυχήν.

Εἰ οὖν διὰ πλειόνων ἡ σὰρξ καὶ τὸ πνεῦμα, ὁτὲ μὲν ἁμαρτίας,

---

1. Α' Κορ. 7,34. 2. Α' Κορ. 6,20. 3. Ἔνθ' ἀν. 6,19. 4. Α' Κορ. 3,17. 5. Α' Θεσ. 5,23. 6. Β' Κορ. 7,1. 7. Αὐτόθι. 8. Πράξ. 7,58.

ὁτὲ δὲ ἁγιασμοῦ καὶ πρὸς τὸ δοξάζειν τὸν Θεὸν ἔχοντα λέγεται· οὐδὲν τούτων φύσει κακὸν ἢ ἀγαθόν ἐστιν· ἀλλ' αὐτεξουσίως ἑκατέρων δεκτικόν· ἢ παρὰ τὴν χρῆσιν τοῦ ἔχοντος ἀνὰ μέρος δέχεται, ὁτὲ μὲν ἁμαρτίας εἶναι, ὁτὲ δὲ ἁγιασμοῦ; Εἰ δὲ καὶ τὸ ῥητὸν ἀγνοοῦντες, ἀφ' οὗ προφέρουσιν ἁμαρτίας εἶναι τὴν σάρκα, τοῦτο νομίζουσιν· ἀλλ' ἡμεῖς ὅλον αὐτὸ θέμενοι, τὴν διάνοιαν φανερὰν ποιήσομεν. Ἔχει δὲ οὕτως.

Ζ'. «Ὁ Θεὸς τὸν Υἱὸν ἑαυτοῦ πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, περὶ ἁμαρτίας κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί»[1]. Ὃ λέγει τοιοῦτόν ἐστιν. **[1096]** Ἡ πάντων ἀνθρώπων σὰρξ ἐκ συνδυασμοῦ ἔχει τὸ εἶναι, δίχα τοῦ πρωτοπλάστου καὶ οὗ ἀνέλαβεν ὁ Σωτήρ. Οὐκ ἂν γὰρ ἄλλως σῶμα ἀνθρώπου γένοιτο, μὴ ἐπιπλακέντος τῷ θήλει τοῦ ἄρρενος. Ἐπεὶ οὖν ὁ Σωτὴρ ἐκ μόνης τῆς Παρθένου ἔλαβε σῶμα, τὴν ἀρχὴν οὐκ ἔχον ἐκ συνουσίας, ὁμοίωμα τὴν σάρκα τὴν Κυριακὴν εἶπε τῆς σαρκὸς τῆς ἐκ συνουσίας. Οὐ γὰρ καθάπαξ εἶπεν, ὁμοίωμα σαρκὸς αὐτὸν ἔχειν, ἀλλ' ὁμοίωμα σαρκὸς ἁμαρτίας. Τὸ δὲ ὁμοίωμα τῆς σαρκὸς ἁμαρτίας, σάρξ ἐστιν, μόνῳ τούτῳ λειπομένη τῶν ἄλλων σαρκῶν, τὸ ἄνευ ἀνδρὸς ἐσχηκέναι τὴν ὕπαρξιν. Ἔδει γὰρ τὸν ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων ἐρχόμενον, μὴ ἐκ συνδυασμοῦ σῶμα λαβεῖν. Μηδ' αὖ ἔξωθεν τῆς τῶν ἀνθρώπων διαδοχῆς, ὥσπερ ὁ πρῶτος ἄνθρωπος, ἵνα μὴ ἑτερογενὲς αὐτοῦ νομισθῇ τὸ σῶμα. Εἰ γὰρ καὶ αὐτὸς ἐκ τῆς γῆς ἐπέπλαστο, ὡς ἀρχηγὸς τοῦ γένους τῶν ἀνθρώπων, ὑπόνοιαν ἐλάμβανον οἱ διὰ φαντασίας τὴν δόκησιν εἰσάγοντες, μήτε ἄρα οὐ κατὰ ἀλήθειαν ἔφερεν ἀνθρώπου σῶμα.

Η'. Πάλιν, εἰ ἐκ συνδυασμοῦ ἀνειλήφει σῶμα, οὐκ ἔχων τὸ παρηλλαγμένον, ἐνομίσθη ἂν καὶ αὐτὸς ὑπεύθυνος εἶναι ἐκείνῃ τῇ ἁμαρτίᾳ, ἥπερ καὶ οἱ ἐκ τοῦ Ἀδὰμ πάντες κατὰ διαδοχὴν ὑπῆρχον. Εἰ δὲ λέγοιεν, Εἰ σὰρξ ἁμαρτίας ἐστὶν ἡ ἐκ συνουσίας ἀνδρὸς καὶ γυναικὸς τεχθεῖσα, κακὸς ὁ γάμος· ἀκουέτωσαν, ὅτι πρὸ τῆς τοῦ Σωτῆρος ἐπιδημίας, τοῦ ἄραντος τὴν ἁμαρτίαν τοῦ κόσμου, ἅπαντες οἱ ἄνθρωποι, ὥσπερ τὰ ἄλλα μετὰ κακίας ἔπραττον, οὕτω καὶ τὸν γάμον ἁμαρτητικῶς εἶχον. Δι' ὃ τὰ ἐκ τοῦ γάμου γεννώμενα σώματα νοητέον. Καὶ οὕτως, ἐπεὶ μετὰ τὴν ἁμαρτίαν ἡ σύνοδος γέγονε τοῦ Ἀδὰμ καὶ τῆς Εὔας, διὰ τοῦτο σὰρξ ἁμαρτίας εἴρηται. Ἄφθαρτος γὰρ ὢν πρὸ τῆς παραβάσεως, φθαρτὸς γεγένηται παραβάς· καὶ οὕτως ἡ διαδοχὴ τὸ φθαρτὸν ἔχει. Ὁμοίωμα οὖν τῆς σαρκὸς ταύτης εἶχεν ὁ Σωτήρ, εἰ καὶ μὴ εἶδεν ἡ σὰρξ αὐτοῦ διαφθοράν[2]. Ἀλλ' ἐπιδημήσαντος τοῦ Σωτῆρος, ὡς ἀπὸ τῶν ἄλλων πραγμάτων ἀφαίρεσις ἁμαρτίας γέγονεν, οὕτω καὶ ἀπὸ τοῦ γάμου. Νῦν γοῦν οἱ κατὰ τὸ Εὐαγγέλιον βιοῦντες ἔχειν δύνανται τίμιον γάμον καὶ κοίτην ἀμίαντον, ὡς γράφει Παῦλος τοῖς πιστοῖς· «Τίμιος ὁ γάμος καὶ ἡ κοίτη ἀμίαντος· πόρνους δὲ καὶ

1. Ρωμ. 8,3. 2. Ψαλ. 15,10.

μοιχοὺς κρινεῖ ὁ Θεός»[1]. Διαστέλλων γὰρ τὸν τίμιον γάμον καὶ τοὺς χρωμένους αὐτῷ ἀπὸ πόρνων καὶ μοιχῶν οὐ πορνείαν οὐδὲ μοιχείαν τοῦτον βούλεται εἶναι· ὅθεν οὐδὲ ἁμαρτία ὁ γάμος.

Θ'. Καὶ ἑτέρως δὲ φυσικώτερον λεχθήσεται. Ἡ παρθενία θεῖόν τι χρῆμα τυγχάνει καὶ ὡς ἐν ἀρεταῖς ὑπάρχει. Εἴ τις οὖν συγκρίνων ταύτῃ τὸν γάμον, λέγοι αὐτὸν ἁμαρτίαν εἶναι, οὐκ ἀπολελυμένως ἁμαρτία ἐστίν. Τὸ γὰρ κακὸν οὐ συγκρίσει τοῦ ἀγαθοῦ κα**[1097]**κόν ἐστι, καθ' ἑαυτὸ ὂν τοιοῦτο. Εἴ ποτε γοῦν ὡς πρὸς ἀγαθὸν λέγοι τό τι κακὸν καὶ αὐτὸ ἀγαθὸν εἴη, ὑποδεέστερον τοῦ προκρινομένου αὐτοῦ ἀγαθοῦ. Οἱ τοίνυν τῷ Εὐαγγελίῳ προσερχόμενοι, προηγουμένως προσέρχονται αὐτῷ ἐπὶ τῷ θεοσεβεῖν καὶ κατὰ Θεὸν γενέσθαι σοφοί. Οὗτοι ἑπομένως ἔχουσι τὸ πολεμεῖσθαι ὑπό τινων· καὶ γὰρ δεῖ τούτους βεβαίως ἀναλαβεῖν τὸν Χριστιανισμόν. Προσγίνεται δὲ ἡ βεβαιότης ἐκ τῆς κατὰ τοὺς πειρασμοὺς γυμνασίας. Ὅθεν ἀνάγκη ἀγῶνας αὐτοὺς ὑπομένειν. Καὶ ὥσπερ οἱ ἀγωνοθετοῦντες, εἰ τοῦ εὐλόγου φροντίζοιεν, οὐχ ὡς ἔτυχε τόνδε μετὰ τοῦδε συμβάλλουσιν ἀθλητήν, ἀλλὰ σὺν ἀκριβείᾳ πολλῇ εἰς τὴν ἀναλογίαν τῆς ἑκάστου δυνάμεως σκοποῦντες· οὕτως καὶ ὁ ἡμέτερος ἀθλοθέτης Χριστὸς οὐ πάντας τοῖς αὐτοῖς ἀνταγωνισταῖς συζεύγνυσιν, ἀλλὰ κατὰ τὴν ἡλικίαν καὶ τὴν δύναμιν ἑκάστου τὸν ἀντίπαλον δίδωσιν. Κορινθίοις γοῦν, νηπίοις οὖσιν ἔτι, τῶν παθημάτων τῆς σαρκὸς περιέχεσθαι[2] Παῦλος γράφει· «Πειρασμὸς ὑμᾶς οὐκ εἴληφεν, εἰ μὴ ἀνθρώπινος»[3]. Οἱ γὰρ πειρασμοὶ τούτων καὶ οἱ ἀγῶνες πρὸς τὰ ἀνθρώπινα πράγματα τὴν ἀναφορὰν ἔχουσι. Περὶ ἑαυτοῦ δὲ καὶ τῶν παραπλησίων ἰσορρόπων τε καὶ ἰσοσθενῶν γράφων φησίν· «Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας καὶ τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου»[4]· μονονουχὶ τοῦτο λέγων· Ἡμῖν τοῖς ὑπεραναβεβηκόσιν οὐκέτι πρὸς αἷμα καὶ σάρκα, τοῦτ' ἔστιν ἀνθρώπινα, ἡ πάλη ἀλλὰ πρὸς τὰ ὑπεραναβεβηκότα τάγματα τῶν ἀντιπάλων· εἰσὶ δὲ ταῦτα εἴδη λογικῶν, πονηρῶν γενομένων προαιρετικῶς.

Ι'. Μηδεὶς δὲ ὑπολάβῃ, ὅτι εἴδη λογικῶν πονηρῶν εἰρηκότες, οὐσίαν πονηρὰν λέγομεν. Ἔστι γὰρ εἴδη καὶ γένη καὶ τῶν προαιρετικῶν ὑπαρχόντων. Λέγομεν γοῦν εἴδη σπουδαίου εἶναι, δίκαιον, σώφρονα, φρόνιμον. Ἐπεὶ γὰρ ἡ ἀρετὴ γένος εἰς εἴδη μεριζομένη, εἰς δικαιοσύνην, σωφροσύνην καὶ τὰ λοιπά, ἀνάγκη τὸν τοῦ γένους μετέχοντα, σπουδαῖον ὄντα, ὡσανεὶ γένος εἶναι τῶν μετεχόντων τῶν κατ' εἶδος ἀρετῶν· ὡσαύτως καὶ τῆς ἐπιστήμης γένους οὔσης, γραμματικῆς, μουσικῆς καὶ τῶν λοιπῶν, τὸν παρονομαζόμενον ἀπὸ τοῦ γένους ἐπιστήμονα, γένος εἶναι τῶν παρονομαζομένων ἀπὸ τῶν τῆς ἐπιστήμης εἰδῶν φαμεν. Κἂν τοίνυν πονηρῶν λογικῶν εἴδη λέγωμεν,

---

1. Ἑβρ. 13,4. 2. Α' Κορ. 3,2. 3. Α' Κορ. 10,13. 4. Ἐφ. 6,12.

προαιρετικῶς πάντας τοὺς ὑπὸ τὰ εἴδη ταῦτα λέγομεν εἶναι τοιούτους. Ἀμέλει γοῦν τὰ ὀνόματα τὰ προειρημένα πονηρά, οὐκ οὐσιῶν, ἀλλὰ προαιρετικῶν ἐστιν ἐμφανιστικά.

ΙΑ'. Τὸ γὰρ διάβολος ὄνομα, οὐκ οὐσίαν, ἀλλὰ προαίρεσιν δηλοῖ. Αὐτίκα γοῦν καὶ τὸν Ἰούδαν, ἄνθρωπον **[1100]** ὄντα, διάβολον ὁ Κύριος, οὐ διὰ τὴν οὐσίαν, ἀλλὰ διὰ τὴν προαίρεσιν ὠνόμασε, λέγων πρὸς πάντας ἅμα τοὺς μαθητάς, συναρθμῶν καὶ τὸν Ἰούδαν ἐν αὐτοῖς· «Οὐχὶ τοὺς δώδεκα ὑμᾶς ἐξελεξάμην καὶ εἷς ἐξ ὑμῶν διάβολός ἐστιν;»[1]. Ὃ ἐπιφέρει συγγραφεύς· «Τοῦτο δὲ εἶπεν περὶ Ἰούδα τοῦ μέλλοντος προδιδόναι αὐτόν»[2]. Εἰ γὰρ διὰ τὴν μέλλουσαν προδοσίαν διάβολος εἴρηται, οὐ τότε διάβολος ἦν, ὅτε ἅμα πᾶσιν ἐκλογῆς ἔτυχεν. Ἐκλεκτὸς μὲν γὰρ ἅμα πᾶσι γέγονε, διὰ τὴν προσοῦσαν αὐτῷ τότε ἀρετήν· διάβολος δὲ τότε ἐχρημάτισεν, ὅτε τὰ τῆς προδοσίας εἰργάσατο. Εἰ τοίνυν ἐπὶ τοῦ Ἰούδα τὸ διάβολος ὄνομα πράξεως προαιρετικῆς δηλωτικόν ἐστιν, οὕτως κἂν ἐπ' ἄλλου τινὸς ἡ φωνὴ λέγοιτο, προαιρετικόν τι σημαίνει. Οἶδε δὲ καὶ ἡ συνήθεια τὴν χρῆσιν τοῦ ὀνόματος τούτου. Διαβόλους γοῦν καλοῦμεν τοὺς κατηγοροῦντας τούσδε τοῖσδε, κἀκείνους τούτοις. Ἐπεὶ οὖν καὶ ὁ διάβολος Θεὸν ἀνθρώποις διαβάλλει καὶ ἀνθρώπους Θεῷ καὶ αὐτοὺς τοὺς ἀνθρώπους ἀλλήλοις, ταύτης ἔτυχε τῆς ὀνομασίας. Εἰ δὲ καὶ τὸ σατανᾶς ὄνομα κατηγοροῖτο αὐτοῦ τοῦ διαβόλου, ἴστωσαν, ὅτι καὶ αὐτὸ τοῦτο προαιρετικοῦ τινός ἐστι δηλωτικόν. Ἑβραϊκὴ γὰρ οὖσα ἡ φωνή, οὐχ ἕτερόν τι σημαίνει καθ' Ἑλλάδα φωνὴν ἢ τὸ ἀντικείμενον· τὸ δὲ ἀντικείμενον ἐπ' ἀνθρώπου λαμβανόμενον, ἴσον ἐστὶ τῷ ἐχθρός, βλαβερός. Ὡς οὖν ὁ ἐχθρὸς προαιρέσει ἐστὶ τοιοῦτος, οὕτως καὶ ὁ ἀντικείμενος· ὥσπερ καὶ τὰ τούτων ἐναντία· τὸ γὰρ φίλος καὶ εὐνοῶν καὶ ὁμονοῶν καὶ ὁμοφρονῶν ὀνόματα προαιρέσεών ἐστι δηλωτικά. Λέγεται γὰρ αὐτὸς οὗτος φίλος καὶ εὐνοῶν, ὥσπερ διάβολος καὶ σατανᾶς καὶ πονηρός. Ὡς ἐν Εὐαγγελίῳ ὁ Σωτὴρ πρὸς ἑτέροις καὶ τοῦτο λέγειν διδάσκει ἐν τῇ εὐχῇ τοὺς μαθητάς· «Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ»[3]. Καὶ γὰρ καὶ τὸ τοῦ πονηροῦ ὄνομα προαιρέσεώς ἐστι δηλωτικόν.

ΙΒ'. Εἰ τοίνυν διὰ πάντων, ὧν σημαίνει, ὁ ἀρχέκακος καὶ πρῶτος ἀποστάτης τῆς ἀρετῆς προαιρετικῶς ἐστι τοιοῦτος, οὐ δύναται κατ' οὐσίαν εἶναι κακός· εἰ δὲ λέγοιεν τοῦτο, ὅτι τῇ οὐσίᾳ κακὸς ἂν ἔτυχε καὶ τὰ προαιρετικά, δι' ἃ οὕτως ὠνόμασται· ἴστωσαν, ὅτι ἐν τοῖς οὐσιωδέσιν οὐ παραλαμβάνεται προαίρεσις. Οὐδεὶς γὰρ λέγει προαιρετικῶς ζῷον εἶναι ἢ λίθον· ταῦτα γὰρ οὐσιώδη. Ὅθεν οὐδὲ προαιρετικόν τι· ἐν ἐκείνοις γὰρ τὰ προαιρετικά, ἐν οἷς καὶ ἡ προαίρεσις.

Ἀλλ' ἴσως ἐροῦσιν· Διὰ τί τὸν οὕτω μέλλοντα ἔσεσθαι βλαβερὸν ἢ λυμεῶνα εἰς τὸ εἶναι ἤγαγεν ὁ ἀγαθὸς Θεός; Ἴστωσαν δὲ

---

1. Ἰω. 6,71. 2. Ἰω. 6,72. 3. Ματθ. 6,13. Λουκ. 11,4.

τοῦτο λέγοντες, ὅτι οὐχ ἡμῖν μόνοις, ἀλλὰ καὶ πᾶσι τοῖς τιθεμένοις πρόνοιαν ἀντιπίπτουσιν. Πολλοὶ γὰρ καὶ ἄλλοι τιθέμενοι πρόνοιαν ἐκ Θεοῦ λέγουσιν εἶναι πάντα τὰ λογικὰ ζῷα, ἐν οἷς φύεται καὶ ἡ κακία. Εἰ οὖν περὶ τοῦ διαβόλου ταῦτα **[1101]** λέγουσιν καὶ περὶ πάντων τῶν λογικῶν ἀναγκάζονται εἰπεῖν τοῦτο. Ὅμως δὲ ἡμεῖς οὐκ ἐκείνους μιμούμενοί φαμεν· Οὐ κακίας αἴτιος ὁ ποιήσας τὸ δυνάμενον ἐξ ἰδίας ροπῆς εἰς κακίαν ἐλθεῖν. Λογικὸν γὰρ κατεσκεύασε ζῷον, ὃ ἐβούλετο εἶναι ἀπὸ τῆς ἑαυτοῦ προαιρέσεως ἀγαθόν, ἔχον εἰς ἑκάτερα ῥέπειν τὸ αὐτεξούσιον. Ἀγαθὸν γὰρ αὐτὸν ἐβούλετο εἶναι, ἑκουσίως αἱρούμενον τὸ ἀγαθόν. Οὐδεὶς γὰρ γενητῶν ἄκων ἀγαθὸς εἶναι δύναται· ἀλλὰ πάντες οἱ ὄντες ἀγαθοὶ ἑκουσίως εἰσὶ τοιοῦτοι. Ἔδει τοίνυν τὸν προαιρέσει τῇ ἑαυτοῦ ἀγαθὸν ἐσόμενον, δύναμιν ἔχειν τὴν αὐτὴν τῇ ἐπιτηδειότητι πρὸς ἀνάληψιν τοῦ ἀγαθοῦ. Εἵπετο δὲ τὸ δεκτικὸν τοῦ ἀγαθοῦ καὶ κακοῦ δεκτικὸν εἶναι· οὕτω κατεσκευασμένῳ τῷ λογικῷ, πρὸς ἀρετὴν καὶ κακίαν δύναμιν ἔχειν, ἐντολὴ δέδοται ὅπως τὴν μὲν ἀρετὴν κατ' ἐνέργειαν, τὴν δὲ κακίαν κατ' ἐπιτηδειότητα μόνην ἔχει. Ὁ γὰρ τοῦ δημιουργήσαντος νόμος προτρέπει καὶ ἀλείφει καὶ συνεργεῖ πρὸς ἀρετήν, ἀποτρέπων τὴν φύσιν τῆς κακίας. Κἂν τοίνυν ἐνυπάρχῃ δύναμις κακίας ἐν τῷ λογικῷ, οὐ διὰ τὴν δύναμιν φαῦλον τοῦτο. Ἀμφοτέρων γάρ, ἀρετῆς καὶ κακίας λέγω, αἱ δυνάμεις καὶ προαιρέσεις. Αἱρούμεθα γὰρ ἀρετῆς ἔχειν δύναμιν, ἵνα καὶ ἀναλαβεῖν κατ' ἐνέργειαν δυνώμεθα· αἱρούμεθα καὶ κακίας ἔχειν δύναμιν. Τότε γὰρ αὐτὴν ἔχομεν, ὅταν ἐν ἐνεργείᾳ τὴν ἀρετὴν ἔχωμεν. Καὶ οὐχ ἡμῶν μόνων ἡ δόξα αὕτη, ἀλλὰ καὶ πάντων ὀρθῶς περὶ τῶν λογικῶν ζῴων φιλοσοφησάντων.

ΙΓ'. Κἂν τοίνυν τὴν οὐσίαν τὴν καλουμένην διάβολον ὁ Θεὸς ἐποίησεν, οὐχὶ διάβολον αὐτὴν ἐδημιούργησεν, ἀλλὰ δεκτικὴν ἀρετῆς, ἵνα ταύτην ἔχῃ· καὶ δεκτικὴν κακίας, ἵνα ταύτης ἀπέχηται. Ἐπεὶ γὰρ ἀσυνάρπακτος ἡ ἀρετὴ τῇ κακίᾳ, φίλη δὲ τῷ Θεῷ ἡ ἀρετή, ἀμφοτέρων τὰς δυνάμεις ἐνιεὶς τῷ λογικῷ διὰ τοῦτο ἐνῆκεν αὐτάς, ἵνα τὴν μὲν εἰς ἐνέργειαν μεταλάβωμεν, τῆς δὲ ἑτέρας δυνάμεως τοῦ τέλους, ὅπερ ἐστὶν ἡ ἐνέργεια, ἀπεχώμεθα. Ὥστε γέγονε πᾶν λογικὸν ἐπὶ τῷ σπουδαῖον εἶναι καὶ μὴ φαῦλον. Εἴ τινα οὖν τῶν λογικῶν τὴν ἐναντίαν δεδράμηκε τῷ πεποιηκότι καὶ προνοουμένῳ, οὐ τοῦ ποιήσαντος καὶ νομοθετήσαντος ἡ αἰτία, ἀλλὰ τῶν ἀντιτεινάντων πρὸς τοὺς δοθέντας καὶ πρὸς τοὺς προνοουμένους νόμους.

Ὁρῶμεν γοῦν καὶ εἰς ἡμᾶς αὐτούς, ἀεὶ ταῦτα γινόμενα, ἃ παιδεύομεν τὰ τέκνα, κατ' ἐπιστήμην αὐτὰ ἀνάγειν βουλόμενοι, ἵνα καὶ ταύτην ἐνεργῶσιν· οὐ πάντως δὲ οὕτως ἐνεργοῦσιν, ὡς ἐδιδάχθησαν· ἀλλ' ἔστιν ὅτε ἐναντίως πολλοὶ υἱοὶ παρὰ πατέρων ἰατροὶ ἀνατραφέντες, οὐ δεόντως χρῶνται τῇ ἰατρικῇ, τὰ νοσοποιὰ ἀντὶ τῶν ὑγιεινῶν τοῖς κακουμένοις προσάγοντες· καὶ οὐ δήπου ἡ ἰατρικὴ ἢ ὁ ταύτην παι**[1104]**δεύσας αἴτιος. Οὐ γὰρ οὕτως ἐδίδαξεν, ἵν' οὕτως ποιῇ.

Πράττει γὰρ οὐχ ὡς ἔμαθε ποιεῖν. Πάλιν νόμοις παιδεύομέν τινας, ἵνα συνιστῶνται τῷ δικαίῳ καὶ τὴν ἀδικίαν παραιτῶνται. Ἀλλὰ κακοήθως ἔνιοι αὐτῶν τοῖς νόμοις προσιόντων, τὸ ἀνάπαλιν ποιοῦσιν. Καὶ οὔτε τὸν νόμον οὔτε τὸν νομοθέτην αἰτιώμεθα. Εἰ γὰρ αὐτοὶ τῆς ἀδικίας αἴτιοι ἦσαν, οὐκ ἂν ἐκόλαζον τοὺς ἀδίκους. Καὶ γὰρ καὶ τοῦτο τοῦ βουλήματος αὐτῶν ὑπάρχει. Τὸ κολαστέον τὸν ἄδικον εἶναι· καὶ ὁ Θεὸς κολάζει τὸν σατανᾶν καὶ τοὺς παραβάντας τοὺς ἀπὸ Θεοῦ τεθέντας νόμους. Τισὶ γὰρ φαύλοις λέγει· «Ὑπάγετε εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ»[1].

ΙΔ'. Ἵστωσαν τοίνυν οἱ τούτοις ἀντιλέγοντες, μαχόμενα ἑαυτοῖς λέγοντες. Εἰ γὰρ κατ' οὐσίαν κακὸς ἦν ὁ διάβολος καὶ ἀλλότριος τοῦ ἀγαθοῦ Θεοῦ, δυνάμενος αὐτῷ ἰσοσθενὴς εἶναι· οὐδὲ κόλασιν ἡτοίμαζεν αὐτῷ, οὐδὲ βάλλειν αὐτὸν εἰς τὴν κόλασιν ἠδύνατο· λέγει δὲ ἡτοιμάσθαι πῦρ τῷ διαβόλῳ. Καὶ τοῦτο δὲ ῥητέον· Εἰ ἄτρεπτος ὁ ἀγαθὸς Θεός ἐστιν, ὥσπερ οὖν καί ἐστι καὶ ἀεὶ τὴν αὐτὴν ἔχει δύναμιν, ὡς μὴ ἄλλοτε ἄλλως ἰσχύειν καὶ ἄλλοτε ἄλλως· ἔμελλε δὲ μετὰ πολλὴν βλάβην καὶ ἀπώλειαν πολλήν, πυρὶ αἰωνίῳ παραδιδόναι τὸν σατανᾶν, δ ἀ τί μὴ ἐξ ἀρχῆς τοῦτο ἐποίει, ὅτε ἐπανῆλθεν αὐτῷ, καὶ μέρος ἔλαβεν αὐτοῦ; Δικαιότερον γὰρ τότε μᾶλλον τιμωρίαν ὥριζε κατ' αὐτοῦ ὡς κατὰ μείζονος πλημμεληθέντος. Νῦν μὲν γὰρ ἀνθρώπους βλάπτει· τότε κατ' αὐτοὺς αὐτὴν ἔβλεψε τὴν θεότητα, ὥσπερ καὶ φρονοῦσιν. Νόμος δὲ καὶ ἀγανάκτησις δικαία ἐστὶ μᾶλλον ἢ κατὰ τῶν κατὰ βασιλέως τολμώντων ἢ τινων τῶν ὑπηκόων. Εἰ γὰρ ταῦτα οὕτως φρονητέα ἢ ἄγνοιαν προσάψουσι τῷ Θεῷ τότε, τοῦ πῶς τιμωρήσεται καὶ ἐμποδίσῃ τὸ κακὸν ἢ ἀδυναμίαν. Ἀλλ' οὐδέτερον τούτων περὶ τὸν ἀγαθὸν Θεόν· οὐκ ἄρα ἀγενήτως ἐχθρὸς ἂν Θεοῦ ἐπανέβη κατ' αὐτοῦ· ἀλλὰ γενόμενος ἐπὶ τῷ εἶναι ἀγαθός, τὴν μὲν δύναμιν τῆς ἀρετῆς ἀτελῆ ἐφύλαξεν, τὴν δὲ τῆς κακίας ἐπιτηδειότητα εἰς ἐνέργειαν ἤγαγεν· δι' ὃ καὶ κολαστέος καὶ εἰκότως μετὰ πολὺ τιμωρίᾳ ὑπεβλήθη.

ΙΕ'. Εἰ δὲ κἀκεῖνο προφέροιντο, τὸ λεχθὲν ὑπὸ τοῦ Βαπτιστοῦ Ἰωάννου τοῖς μεθ' ὑποκρίσεως εἰς τὸ βάπτισμα ἐλθοῦσιν, οὕτως ἔχον· «Ὄφεις, γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; Ποιήσατε οὖν καρπὸν ἄξιον τῆς μετανοίας καὶ μὴ δόξητε λέγειν ἐν ἑαυτοῖς, ὅτι πατέρα ἔχομεν τὸν Ἀβραάμ. Δύναται γὰρ ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ. Ἤδη δὲ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται. Πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται»[2]. Ἀκουέτωσαν ὅτι οὐ δύνανται προφέρειν, ἀφ' ὧν μὴ παραδέχονται. **[1105]** Οὐ γὰρ δέχονται τὸν Βαπτιστὴν Ἰωάννην, τυγχάνοντα ἕνα τῆς Παλαιᾶς Γραφῆς. Ὅμως δὲ καὶ οὕτως ῥητέον πρὸς αὐτούς· Διὰ πάσης τῆς

1. Ματθ. 25,41. 2. Ματθ. 3,7-10. Λουκ. 3,7-9.

συμφράσεως ἀναιρεῖ τὸ φύσει ἀγαθοὺς καὶ φύσει εἶναι κακούς. Λέγει γὰρ πρὸς αὐτούς· Ποιήσατε οὖν καρπὸν ἄξιον τῆς μετανοίας. Μετάνοια δὲ καὶ καρπὸς αὐτῆς οὐ πίπτει, οὔτε πρὸς τὸν κατ' οὐσίαν κακὸν οὔτε πρὸς τὸν φύσει ἀγαθὸν ὄντα. Πῶς γὰρ ὁ ἀεὶ ἀγαθὸς χρήζει μετανοίας; Ἢ πῶς ὁ φύσει κακὸς χρήσηται τῷ ἀγαθῷ τῆς μετανοίας; Ὁ γὰρ κατ' οὐσίαν ὢν κακὸς ἐκτραπῆναι τῆς ἁμαρτίας οὐ δύναται· ἀλλ' οὐδὲ ἐπ' ὠφελείᾳ μετάνοια γίνεται τοῦ ἀγαθοῦ. Ἔτι μὴν καὶ ἐκ τῶν λίθων τῶν δεικνυμένων ὑπ' αὐτοῦ λέγει τέκνα ἐγερθήσεσθαι τῷ Ἀβραάμ· λίθους δὲ λέγων τοὺς ἠλιθίους καὶ ἔτι ἐμμένοντας τῇ κακίᾳ ἀνθρώπους. Εἰ γὰρ μετανοήσαιεν οὗτοι καὶ πιστεύσαιεν τῷ Θεῷ, τέκνα τοῦ Ἀβραὰμ ἔσονται, ὃς διὰ τοῦτο ἄνθρωπος Θεοῦ ἐχρημάτισεν, ὅτι ἐπίστευσεν εἰς αὐτὸν τὸν Θεόν, ὡς τὴν πίστιν αὐτοῦ εἰς δικαιοσύνην λογισθῆναι[1].

ΙΕ'. Ἐπεὶ δὲ κἀκεῖνο ἠκούσαμεν λεγόμενον ὑπ' αὐτῶν πρὸς τοὺς ἐκ τοῦ Ἀβραὰμ καὶ τῶν ἄλλων ἁγίων ἀνδρῶν γεγεννημένους, τό, «Ὄφεις, γεννήματα ἐχιδνῶν», λεγόμενον, ἐχίδνας τοὺς ἀμφὶ τὸν Ἀβραὰμ δηλοῖ· ἵστωσαν μαχόμενα τῇ ἀκολουθίᾳ τοῦ κεφαλαίου λέγοντες. Ἐλέγχει γὰρ αὐτούς, ὡς μὴ τοῦ Ἀβραὰμ ὄντας, ἀλλ' ἐχιδνῶν γεννήματα, προσποιουμένους καὶ μάτην εὐχοῦντας εἶναι τοῦ Ἀβραάμ. Λέγει γὰρ ἐν ἑτέρῳ κεφαλαίῳ ὁ Σωτὴρ πρὸς αὐτούς· Τοῦτο Ἀβραὰμ οὐκ ἐποίησεν (ὃν λέγετε πατέρα ὑμῶν εἶναι ψευδόμενοι). «Εἰ γὰρ τέκνα ἦτε τοῦ Ἀβραάμ, ἐποιεῖτε ἂν τοῦ Ἀβραὰμ τὰ ἔργα. Ἀλλ' ὑμεῖς ἐκ τοῦ πατρὸς ὑμῶν ἐστε τοῦ διαβόλου καὶ τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν. Ἐκεῖνος γὰρ ἀνθρωποκτόνος ἐστὶν ἀπ' ἀρχῆς καὶ ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκεν»[2]. Εὖ δὲ καὶ τὸ εἰπεῖν· Οὐχ ἕστηκε δεικνὺς αὐτὸν πρότερον ἱστάμενον ἐν τῇ ἀληθείᾳ. Πατέρα δὲ αὐτῶν λέγει τὸν διάβολον διὰ τὴν ὁμοίωσιν τῆς τροπῆς καὶ τῆς ποιότητος. Ὥστε οὐ τὸν Ἀβραὰμ καὶ τοὺς σὺν αὐτῷ ἁγίους ἐχίδνας εἶπεν. Ἐκ μεταβολῆς γὰρ ἔσχον τοῦτο, τὸ υἱοὶ ἐχιδνῶν εἶναι, διὰ τὸ αὐτοὺς πονηροῖς κεχρῆσθαι διδασκάλοις, ὡς εἴρηται, κατὰ ἰδίαν προαίρεσιν. Λέγει τοίνυν ὁ Ἰωάννης αὐτοῖς· Ἐπεὶ κατὰ μεταβολὴν τὴν ἐξ ἀρετῆς ὅφεις ἠθελήσατε γενέσθαι (οὐδὲ γὰρ κατ' οὐσίαν ἦσαν τοιοῦτοι), παύσασθε τοῦ εἶναι ἐχιδνῶν γεννήματα, ὧν ἐθελήσατε τὴν ποιότητα ἔχειν. Πονηροὶ γὰρ ἐκ πονηρῶν καὶ ἄδικοι ἐξ ἀδίκων ἐσπουδάσατε εἶναι. Ἀλλ' ἐπεί, διὰ τὸ ἐπὶ τὸ βάπτισμα ἔρχεσθαι, μετανοίας λέγετε σημεῖον φέρειν, προσποιητῶς δὲ τοῦτο ποιεῖτε, λέγω ὑμῖν· Τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; Ὁ γὰρ μετανοῶν, διὰ τοῦτο μετανοεῖ, ἵνα μηκέτι ἁμαρτάνων φεύγῃ τὴν ἐσομέ**[1108]**νην κατὰ τῶν ἁμαρτανόντων ὀργήν. Πυνθάνεται δὲ τό, «Τίς ὑμῖν ὑπέδειξεν;» ἵνα εἴπῃ ὁ γνησίως ὑποδεικνὺς κακίας ἀναχωρεῖν, οὐ προσποιήσει τοῦτο γίνεσθαι. Ὑμεῖς δὲ τοῦτο ποιεῖτε μεθ' ὑποκρί-

---

1. Ρωμ. 4,3. 2. Ἰω. 8,39-44.

σεως ἐπὶ τὸ βαπτίζεσθαι ἐρχόμενοι. Οὐκ ἄρα καθαρθήσεσθε. Ὁ γὰρ ἀληθῶς καθαρθῆναι βουλόμενος ἀφίσταται ἁμαρτημάτων καὶ τῆς τοιαύτης μετανοίας καρπὸν φέρει τὰ τῆς ἐναντίας τῇ ἁμαρτίᾳ ἕξεως ἔργα ποιῶν. Ἀλλὰ τοῦτο μὲν ὑμεῖς οὐ πεποιήκατε, ἑαυτοὺς κατακρίναντες, φάσκοντες πατέρα τὸν Ἀβραὰμ ἔχειν. Ἀλλ' οὐ τοῦθ' ὑμᾶς ὠφελήσει τὸ οἴεσθαι τέκνα τοῦ Ἀβραὰμ εἶναι, ἀλλὰ τὸ εἶναι αὐτοῦ τέκνα καὶ τῇ πίστει καὶ τῇ ἀπὸ εἰδώλων φυγῇ. Κἂν τοίνυν ποτὲ τέκνα τοῦ Ἀβραὰμ γεγόνατε, οὐ τοῦτο ὑμᾶς σώσει. Καὶ γὰρ τοὺς νῦν μὴ ὄντας αὐτοῦ τέκνα δύναται ὁ Θεὸς τέκνα αὐτοῦ ποιῆσαι. Ὥστε σῴζεται ὁ ὢν τοῦ Ἀβραὰμ τέκνον κατὰ τὴν ἀρετήν, οὐχ ὁ γενόμενος αὐτοῦ τέκνον κατὰ σάρκα μόνον, κἂν δὲ γένηται, μὴ μέγα φρονείτω· μετάπτωτον γὰρ τὸ τοιοῦτο. Ἀμέλει γοῦν καὶ οἱ μὴ ἔχοντες αὐτὸ κτήσασθαι αὐτὸ δυνήσονται. Καὶ γὰρ ὁ Παῦλος, οὓς τῇ σαρκὶ οὐ γεγέννηκεν, λέγει· «Ἐν γὰρ Χριστῷ διὰ τοῦ Εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα»[1].

ΙΖ'. Ἀλλὰ ταῦτ' ἀκούοντες μὴ καταφρονεῖτε, ὡς βραδυνούσης τῆς κατὰ τῶν ἁμαρτανόντων ὀργῆς. Ἤδη γὰρ δι' αὐτοῦ τοῦ ἁμαρτάνειν ὁ φαῦλος παροῦσαν ἔχει τὴν κόλασιν, κολαστέος ὑπάρχων. Δι' ὃ ἴστε τὴν ἀξίνην ἤδη ταῖς ῥίζαις ἐγγίζουσαν τῶν δένδρων. Δένδρα δὲ οὐκ αἰσθητὰ λέγει, ἀλλ' ἀνθρώπους κατὰ κακίαν πεποιημένους. Ῥίζα δὲ τῶν δένδρων τούτων ἡ χειρίστη ἕξις, ἀφ' ἧς καρπὸς οὐκ ἐδώδιμος, ἀλλὰ δηλητήριος γίνεται. Αὐτὸν οὖν οὐ καλὸν καρπὸν εἶπεν. Κἂν τοίνυν ἡ ἀξίνη τὴν κόλασιν σημαίνει, τὸ δὲ κακὸν δένδρον τὸν ἁμαρτάνοντα ἄνθρωπον, οὐ μαχόμεναι φύσεις αὗται· ἀπειλεῖται γὰρ ἡ κόλασις ἐπὶ τῷ μεταβαλεῖν τὰ δένδρα. Ὁ γὰρ ἀπειλῶν τοῖς ἁμαρτάνουσι δι' αὐτῆς τῆς ἀπειλῆς μεταποιῆσαι βούλεται. Εἰ τοίνυν διὰ τῆς ἀπειλῆς τῆς ἀξίνης τῆς μελλούσης ἐκκόπτειν τὰ σαπρὰ δένδρα πείθει αὐτοὺς παύσασθαι τοῦ μὴ κακὸν καρπὸν φέρειν, ἀλλὰ καλόν· οὐ φύσει κακὸν τὸ δένδρον, οὐδὲ φύσει κακὴ ἡ κόλασις.

ΙΗ'. Ἀλλ' ἴσως ἐροῦσιν· Εἰ μεταποιεῖ φαύλους ἡ κόλασις, ἀγαθὸν αὐτὴν εἶναι· εἰ δὲ ἡ κόλασις ἀγαθόν, ἐναντία δὲ ταύτῃ ἡ ἐπαγγελία, τὰ δὲ ἐναντία οὐ δύνανται ἅμα ἀγαθὰ εἶναι· ἡ ἄρα ἐπαγγελία κακόν. Μὴ κακοῦ δὲ τῆς ἐπαγγελίας, ἀλλ' ἀγαθοῦ οὔσης, ἡ κόλασίς ἐστι κακόν. Εἰ δὲ κακὸν ἡ κόλασις, οὐχ ὁ Θεός, ἀλλ' ὁ Σατανᾶς αὐτὴν ἐπιφέρει. Ἐπιφέρει δὲ ὁ Σατανᾶς τὴν κόλασιν οὐ τοῖς ἑαυτοῦ· εἰσὶ γάρ, ὡς αὐτός, πονηροὶ καὶ ἀνάγκη καὶ αὐτὸν ὑποπίπτειν τῇ κολάσει· τῷ ἄρα ἀγαθῷ ἐποίσει αὐτήν. Ἀλλ' ἀδύνατον τοῦτο· οὐκ ἄρα ὁ πονηρὸς αὐτὴν ἐπιφέρει, ἀλλὰ Θεός. Πᾶν δὲ τὸ ὑπὸ Θεοῦ ἐπιφερόμενον, χρησίμως **[1109]** ἐπιφέρεται, τυγχάνον ἢ ἀγαθοῦ ποιητικὸν ἢ κωλυτικὸν κακοῦ. Ὁ ἄρα Θεὸς κωλύειν τὸ κακὸν βουλόμενος ἐπιφέρει τοῦτο· οὐκ ἂν δ' ἐπεχείρει κωλύειν τὸ κακόν, εἰ μὴ δυνατὸν ἦν

1. Α' Κορ. 4,15.

κωλύεσθαι τὸ κακόν. Κωλυόμενον δὲ τοῦτο οὐ δύναται εἶναι φύσει καὶ ἀγένητον. Ἐσφάλησαν δὲ καὶ ἐν τούτῳ οἱ ἀμαθεῖς νομίσαντες ἐναντίον εἶναι τὴν κόλασιν τῇ ἐπαγγελίᾳ· ἑκατέρα γὰρ ἀνταπόδοσίς ἐστιν, ἡ μὲν τοῖς ἀγαθοῖς μισθὸν φέρουσα, ἡ δὲ τιμωρίαν κατὰ τῶν ἑκουσίως παραβεβηκότων τοὺς θείους νόμους.

ΑΝΤΙΡΡΗΤΙΚΟΣ ΚΑΤ' ΕΥΝΟΜΙΟΥ*

205 Εἰ φύσει Θεὸς ὁ Υἱός, Θεὸς δὲ φύσει καὶ ὁ πατήρ, οὐκ ἄλλως Θεὸς ὁ Υἱός, ἑτέρως δὲ ὁ Πατήρ, ἀλλ' ὁμοίως. Εἰ δὲ οὐ φύσει Θεὸς ὁ Υἱός, ὡς οἱ ψευδῶς λεγόμενοι θεοί, λέγεται καὶ οὐκ ἔστι Θεός. Εἰ «εἷς Κύριος»[1] ὁ Υἱὸς φύσει, Κύριος δὲ καὶ ὁ Πατὴρ φύσει, δηλονότι οὐχ ἑτέρᾳ φύσει. Κἂν εἷς οὖν ὁ Θεὸς ὁ Πατὴρ λέγηται, Θεὸς δὲ καὶ ὁ Υἱός, οὐκ ἄλλῃ φύσει, ἀλλὰ μιᾷ· εἰ «εἷς Κύριος»[2] φύσει, πολλῶν θέσει καλουμένων καὶ εἷς Υἱὸς φύσει, πολλῶν ὀνομαζομένων υἱῶν θέσει, τὸ θέσει κατὰ μίμησιν τοῦ φύσει λέγεται. Θέσει γὰρ οὐδὲν ἂν λεχθείη, μὴ προηγουμένου τοῦ φύσει. Εἰ οὖν ἡμεῖς υἱοὶ θέσει Θεοῦ, ἀνάγκη τὸν φύσει Υἱὸν προϋπάρχειν. Εἶτα ἀληθῶς ὀνόματα τῆς οὐσίας ὧν ἐστιν ὀνόματα γνωρίσματα. Κύριος δὲ καὶ Θεὸς ἀληθῶς καὶ ὁ Πατὴρ καὶ ὁ Υἱός. Ἡ αὐτὴ ἄρα οὐσία, ὥσπερ καὶ τὰ αὐτὰ ὀνόματα. Εἰ μὴ γεννήσεως τὸ μονογενές, ἀλλὰ διὰ τὸ ἀσύγκριτον, μονογενὴς καὶ ὁ Πατήρ· ἀσύγκριτος γάρ. Καὶ πᾶν δὲ κτίσμα μὴ ὅμοιον ἄλλῳ μονογενές, πολλοὶ ἄρα μονογενεῖς καὶ οὐχ εἷς ὁ Υἱὸς τοῦ Θεοῦ. Εἰ δὲ ὁ Υἱὸς οὐχ ἁπλῶς μονογενής, ἀλλὰ Υἱὸς μονογενὴς καὶ παρὰ Πατρὸς μονογενής[3], ὁ Υἱὸς καὶ μονογενής ἐστι καὶ οὐ κτίσμα μονογενές. Εἰ κατὰ μετάδοσιν καὶ συγχώρησιν τοῦ Πατρὸς καὶ οὐ κατὰ φύσιν δημιουργὸς ὁ Υἱός, οὐδὲν ἂν εἴη τῶν ὑπ' αὐτοῦ δημιουργηθέντων κατὰ φύσιν. Ὧν γὰρ ὁ δημιουργὸς οὐ κατὰ φύσιν, πῶς τὰ δημιουργηθέντα κατὰ φύσιν; Εἰ ἐνεργεῖ Θεὸς ὡς οὐδεὶς ἕτερος καὶ γεννῶν ὡς οὐχ ἕτερος γεννήσει· ἀσύγκριτος γὰρ πρὸς πάντα κατὰ πάντα ὁ Θεός. Τὸ ποιούμενον οὐκ ἐκ τῆς οὐσίας τοῦ ποιοῦντος, τὸ δὲ **206** γεννώμενον ἐκ τῆς αὐτῆς οὐσίας τοῦ γεννῶντος. Οὐ ταὐτὸν ἄρα τὸ ποιεῖν καὶ τὸ γεννᾶν. Εἰ ἐκ τοῦ Θεοῦ ὁ Υἱός, οὐχ ὡς ἐκ Πατρὸς δέ, ἀλλ' ὡς ἐξ ἑτέρου, αἴτιος δὲ τοῦ εἶναι καὶ ἡμῖν ὁ Θεός, ἐξ αὐτοῦ γὰρ τὰ πάντα[4]· οὐχ ἑτέρως ἄρα τοῦ Υἱοῦ Πατήρ, ἑτέρως δὲ ἡμῶν, ἀλλ' ὁμοίως· καὶ πῶς οὐκ ἄτοπον; Εἰ μηδὲν ὅμοιον καὶ ἴσον Θεῷ, πλὴν Υἱοῦ, οὐδὲν ἀπαραλλάκτως τῶν ὑποδειγμάτων εἰρήσεται, ὑπὲρ πᾶν γὰρ ὁ Θεός. Τὸ «ἐν μορφῇ Θεοῦ»[5], ἐν οὐσίᾳ ἐστὶ Θεοῦ. Οὐ γὰρ ἄλλο μορφὴ καὶ ἄλλο οὐσία Θεοῦ, ἵνα μὴ σύνθετος. Ὁ κατὰ μορφὴν οὖν ἴσος καὶ κατ' οὐσίαν ἐστὶν ἴσος. Εἰ ὁ γεννηθεὶς ἐλάττων τοῦ γεννήσαντος, οὐκ ἔγκλημα τοῦτο τοῦ γεννηθέντος, ἀσθένεια δὲ τοῦ γεννήσαντος. Ἢ γὰρ φθονήσας οὐκ ἐποίησεν ἴσον ἢ μὴ δυνηθεὶς οὐκ ἐγέννησεν ὅμοιον, εἰ ὁ Πατὴρ πρὸ τοῦ Υἱοῦ ἦν, ἑτέρου

---

* Κατὰ τὴν ἔκδοσιν J. Dräseke, Apolinarius von Laodicea (Texte und Untersuchungen 7,3-4). Leipzig 1892, σσ. 205-251.

1. Α' Κορ. 8,6. 2. Αὐτόθι. 3. Πρβλ. Ἰω. 1,14. 4. Πρβλ. Α' Κορ. 8,6. 5. Φιλιπ. 2,6.

τινὸς πάντως Πατὴρ ἦν, χωρὶς γὰρ Υἱοῦ Πατὴρ οὐκ ἂν λεχθείη, εἰ ὁ τὸν Υἱὸν γνούς κατ' οὐσίαν ἔγνω καὶ τὸν Πατέρα. «Εἰ γὰρ ἐμὲ ἤδειτε», φησὶ «καὶ τὸν Πατέρα μου ἤδειτε ἄν»[1]. Ὁμοούσιος ἄρα Υἱὸς τῷ Πατρί. Οὐδὲν γὰρ ἀσώματον ἐξ ἀνομοίου οὐσίας γνωρίζεσθαι δύναται. Εἰ τὸ πιστεύειν τὸν Χριστὸν Υἱὸν εἶναι Θεοῦ ζωὴν αἰώνιον ἔχει, τὸ ἀπιστεῖν ἐξ ἀνάγκης θάνατον. Ὧν αἱ αὐταὶ ἐνέργειαι, τούτων καὶ ἡ οὐσία μία. Ἐνέργεια δὲ Πατρὸς καὶ Υἱοῦ μία, ὡς τὸ «ποιήσωμεν ἄνθρωπον»[2]. Καὶ πάλιν «ἃ γὰρ ἂν ὁ Πατὴρ ποιῇ, ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ»[3]· ἄρα καὶ οὐσία μία Πατρὸς καὶ Υἱοῦ. Εἰ ἡ γνῶσις Πατρὸς καὶ Υἱοῦ ζωὴ αἰώνιος, ἀνάγκη καὶ μιᾶς οὐσίας εἶναι. Τὰ γὰρ ἑτεροούσια οὐ μιᾷ γνώσει καταλαμβάνεται, οὔτε ὁμοίως ζωοποιεῖν δύναται. Εἰ εἰκὼν ὁ Υἱὸς ἀληθῶς τοῦ Πατρός, πᾶσα δὲ εἰκὼν ἢ οὐσίας ἢ μορφῆς ἢ σχήματος ἢ εἴδους καὶ χρώματός ἐστιν εἰκών, Θεὸς δὲ ἐν οὐδενὶ τούτων, ἐν δὲ οὐσίᾳ μόνῃ, ὁ Υἱὸς εἰκὼν ὢν τῆς οὐσίας, ὁμοούσιός ἐστι τῷ Πατρί. Εἰ ἀσύγκριτος ὁ Πατὴρ κατὰ πάντα πρὸς τὸν Υἱόν, κατὰ πάντα δὲ καὶ πρὸς τὴν κτίσιν, οὐκ ἄλλως πρὸς τὸν Υἱόν, ἑτέρως δὲ πρὸς τὴν κτίσιν, ἀλλ' ὁμοίως. Οὐκοῦν οὐ μόνον ἀνόμοιος τῷ Πατρί, ἀλλὰ καὶ ὅμοιος τῇ κτίσει. Καὶ πῶς οὐκ ἄτοπον; Εἰ κτίσμα λέγοντες τὸν Υἱὸν οὐχ ὡς ἓν τῶν κτισμάτων λέγουσι· διὰ τί γέννημα λεγόντων ἡμῶν ὡς ἓν τῶν γεννημάτων νοοῦσιν; Εἰ οὐ γεννᾷ Θεός, ἵνα μὴ ῥεῦσιν ὑπομείνῃ· οὐδὲ κτίζει, ἵνα μὴ κάμῃ. Εἰ δὲ κτίζει ἀπαθῶς, πολλῷ μᾶλλον ἀπαθῶς γεννᾷ. Εἰ ἀπαύγασμα παντὸς φωτὸς γεννᾶται μὲν ἐκ **207** τοῦ φωτός· οὐ ποτὲ δέ, ἀλλὰ ἀχρόνως καὶ συναϊδίως ἐκείνῳ (οὐ γάρ ἐστι φῶς χωρὶς ἀπαυγάσματος) καὶ ὁ Υἱὸς ἀπαύγασμα τυγχάνων[4], οὐ ποτὲ ἔσται ,ἀλλὰ συναϊδίως, φωτὸς ὄντος τοῦ Θεοῦ, ὡς Δαβὶδ φησιν «ἐν τῷ φωτί σου ὀψόμεθα φῶς»[5]. Καὶ Δανιὴλ «καὶ τὸ φῶς μετ' αὐτοῦ ἐστιν»[6]. Εἰ τὸ γέννημα οὐσία ἐστὶ κατ' αὐτούς, ὡς καὶ τὸ ἀγέννητον, γέννημα δὲ ὁ Υἱὸς τοῦ Θεοῦ καὶ οὐσία ἄρα ὁ Υἱὸς τοῦ Θεοῦ. Εἰ βουλήσει καὶ οὐ φύσει ὁ Θεὸς τὸν Υἱὸν ἐγέννησεν, ἢ ἅπαξ βουληθείς, ἀβούλητος τὸ λοιπόν· ἢ καὶ πάλιν βουληθεὶς καὶ πάλιν ἐγέννησεν. Εἰ δὲ οὐ μία βούλησις αὐτοῦ, ἀλλὰ διάφορος, οὐκέτι ἁπλοῦς οὐδὲ ἑνὸς ποιητής, ἀλλ' ὡς βούλεται καὶ ποιεῖ. Εἰ Θεὸς οὐ γεννᾷ ἢ διὰ τὸ μὴ δύνασθαι πάντως ἢ διὰ τὸ μὴ βούλεσθαι. Ἀλλ' εἰ μὲν οὐ δύναται, ἥττων γεννητικῆς καὶ τελείας φύσεως, πρὸς τῷ καὶ ἀδυναμεῖν· εἰ δὲ δυνάμενος οὐκ ἠβουλήθη, ὃ φύσει ἔσχε, βουλήσει κατέσχεν. Ὥστε εἰ καὶ μήπω ἐγέννησε, βουληθεὶς ἄρα γεννήσει ποτέ. Εἰ ποτὲ οὐκ ἦν ὁ Υἱός, αὐτὸ τὸ ἐκεῖνο, τὸ ποτέ, ἔσται μὲν μετὰ τὸν γεννήσαντα, πρὸς δὲ τῶν γεννηθέντων. Οὐκέτι οὖν πρὸ πάντων ὁ Υἱὸς χωρὶς τοῦ Πατρός, ἀλλὰ καὶ μετὰ τὸ ποτὲ εὑρεθήσεται. Ἡμῶν λεγόντων, Πατρὸς ὄντος ἀεί, ἀνάγκη καὶ τὸν Υἱὸν εἶναι ἀεί, ἐκεῖνοί φασιν· οὐκοῦν, ἐπειδὴ καὶ ὁ

---

1. Πρβλ. Ἰω. 14,7. 2. Γεν. 1,26. 3. Ἰω. 5,19. 4. Πρβλ. Ἑβρ. 1,3. 5. Ψαλ. 35,10. 6. Δαν. (Θδτ.) 2,22.

Υἱὸς ἀεὶ δημιουργὸς καὶ ἡ δημιουργία ἀεὶ ἔσται καὶ οὕτως ἔσται καὶ ἡ δημιουργία συναΐδιος Πατρὶ καὶ Υἱῷ. Ἀλλ' ὁ εἰπὼν δημιουργὸν οὐχ ἅμα καὶ τὴν δημιουργίαν λέγει. Οὐ γὰρ τῷ οἰκοδόμῳ συνυπάρχει τὸ οἰκοδόμημα, οὐδὲ τῷ ναυπηγῷ τὸ σκάφος. Ἡ μὲν γὰρ δημιουργία ἐν τῷ δημιουργῷ, τὸ δὲ δημιουργούμενον μετὰ τὸν δημιουργόν. Πατέρα δὲ εἰπεῖν ἀδύνατον μὴ ὄντος Υἱοῦ. Καὶ ὁ εἰπὼν Πατέρα, οὐχ ἁπλῶς Πατέρα, ἀλλά τινος λέγει Πατέρα. Θεὸς καὶ Κύριος καὶ παντοκράτωρ καὶ Σαβαὼθ καὶ ὢν καὶ Ἀδωναὶ καὶ Ἐλωὶ ὁ Θεὸς ἐν ταῖς Γραφαῖς εἴρηται, ἀγέννητος δὲ οὐδαμοῦ. Εἰ δέ τις καὶ τοῦτο συγχωρήσει καὶ τὸ ἀγέννητος καὶ τὰ προκείμενα ὀνόματα λέγειν, ἁρμόσει καὶ Ἰουδαίοις καὶ πᾶσι, Χριστιανοῖς δὲ μόνοις τὸ Πατὴρ Χριστοῦ. Εἰ οὖν τὸ μόνον χωρίζον ἡμᾶς τῶν ἄλλων ψευδὲς καὶ οὐκ ἀληθὲς καὶ ὄνομα θέσει—καὶ οὐ πρᾶγμα φύσει, ψευδὴς ἡ πίστις ἡμῶν καὶ ἡ ἐλπὶς ματαία. Οὔ γὰρ ἀβέβαιος ἡ ἀρχὴ καὶ τὸ τέλος ἀνίσχυρον. Πάλιν ἐρωτῶσιν· εἰ ὢν ἐγεννήθη ὁ Υἱὸς ἢ μὴ ὤν; Ἀσαφοῦς καὶ κακοτέχνου τῆς ἐρωτήσεως οὔσης αὐτῶν. Αἰσχυνόμενοι γὰρ τὸ πότε καὶ ἐν χρόνῳ ἐρωτῆσαι τὸ «ὢν» λέγουσιν. Ἀντερώτησον αὐτούς· εἰ ὢν ὁ Θεὸς Πατὴρ τὸν Υἱὸν ἐγέννησεν, **208** ἢ μὴ ὢν Πατήρ; Εἰ μὲν γὰρ ὢν Πατήρ, ὢν ὄντα ἐγέννησεν. Εἰ δὲ οὐκ ὤν, γεννητὸς καὶ οὐ φύσει Πατήρ. Πᾶσαν δὲ φιλονεικίαν αὐτῶν ἀποκλείουσιν αἱ θεῖαι Γραφαί, Μωϋσέως μὲν βοῶντος περὶ τοῦ Υἱοῦ, «ὁ ὤν με ἀπέστειλε»[1]· τοῦ δὲ εὐαγγελιστοῦ· «ἐν ἀρχῇ ἦν ὁ Λόγος»[2]. Καὶ οὐχ ἅπαξ τὸ ἦν, ἀλλὰ τέταρτον. Καὶ πάλιν ἀλλαχοῦ· ὁ ὢν ἐκ τοῦ Θεοῦ»[3]· καί· «ὁ ὢν ἐν τοῖς κόλποις τοῦ Πατρός»[4]. Καὶ ἐν ἑτέροις «ὁ ὢν ἐν τῷ οὐρανῷ»[5]. Καὶ ἐν τῇ Ἀποκαλύψει· «ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος»[6]· καὶ ὁ Παῦλος· «ὃς ὢν ἀπαύγασμα τῆς δόξης»[7]. Καί· «ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων»[8] καὶ πάλιν· «ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητός»[9]. Εἰ ἀληθινὸς Θεὸς καὶ φῶς καὶ ἄτρεπτος καὶ ἀγαθὸς καὶ ἅγιος καὶ Κύριος ὁ Υἱός, ταῦτα δὲ καὶ ὁ Πατὴρ ὤν, οὐχ ὁμοίως ἐστίν, ἀλλὰ μειζόνως· οὐκ οὐσίας ὑπεροχῇ ἀλλὰ ποιότητος ὑπερβολῇ. Οὐσία γὰρ οὐσίας μᾶλλον οὐ λέγεται, ποιότης δὲ ποιότητος. Ἄνθρωπος γὰρ ἀνθρώπου μᾶλλον οὐ λέγεται· ἀγαθὸς δὲ ἀγαθοῦ καὶ δίκαιος δικαίου. Τῶν γεννητῶν ἡ αὐτὴ φύσις πρὸς τὸν γεννήσαντα, κἂν ἑτέρως ὁ γεννηθεὶς τὸ εἶναι ἔχῃ. Οὐδὲ γὰρ Ἄβελ, ὁ ἐκ συνδυασμοῦ γεννηθείς, ἕτερος παρὰ τὸν Ἀδάμ, τοῦ Ἀδὰμ μὴ γεννηθέντος, ἀλλὰ πλασθέντος[10]. Εἰ τὸ αἴτιον τοῦ αἰτιατοῦ μεῖζον καὶ διάφορον κατ' οὐσίαν, πᾶς δὲ πατὴρ αἴτιος καὶ πᾶς υἱὸς αἰτιατός, μείζους καὶ διάφοροι κατ' οὐσίαν οἱ πατέρες τῶν υἱῶν καὶ οὐ μιᾶς οὐσίας. Ἀλλ' οὐκ ἀληθές. Ἐρωτῶσιν· εἰ γεννήσας ὁ Πατὴρ τὸν Υἱὸν ἐπαύσατο τοῦ γεννᾶν αὐτόν; Κἂν λάβωσιν ὅτι ἐπαύσατο, ἐπάγουσιν· οὐκοῦν καὶ ἤρξατο γεννᾶν. Πᾶν

---

1. Ἐξ. 3,14. 2. Ἰω. 1,1. 3. Ἰω. 3,47. 4. Ἰω. 1,18. 5. Πρβλ. 3,13. 6. Ἀποκ. 1,8. 7. Ἑβρ. 1,3. 8. Φλιπ. 2,6. 9. Ρωμ. 9,5. 10. Πρβλ. 2,7.

γὰρ τὸ τέλος ἔχον καὶ ἀρχὴν ἔχει. Οὐκ ἄρα οὖν ἦν ἀεὶ ὁ Υἱός. Ἐροῦμεν οὖν, εἰ τὸ παυόμενον ἀνάγκη καὶ ἀρχὴν ἔχειν καὶ τὸ ἀρχὴν ἔχον ἀνάγκη καὶ παύεσθαι· ἄγγελοι οὖν καὶ πάντα τὰ ἀσώματα ἀρχὴν τοῦ εἶναι ἔχοντα ἀνάγκη καὶ τέλος τοῦ εἶναι ἕξει, ἀλλ' ἄτοπον. Δυνατὸν οὖν καὶ ἀρξάμενον τοῦ εἶναι μὴ πεπαῦσθαι καὶ παυσάμενον μὴ ἦρχθαι. Εἰ δὲ μὴ καὶ αὐτὸς ὁ Υἱός, εἰ ἀρχὴν τοῦ εἶναι ἔχει καὶ τέλος κατ' αὐτοὺς ἐξ ἀνάγκης ἔχει, ἐπειδὴ πᾶν τὸ ἀρχὴν ἔχον καὶ τέλος ἔχειν βούλονται. Καὶ πῶς οὐ βλάσφημον; Καὶ ἡ πρόγνωσις δὲ τοῦ Θεοῦ ἀρχὴν οὐκ ἔχουσα, μετὰ τὸ γενέσθαι περὶ ὧν προέγνω, τέλος ἔχει, ὥστε οὐ τὸ τέλος ἔχον ἀνάγκη καὶ **209** ἀρχὴν ἔχειν. Τὸ ἓν ἐπὶ τῶν ἀσωμάτων ἢ ἐνεργείᾳ ἢ βουλήσει ἢ οὐσίᾳ λέγεται ὁ Σωτὴρ οὖν εἰπών· «ἐγὼ καὶ Πατὴρ ἕν ἐσμεν»[1] καθ' ἕν τι προγεγραμμένον εἴρηκεν. Οὐκοῦν, εἰ μὲν κατ' ἐνέργειαν λέγουσιν, ἀνάγκη καὶ κατ' οὐσίαν λέγειν. Τῶν γὰρ ἑτεροουσίων οὐκ ἂν εἴη ἡ ἐνέργεια ὁμοία. Εἰ δὲ κατὰ βούλησιν ἕν, οὐχ ὅσα ὁ Πατὴρ βούλεται μόνον ἀνάγκη καὶ τὸν Υἱὸν βούλεσθαι, ἀλλ' ὅσα καὶ ὁ Υἱὸς βούλεται ἀνάγκη καὶ τὸν Πατέρα βούλεσθαι. Ἐπιτάξει οὖν καὶ ὁ Υἱὸς τῷ Πατρὶ περὶ ὧν βούλεται, εἴ γε καὶ ἐπιτάττεται. Εἰ δὲ ἐπιτάττεται μόνον, ἀναγκαζόμενος καὶ οὐχὶ βουλόμενος ὑπηρετεῖ. Εἰ δὲ οὔτε ἐνεργείᾳ οὔτε βουλήσει, λείπεται κατ' αὐτοὺς ἓν κατ' οὐσίαν εἶναι, τουτέστιν ὁμοούσιον Πατέρα καὶ Υἱόν. Εἰ τὸ ἀγέννητος οὐσία ἐστὶ καὶ τὸ γεννητὸς οὐσία καὶ διὰ τοῦτο οὐχ ὁμοούσιοι Πατὴρ καὶ Υἱός, πᾶν ἐξ ἀνάγκης γέννημα μιᾶς οὐσίας· ὁμοούσια οὖν τὰ γεννήματα τῷ Υἱῷ τοῦ Θεοῦ. Καὶ πῶς οὐ βλάσφημον; Εἰ ὁ ἀγέννητος πρὸς τὸν γεννητὸν Υἱὸν ἀντιδιαστελλόμενος οὐσία ἐστὶ καὶ ὁ ἄκτιστος πρὸς τὴν κτίσιν ἀντιδιαστελλόμενος οὐσία ἐστίν. Ἔσται οὖν καὶ ἀγέννητος οὐσία καὶ ἄκτιστος οὐσία. Δύο οὖν ὁ Θεὸς καὶ οὐ μία οὐσία. Ἔτι δὲ καὶ πᾶσα ἡ κτίσις ἔσται οὐσία μία. Ψευδὲς δὲ τοῦτο, μία μὲν γὰρ κτίσις διάφοροι δὲ οὐσίαι. Οὕτω δὲ καὶ τὸ ἄτρεπτον αὐτοῦ καὶ τὸ ἄναρχον καὶ πολλὰ ἕτερα οὐσίαι ἔσονται. Εἰ ἀγέννητον τὸν Πατέρα καὶ γεννητὸν τὸν Υἱὸν εἰπών τις τὰς οὐσίας ἐδήλωσε, τὸν τρόπον τῆς ὑπάρξεως αὐτῶν εἰπεῖν τις θελήσας, πῶς ἂν ἑτέρως εἰπεῖν δυνήσεται ἢ οὕτως; Ὑπάρξεως οὖν τρόπος τὸ ἀγέννητος καὶ οὐκ οὐσίας ὄνομα. Εἰ τὰ διάφορον τὴν ὕπαρξιν τοῦ εἶναι ἔχοντα διάφορον ἔχει καὶ τὴν οὐσίαν οὐδὲ οἱ ἄνθρωποι ὁμοούσιοι. Ἄλλη γὰρ ὕπαρξις Ἀδὰμ ἐκ γῆς πλασθέντος[2], ἄλλη δὲ Εὔας ἐκ πλευρᾶς γενομένης[3], ἄλλη δὲ Ἄβελ, ἐκ συνδυασμοῦ γάρ· ἄλλη δὲ τοῦ ἐκ Μαρίας, ἐκ παρθένου μόνης. Ὡσαύτως δὲ καὶ ἐπὶ τῶν πτηνῶν καὶ τετραπόδων. Εἰ ἀγέννητος ὁ Πατήρ, ὅτι μὴ ἐγεννήθη, ὁ δὲ Υἱὸς γεννητός, διὰ τὸ γεννηθῆναι μετὰ τὸν γεννηθέντα ὁ ἀγέννητος. Οὐ γὰρ εἶχε πρὸς ὃν ἀγέννητος κληθήσεται. Τῶν γὰρ ὄντων αἱ ἀντιδιαστολαί, οὐ τῶν μὴ ὄντων. Εἰ Θεὸς ἦν ποτε, Πατὴρ δὲ οὐκ ἦν, γενόμενος Πατὴρ προσείληφε τὸ Πατήρ. Ὥστε Θεὸς μὲν ἀγέννητος, γεννητὸς δὲ

1. Ἰω. 10,30. 2. Πρβλ. Γεν. 2,7. 3. Πρβλ. Γεν. 2,12.

Πατήρ, γεννητὸς ἄρα καὶ ἀγέννητος ὁ αὐτὸς ἁπλοῦς ὤν. Εἰ τὸ ἀδύνατον ἐναντίον τῷ δυνατῷ καὶ τὸ ἄσοφον τῷ σοφῷ καὶ πάντα τὰ ἀντιδιαστελλόμενα ἐναντία ἀλλήλοις, ἐναντίον καὶ τὸ ἀγέννητον τῷ **210** γεννητῷ· ἐναντίος οὖν ὁ Πατὴρ τῷ Υἱῷ κατ' οὐσίαν, εἴγε μὴ τρόπος ὑπάρξεως τὸ ἀγέννητον, ἀλλ' οὐσία. Εἰ κτίσμα καὶ οὐ γέννημα ὁ Υἱὸς καὶ πάντα δὲ τὰ ὄντα κτίσματα, μάτην ἀγέννητος ὁ Πατὴρ λέγεται, οὐκ ὄντος ὅλως γεννήματος πρὸς ὃ καλεῖται ἀγέννητος. Δικαιότερον οὖν ἄκτιστος ἢ ἀγέννητος λέγοιτο ἄν. Τὸ ἀγέννητος εἰ ὄνομα, οὐκ οὐσία. Τῶν γὰρ οὐσιῶν σημαντικὰ τὰ ὀνόματα, οὐκ αὐτὰ οὐσία. Εἰ δὲ αὐτοουσία τὸ ἀγέννητος, λεγέτωσαν τὸ ὄνομα αὐτῆς. Οὐ γὰρ ἐκ τῶν οὐσιῶν, ἀλλ' ἐκ τῶν ὀνομάτων καὶ τῶν ἐνεργειῶν γνωρίζομεν καὶ μάλιστα τὰ ἀσώματα. Εἰ τὸ ἀγέννητος ὄνομα τῆς οὐσίας τοῦ Θεοῦ ἢ τὴν οὐσίαν τὴν ἰδίαν εἰδὼς ὁ Θεὸς τὸ ὄνομα τῆς οὐσίας ἠγνόησεν ἢ καὶ τὸ ὄνομα εἰδὼς τοὺς ἀκούοντας ἠπάτησε. Κύριος γάρ φησιν· «παντοκράτωρ ὄνομά μου»[1]. Καὶ παρὰ Μωϋσέως ἐρωτηθείς, τί ὄνομα αὐτῷ, φησίν· «ἐγώ εἰμι ὁ ὤν»[2]. Καὶ πάλιν· «ὁ Θεὸς Ἀβραὰμ καὶ ὁ Θεὸς Ἰσαὰκ καὶ ὁ Θεὸς Ἰακώβ»[3]· «τοῦτό μοι ὄνομα αἰώνιον»[4]. Καὶ Δαβὶδ «Κύριος ὄνομά σοι»[5]. Ἀγέννητον δὲ ὄνομα οὔτε αὐτὸς ἑαυτῷ οὔτε τις τῶν ἁγίων εἴρηκεν. Εἰ δὲ οὔτε ἠπάτησεν οὔτε ἠγνόησεν (ἀσεβὲς γάρ τι τούτων εἰπεῖν), τὸ ἀγέννητος οὐκ ὄνομα αὐτοῦ. Τὸ ἀγέννητος ἢ οὐσία ἐστὶν ἢ συμβεβηκὸς (παρὰ ταῦτα γὰρ οὐδὲν ἂν εἴη), ἀλλ' οὐσία μὲν οὐκ ἔστιν· οὔτε γὰρ τὸ ἀντιδιαστελλόμενον αὐτῷ. Γεννητὸς γὰρ ὁ Υἱός, οὐ καθὸ οὐσία, ἀλλὰ καθὸ ἐγεννήθη. Εἰ δὲ συμβεβηκὸς ἢ συμπέφυκεν ἢ ἐνδέχεται ὑπάρχειν καὶ μὴ ὑπάρχειν. Ἀλλ', εἰ μὲν συμπέφυκεν, ἀνάγκη τῷ Θεῷ καὶ οὐσίαν καὶ συμβεβηκὸς εἶναι. Ἐξ ἀνάγκης γὰρ τὰ τοιαῦτα συμβαίνει οἷς συμβέβηκεν. Εἰ δὲ ἐνδεχομένως ἔσται καὶ ἀγέννητός ποτε καὶ γεννητός. Εἰ ἀγένητον λέγουσι τὸν Θεόν, ὅτι μὴ ἐγεννήθη, οὐ τί ἐστιν ἡ οὐσία αὐτοῦ λέγουσιν, ἀλλὰ τί οὐκ ἔστιν. Οὐδεμία δὲ οὐσία ἐξ ὧν οὐκ ἔστι γνωρίζεται, ἀλλ' ἐξ ὧν ἐστιν. Καὶ τὸ ἀθάνατος γὰρ καὶ τὸ ἄφθαρτος καὶ τὸ ἄτρεπτος οὐ τὴν οὐσίαν αὐτοῦ, ἀλλ' ὅτι μὴ ἀποθνήσκει, μήτε φθείρεται, μήτε τρέπεται, ὡς τὰ κτίσματα, δηλοῖ. Διδασκέτωσαν οὖν τί ὁ Θεός ἐστιν, οὐ τί οὐκ ἔστιν. Εἰ τὸ ἀγέννητος οὐκ ὄναμα οὐσίας, ἀλλ' αὐτοουσία, οὐσία δὲ καὶ ὁ Υἱός· ἀγέννητος καὶ ὁ Υἱὸς καὶ πᾶσα δὲ οὐσία ἀγέννητος. Εἰ τὸ ἀγέννητον οὐσία τοῦ Θεοῦ καὶ τὸ γέννημα οὐσία τοῦ Υἱοῦ· τὸ κτίσμα οὖν ἢ ποίημα οὐκ οὐσία αὐτοῦ. Μία **211** γὰρ καὶ οὐ πολλαὶ οὐσίαι ὁ Υἱός. Ἄνθρωπός τις εἰπὼν ἢ λίθον ἢ ξύλον, οὐσίαν τινὰ δηλοῖ. Γέννημα δὲ εἰπών, οὐκ οὐσίαν ἁπλῶς δηλοῖ, ἐπεὶ πᾶν γέννημα οὐσία μία. Εἰ δὲ οὐκ οὐσίας τινὸς τὸ γέννημα σημαντικόν, οὐδὲ τὸ ἀγέννητος δηλονότι. Εἰ ἀγέννητός ἐστιν ὁ Θεός, ὅτι μὴ ἐγεννήθη· οὕτω καὶ ἄφθαρτος, ὅτι μὴ φθείρεται. Ὥσπερ οὖν τὸ ἄφθαρ-

---

1. Πρβλ. Ἀμ. 3,14. Ἀποκ. 1,8. 2. Ἐξ. 3,14. 3. Ἐξ. 3,15. 4. Ἔνθ' ἀν. 5. Ψαλ. 32,19.

τον τὸ ἀτελεύτητον αὐτοῦ δηλοῖ· οὕτω καὶ τὸ ἀγέννητον, τὸ ἄναρχον. Εἰ δὲ ἀγέννητος μέν, οὐκ ἄφθαρτος δέ, ἔσται μὲν ἄναρχος, οὐκ ἀτελεύτητος δέ· ὅπερ ἄτοπον. Οὐκ οὐσία οὖν τὸ ἀγέννητος, ἀλλὰ δήλωσις τοῦ μὴ γεγεννῆσθαι. Εἰ φύσει ἀγέννητος ὁ Πατήρ, φύσει γεννητὸς καὶ ὁ Υἱός. Εἰ δὲ φύσει γέννημα, οὐκέτι κτίσμα. Ὄντος οὖν τοῦ φύσει γεννήματος, ἀνάγκη καὶ τὸν γεννήσαντα εἶναι. Γέννημα γὰρ χωρὶς γεννήσαντος οὐκ ἂν εἴη. Λεγέτωσαν οὖν τὸν γεννήσαντα, εἰ ὁ Πατὴρ οὐκ ἐγέννησεν. Εἰ ὁ Θεὸς ἀγέννητος οὐσίᾳ καὶ ὁ Υἱὸς γεννητὸς οὐσίᾳ καὶ ὁ παράκλητος κτίσμα οὐσίᾳ, τὸ Πατὴρ καὶ Υἱὸς καὶ Ἅγιον Πνεῦμα ὀνόματα μόνον χωρὶς οὐσιῶν. Βαπτιζέτωσαν οὖν εἰς ἀγέννητον καὶ γεννητὸν καὶ κτίσμα. Τὰ γὰρ πράγματα τῶν ὀνομάτων ἰσχυρότερα καὶ τὰ ὄντα τῶν λεγομένων πρὸς ἐνέργειαν ὠφελιμώτερα. Εἰ ἀγέννητος, φασίν, ὁ Πατήρ, γεννητὸς δὲ ὁ Υἱός, οὐ τῆς αὐτῆς οὐσίας. Ἀγέννητος γὰρ καὶ γεννητὸς οὐκ ἂν εἴη μιᾶς οὐσίας. Ἀλλ' οὐκ οὐσίας ἡμεῖς ταῦτα λέγομεν, ὀνόματα δὲ δηλοῦντα τὴν ἑκάστου αὐτῶν ὕπαρξιν. Οὐδὲν δὲ κωλύει διαφόρων ὀνομάτων μίαν οὐσίαν εἶναι, ὡς καὶ τὸ ἐναντίον διαφόρων οὐσιῶν τῆς κτίσεως ἓν ὄνομα. Εἰ ὁμοούσιος, φασίν, ὁ Υἱὸς τῷ Πατρί, ὁ Πατὴρ δὲ ἀγέννητος, ὁ δὲ Υἱὸς γεννητός· ἡ αὐτὴ ἄρα οὐσία ἀγέννητος καὶ γεννητή. Ἀλλ' οὐ μέρος φαμὲν τὸν Υἱὸν τοῦ Πατρὸς, ὡς διαιρουμένην τὴν οὐσίαν ἀγέννητον καὶ γεννητὸν εἶναι, ἀλλ' ὅλον ὅλου γεννητὸν ἐξ ἀγεννήτου, τέλεια δύο καὶ οὐ δύο μέρη ἐξ ἑνός τινος. Εἰ ἐν τῷ ὀνόματι τοῦ Πατρὸς ἐλήλυθεν ὁ Σωτήρ, ὡς αὐτός φησιν «ἐγὼ ἐλήλυθα ἐν τῷ ὀνόματι τοῦ Πατρός μου»[1], πάντα ὅσα ὁ Πατὴρ λέγεται, ἀνάγκη καὶ τὸν Υἱὸν λέγεσθαι. Λεχθήσεται οὖν καὶ ἀγέννητος, εἰ καὶ τοῦτο ὄνομα τοῦ Πατρός. Εἰ δὲ τιμὴ τοῦ Πατρός ἐστι τὸ ἀγέννητος ὄνομα, ὁμοίως δὲ καὶ τὸν Υἱὸν τιμᾶν δεῖ, κατὰ τὴν αὐτοῦ φωνὴν τὴν λέγουσαν, «ἵνα πάντες τιμῶσι τὸν Υἱόν, καθὼς τιμῶσι τὸν Πατέρα»[2], ἀνάγκη καὶ τὸν Υἱὸν ἀγέννητον λέγειν, ἵνα μία τιμὴ Πατρὸς **212** καὶ Υἱοῦ σώζηται. Εἰ ἐφανέρωσεν ὁ Υἱὸς τὸ ὄνομα τοῦ Πατρὸς τοῖς ἀνθρώποις, ὡς αὐτός φησιν· «ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις»[3], κύριον δὲ τῆς οὐσίας αὐτοῦ ὄνομα τὸ ἀγέννητος, δεικνύτωσαν ποῦ ἀγέννητον αὐτὸν ὁ Σωτὴρ εἴρηκεν. Εἰ μείζων πάντων ἐστὶν ὁ Θεός, πότερον ἡ οὐσίᾳ μείζων ἐστὶν ἢ τῷ πάντων αὐτὸν αἴτιον εἶναι, αὐτὸν δὲ μηδενὸς γεγεννῆσθαι; Εἰ μὲν γὰρ ἡ οὐσία καὶ πᾶσα ἡ οὐσία μείζων πάντων ἐστίν. Εἰ δὲ ἡ ἀγέννητος, οὐ ταὐτὸν ἄρα οὐσία καὶ ἀγέννητος. Εἰ τὸ ἀγέννητόν ἐστί τι καὶ τὸ ἀθάνατον καὶ τὸ ἀτελεύτητον καὶ τὸ ἄνοσον καὶ τὸ ἀγήρων ἔσται τι. Οὐκοῦν τῷ μὲν ἀγέννητος εἶναι ὑπερέξει πάντων, τοῖς δὲ ἄλλοις ταὐτὸν ἔσται ἀγγέλοις καὶ πνεύμασι καὶ ψυχαῖς· καὶ γὰρ ταῦτα ἀθάνατα καὶ ἀτελεύτητα. Εἰ δὲ μὴ ἀφ' ὧν οὐκ ἔστιν, ἀλλ' ἀφ' ὧν ἐστιν ὑπερέχει (οὐδὲ γὰρ ἄνθρωπος ἀλόγου βελτίων τῷ μὴ εἶναι ἄψυχος καὶ ἀναίσθητος· ταῦτα γὰρ καὶ τὸ ἄλο-

1. Ἰω. 5,43. 2. Ἰω. 5,23. 3. Ἰω. 17,6.

γον, ἀλλὰ τῷ εἶναι λογικός)· οὕτω καὶ ὁ Θεὸς οὐ τῷ ἀγέννητος, ἀλλὰ τῷ πάντων αἴτιος εἶναι ἔσται μείζων. Εἰ ἀντιδιαστέλλεται ὁ ἀγέννητος τῷ γεννητῷ, ὁ δὲ ἀγέννητος οὐσία ἁπλῆ· καὶ τῷ ἄτρεπτος καὶ ἀθάνατος καὶ ἀσχημάτιστος καὶ πᾶσιν ἀντιδιασταλήσεται πρὸς τὸν γεννητόν. Εἰ γάρ τινι μὲν ἀντιδιαστέλλεται, τοῖς δὲ λοιποῖς οὔ, σύνθετος καὶ οὐχ ἁπλοῦς. Εἰ ὁ γνοὺς ὅτι ἀγέννητός ἐστιν ὁ Θεὸς ὅ,τι ποτέ ἐστιν ὁ Θεὸς ἀκριβῶς ἔγνω, μεῖζον δὲ οὐδέν ἐστι τοῦ τὸν Θεὸν κατὰ τὴν αὐτοῦ φύσιν γνῶναι, ἀλλ' αὕτη ἐστὶν ἡ αἰώνιος ζωή, ὁ διδάξας ἡμᾶς ὅτι ἀγέννητός ἐστιν ὁ Θεὸς μείζων εὑρεθήσεται ὧν ὁ Θεὸς ἡτοίμασε τοῖς ἀγαπῶσιν αὐτόν. Ἐκείνων γὰρ οὐδὲν δυνατὸν ἄνθρωπον ὄντα γνῶναι· ὧν οὔτε ὀφθαλμός τις εἶδεν, οὔτε οὖς ἤκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη[1]· ἀλλὰ μὴν καὶ ἁμαρτωλοὶ τὸ ἀγέννητος ὄνομα ἤκουσαν· τὸ μεῖζον οὖν ἢ δι' ἑαυτοῦ ἢ δι' ἑτέρου ὁ Θεὸς τοὺς ἁμαρτωλοὺς διδάξας, τὸ ἧττον καὶ μηδὲν εἰς ζωὴν αἰώνιον συντελοῦν τοῖς δικαίοις ἐφύλαξε. Καὶ πῶς οὐκ ἄτοπον; Τὸ ἀγέννητος οὔτε ὅρος ἐστὶ Θεοῦ οὔτε ἴδιον. Ταῦτα γὰρ ἀντιστρέφει ἐκείνοις ὧν ὅρος ἢ ἴδιον τυγχάνουσιν. Ἄνθρωπος γὰρ ζῷον λογικόν, θνητόν, νοῦ καὶ ἐπιστήμης δεκτικόν· καὶ εἴ τι ζῷον λογικόν, θνητόν, νοῦ καὶ ἐπιστήμης δεκτικόν, ἄνθρωπος τοῦτο· ἴδιον δὲ ἀνθρώπου τὸ γελαστικόν, καὶ εἴ τι γελαστικόν, ἄνθρωπος. Τὸ δὲ ἀγέννητος εἴ τις συγχωρήσει ἐπὶ μόνου Θεοῦ **213** λέγεσθαι, οὐχ ἅμα καὶ εἴ τι Θεός, τοῦτο ἀγέννητον. Ὁ οὖν Υἱὸς Θεὸς ὢν οὐκ ἀγέννητός ἐστιν. Οὔτε γοῦν ὅρος οὔτε ἴδιον τὸ ἀγέννητος· οὐ γὰρ ἀντιστρέφει. Εἰ κτίσμα Θεοῦ ὁ Υἱός, πᾶν δὲ κτίσμα δοῦλον τοῦ κτιστοῦ, δοῦλος ὁ Χριστὸς καὶ οὐχ Υἱὸς τοῦ Θεοῦ. Οὐκ ἔλαβεν οὖν μορφὴν δούλου κύριος ὤν, ἀλλ' ἦν δοῦλος. Τὸ ποίημα τῷ ποιητῇ τῆς αὐτῆς δυνάμεως οὐ κοινωνεῖ. Οὐδὲν ἄρα κοινόν ἐστιν Υἱοῦ καὶ Πατρός, οὐδὲ ἡ κτίσις, εἴπερ ποίημα καὶ οὐ γέννημα ὁ Υἱός. Εἰ γέννημα ὁ Υἱός, οὐχ ὡς ἓν τῶν γεννημάτων, πᾶν δὲ γέννημα κτίσμα, οὐ κτίσμα ὁ Υἱός· οὐδὲ γὰρ γέννημα ὡς ἐκεῖνα. Εἰ ἐλάττονα ὁ Θεὸς δημιουργεῖν οὐκ ἠδύνατο τοῦ ἑνὸς Υἱοῦ διὰ τὸ μὴ πεφυκέναι· οὐδὲ ὁ Υἱὸς ἄρα διάφορα δημιουργήσει, ἀλλὰ ἕν τι. Εἰ τὰ ἐλάττω ὑπὸ ἐλάττονος δημιουργεῖται καὶ τὰ μείζονα δὲ ὑπὸ μείζονος, διὰ πολλῶν ἄρα ἡ κτίσις, ἐπεὶ οὐ πᾶσα ἴση. Εἰ δημιουργικὸς ὁ Θεὸς φύσει, οὐχ ἑνὸς ἔσται ἀλλὰ πολλῶν. Ἡ γὰρ ἀσθενείᾳ ἄλλο οὐ δημιουργεῖ ἢ φθόνῳ καὶ βασκανίᾳ. Εἰ διὰ Υἱοῦ Πατρὸς δύναμις ἐδημιούργησε, Πατὴρ καὶ οὐχ Υἱὸς ὁ δημιουργός, ὥσπερ οὐδὲ τὸ ἐργαλεῖον ὁ τεχνίτης. Οὐκ ἄρα οὖν ταπεινότερον ἢ κατὰ τὸν Πατέρα τὸ δημιουργεῖν τὰ ὑπὸ τοῦ Υἱοῦ γενόμενα. Εἰ τὴν δημιουργίαν τῆς οὔσης κτίσεως ἐπῃσχύνθη δι' ἑαυτοῦ ποιῆσαι ὁ Θεός, καὶ τὴν δοξολογίαν αὐτῆς οὐ προσίεται. Ἃ γὰρ ποιῆσαι ἐπῃσχύνετο, γενόμενα ἴδια νομισθῆναι οὐ θελήσει. Εἰ ταὐτὸν κτίζειν καὶ

1. Πρβλ. Α΄ Κορ. 2,9.

γεννᾶν τὸν Θεόν, ἐπειδὴ ἁπλοῦς· ταὐτὸν καὶ τὸ σῴζειν αὐτὸν καὶ ἀπολλύειν καὶ ζωογονεῖν καὶ ἀποκτείνειν. Εἰ δὲ τοῦτο, ταὐτὸν ἄρα σωτηρία καὶ ἀπώλεια καὶ ζωὴ καὶ θάνατος. Εἰ Θεοῦ Χριστὸς δύναμις καὶ σοφία[1], ταῦτα δὲ ἄκτιστα καὶ συναΐδια Θεῷ (οὐ γὰρ ἦν ποτε ἄσοφος καὶ ἀδύναμος), ἄκτιστος καὶ συναΐδιος Χριστὸς Θεῷ. Εἰ δέ, καθ' ὃ ἐνέργεια, δύναμις καὶ σοφία Θεοῦ λέγεται, καὶ ἡμεῖς δύναμις καὶ σοφία Κυρίου λεγοίμεθα ἂν ὡς αὐτὸς Θεοῦ. Ἀλλ' ἄτοπον. Εἰ μὴ ἄϊδιος Θεὸς ὁ Υἱός, ἐξ ἀνάγκης πρόσφατος· εἰ μὴ ἀληθινός, ψευδής· εἰ μὴ φύσει, θέσει. Ἀσεβῶν δὲ προσφάτοις καὶ ψευδέσι καὶ μὴ φύσει λατρεύειν. «Οὐκ ἔσται γάρ σοι, φησί, «Θεὸς πρόσφατος»[2]. Καὶ ὁ Παῦλος «ἀλλὰ τότε μὲν οὐκ εἰδότες Θεὸν ἐδουλεύσατε τοῖς φύσει μὴ οὖσι Θεοῖς»[3]. Ἢ ἀσεβεῖς οἱ οὕτω Χριστῷ λατρεύοντες· ἢ φύσει καὶ ἀληθινὸς Θεὸς καὶ εὐσεβεῖς. Εἰ δὲ Υἱὸς ἐνέργημα καὶ οὐ γέννημα, οὔτε ὁ ἐνεργήσας οὔτε μὴν **214** τὸ ἐνεργηθὲν αὐτός ἐστιν. Ἕτερον γαρ ἦν ἡ ἐνέργεια παρὰ ταῦτα ἀλλὰ καὶ ἀνυπόστατος. Οὐδεμία γὰρ ἐνέργεια ἐνυπόστατος. Εἰ δὲ τὸ ἐνεργηθέν, τρίτος ἐκ Πατρὸς καὶ οὐκ ἀμεσίτευτος. Ὁ ἐνεργήσας γὰρ πρῶτος, εἶτα ἡ ἐνέργεια, καὶ οὕτω τὸ ἐνεργηθέν. Εἰ μονογενὴς ὁ Υἱὸς διὰ τὸ μόνος ἐκ μόνου γεγεννῆσθαι· μονόκτιστος κυριώτερον ἂν λέγοιτο, κτίσμα μὲν ἀληθῶς κατ' Εὐνόμιον ὤν, γέννημα δὲ ψευδωνύμως καλούμενος. Εἰ ὁ Υἱὸς δημιούργημα τοῦ Πατρὸς μόνος, τὰ δὲ πάντα τοῦ Υἱοῦ, εἰπὼν «τὰ ἐμὰ πάντα σά ἐστι»[4], δυνατὸν εἰπεῖν· ἐπαγαγὼν δὲ «καὶ τὰ σὰ ἐμά»»[5] κατ' Εὐνόμιον οὐκέτι καλῶς. Αὐτὸς γὰρ ἑαυτοῦ εἶναι οὐκ ἠδύνατο· φαίνεται οὖν ὅτι περὶ τῆς ὁμοιότητος καὶ τῆς κατὰ πάντα ἀπαραλλάκτου καὶ ὁμοίας οὐσίας αὐτῶν, οὐ περὶ κτισμάτων διαλεχθείς. Εἰ Θεὸς ὁμοίως κτίζει καὶ γεννᾷ, ὁμοίως καὶ κτίστης ἡμῶν καὶ Πατήρ ἐστιν ὁ Χριστός. Θεὸς γὰρ καὶ οὐ χρεία τῆς διὰ τοῦ Ἁγίου Πνεύματος υἱοθεσίας. Ὥσπερ οὐδὲ τοῦ δι' ἄλλου τινὸς γεγεννῆσθαι ἡμᾶς αὐτοῦ κτίσματα. Καίτοι γε πολλὰ τῶν κτισμάτων οὐδὲ τὸ τῆς υἱοθεσίας πνεῦμα φύσιν ἔχει δέχεσθαι, ὡς τὰ ἄλογα καὶ τὰ ἄψυχα. Εἰ ἡμεῖς κτίσματα ὄντες διὰ τῆς τοῦ Ἁγίου Πνεύματος υἱοθεσίας υἱοὶ γινόμεθα, λεγέτωσαν, εἰ καὶ ὁ Υἱὸς κτίσμα ἐστί, διὰ τίνος εἰς υἱοθεσίαν τοῦ Πατρὸς ἐγένετο; Εἰ πάντα ὅσα ἔχει ὁ Πατὴρ καὶ τοῦ Υἱοῦ ἐστιν, οὐδὲν δὲ ἔχει ὁ Πατὴρ χωρὶς τῶν διὰ τοῦ Υἱοῦ γενομένων, εἰ μή, κατ' αὐτούς, αὐτὸν μόνον· καὶ αὐτὸς ἑαυτὸν ἔχειν ὀφείλει· ὅπερ ἀδύνατον. Εἰ ἡ εἰκὼν πάντως ὁμοία, καθοτιοῦν ὁ Υἱός ἐστιν εἰκών· ἡ δὲ κτίσις κατ' οὐδὲν ὁμοία τῷ κτίσαντι, ἀλλὰ κατὰ πάντα ἀνόμοιος, εἰκὼν ὢν τοῦ Πατρὸς ὁ Υἱός, οὐκ ἂν εἴη κτίσις αὐτοῦ. Εἰ τὸ ἀσώματον γεννῶν ἀνάγκη ὡς σῶμα γεννᾷ· καὶ βλέπον ὡς σῶμα βλέψει· καὶ ἀκοῦον ὡς σῶμα ἀκούσει· καὶ πᾶσαν ἐνέργειαν ὡς σῶμα ἐνεργήσει. Εἰ δὲ ταῦτα ἑτέ-

---

1. Α' Κορ. 1,24. 2. Ψαλ. 30,10. 3. Γαλ. 4,8. 4. Ἰω. 17,10. 5. Ἔνθ' ἀν.

ρως καὶ γεννῶν ἑτέρως δηλονότι γεννήσει. Ὁ αὐτός τις οὐκ ἔχει, ἑτέροις χαρίζεσθαι οὐ δύναται. Εἰ οὖν κτίσμα καὶ δοῦλος ὁ Υἱός, ἐλευθέρους ἄλλους ποιεῖν οὐ δύναται. Τὸ φύσει μέσον τινῶν ἑκατέρων τῶν ἄκρων ἐφάπτεται. Εἰ οὖν φύσει μεσίτης Χριστὸς Θεοῦ καὶ ἡμῶν, καὶ οὐ κατ' οἰκονομίαν, φύσει συνῆπται Θεὸς καὶ κτίσις. Εἰ ὅμοιός ἐστιν ὁ Υἱὸς τῷ Πατρί, οὐ κατ' οὐσίαν δέ, λείπεται ἢ κατὰ μορφὴν ἢ κατ' ἐνέργειαν· ἀλλὰ μορφῇ μὲν ἀδύνατον (οὐδὲν γὰρ ἀσώματον ἐν μορφῇ)· εἰ δὲ **215** κατ' ἐνέργειαν, οὐκ ἂν καὶ αὐτὸς ἀλλοῖόν τι, ἀλλὰ τοιοῦτον οἷον αὐτός ἐστιν ἐνήργησεν ἄν, εἴπερ ποίημα τοῦ Πατρὸς καὶ οὐ γέννημα. Ἄλλως δὲ καὶ προείρηται καὶ κατ' ἐνέργειαν ὅμοιον ἐξ ἀνάγκης καὶ κατ' οὐσίαν ὅμοιον εἶναι. Εἰ τὰ ἔργα τοῦ Θεοῦ ἐν πίστει καὶ οὐκ ἐν ἀποδείξει, κατὰ τὸν Δαβὶδ τὸν εἰπόντα καὶ πάντα τὰ ἔργα αὐτοῦ ἐν πίστει[1], πόσῳ μᾶλλον ἡ τοῦ Υἱοῦ πρὸ αἰώνων ἐκ Πατρὸς γέννησις ἐν πίστει καὶ οὐκ ἐν ἀποδείξει; Εἰ ἐξ οὐκ ὄντων ὁ Θεὸς τὸν Υἱὸν ἐποίησε καὶ ὁ Υἱὸς δὲ ἐξ οὐκ ὄντων τὰ πάντα, ἡ αὐτὴ δύναμις καὶ ἐνέργεια τῶν ἐξ οὐκ ὄντων ὃ βούλονται δημιουργεῖν δυναμένων, οὐδαμοῦ τῆς διαφορᾶς τῶν δημιουργημένων σκοπουμένης. Ἐπεὶ καὶ τῆς κτίσεως ἐν πολλοῖς κατὰ πολλὰ διαφόρου τυγχανούσης, οὐ διάφοροι οἱ δημιουργοί, ἀλλ' οἷς ὁ Υἱός, «δι' οὗ τὰ πάντα ἐγένετο»[2]. Εἰ τῶν ἐξ οὐκ ὄντων πρῶτον Θεοῦ ποίημα ὁ Χριστὸς καὶ οὕτω πιστεύοντες αὐτῷ λατρεύουσιν Ἀρειανοί, Ἰὼβ δὲ πρῶτον ποίημα Θεοῦ τὸν διάβολον λέγει εἰπὼν «τοῦτό ἐστι πρῶτον ἀρχὴ πλάσματος Κυρίου»[3]· λανθάνουσι τῷ διαβόλῳ λατρεύοντες καὶ οὐχὶ τῷ Υἱῷ τοῦ Θεοῦ. Εἰ δὲ τοῦ Υἱοῦ τὸ πρῶτον αὐτὸν εἰρηκέναι ποίημα λέξουσιν, οὐκέτι ποίημα τὸ Πνεῦμα κατ' αὐτοὺς τοῦ Κυρίου ἢ καὶ μετὰ τὸν διάβολον γενόμενον εὑρεθήσεται. Εἰ ἡ πίστις ἡμῶν ἡ εἰς τὸν Υἱὸν ἔργον ἐστὶ τοῦ Θεοῦ· «τοῦτο γάρ», φησίν, «ἐστι τὸ ἔργον τοῦ Θεοῦ, ἵνα πιστεύητε εἰς ὃν ἀπέστειλεν ἐκεῖνος»[4]· αὐτὸς ἔργον οὐ δύναται εἶναι Θεοῦ. Οὐ ταὐτὸν γὰρ ἡ εἰς αὐτὸν πίστις καὶ αὐτός. Εἰ θεϊκῶς ὁ Υἱὸς τῷ Πατρὶ ὑποτάσσεται[5], ἐξ ἀρχῆς ἂν ὑπετέτακτο, ἐξ οὗ καὶ Θεὸς ἦν. Εἰ δὲ οὐχ ὑπετέτακτο, ἀλλ' ὕστερον ὑποταγήσεται, ἀνθρωπίνως ὡς ὑπὲρ ἡμῶν καὶ οὐ θεϊκῶς ὑπὲρ ἑαυτοῦ. Εἰ μετὰ τὴν ἐνανθρώπησιν διὰ τὴν ὑπακοὴν τὸ ὑπὲρ πᾶν ὄνομα τῷ Υἱῷ Θεῷ ὄντι ὁ Πατὴρ ἐχαρίσατο[6] καὶ πᾶσα γλῶσσα ἐξωμολογήσατο Κύριον[7], πρὸ τῆς ἐνανθρωπήσεως οὔτε τὸ «ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα»[8] εἶχεν οὔτε παρὰ πάντων τὴν ὁμολογίαν τοῦ εἶναι Κύριος. Μείζων οὖν ἐγένετο μετὰ τὴν ἐνανθρώπησιν τοῦ πρὸ τῆς ἐνανθρωπήσεως, ὅπερ ἄτοπον. Τοιοῦτο δέ ἐστι καὶ τὸ «ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς»[9]. Εἰς τὴν ἐνανθρώπησιν οὖν καὶ οὐκ εἰς τὴν θεότητα ταῦτα

---

1. Ψαλ. 32,4. 2. Πρβλ. 1,3. 3. Ἰὼβ 40,19. 4. Ἰω. 6,29. 5. Πρβλ. Α' Κορ. 15,28. 6. Πρβλ. Φιλιπ. 2,9. 7. Πρβλ. Φιλιπ. 2,11. 8. Ἔνθ' ἀν. 2,10. 9. Ματθ. 22,18.

νοεῖν δεῖ. Τὸ **216** μεῖζον[1] ἢ μεγέθει ἢ χρόνῳ ἢ ἀξιώματι ἢ δυνάμει ἢ ὡς αἴτιον μεῖζον λέγεται. Ἀλλὰ μεγέθει μὲν ὁ Πατὴρ τοῦ Υἱοῦ οὐκ ἂν λεχθείη μείζων· ἀσώματος γάρ. Ἀλλ' οὐδὲ χρόνῳ· ὁ γὰρ Υἱὸς αὐτῶν δημιουργός. Ἀλλ' οὐδὲ ἀξιώματι· οὐ γὰρ ἐγένετο ὃ οὐκ ἦν ποτε. Οὔτε μὴν δυνάμει· πάντα γὰρ ὅσα ὁ Πατὴρ ποιεῖ καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ»[2]. Οὔτε ὡς αἴτιος· ἐπεὶ ὁμοίως καὶ αὐτοῦ καὶ ἡμῶν μείζων, εἴπερ γὰρ αὐτοῦ καὶ ἡμῶν αἴτιος. Τιμὴν τοίνυν μᾶλλον τὸ ῥηθὲν Υἱοῦ πρὸς Πατέρα, οὐκ ἐλάττωσιν τοῦ εἰπόντος δείκνυσιν, ἔπειτα τὸ μεῖζον οὐ πάντως καὶ ἑτεροούσιον. Ἄνθρωπος γὰρ ἀνθρώπου μείζων λέγεται καὶ ἵππος ἵππου. Ὥστε, εἰ καὶ μείζων ὁ Πατὴρ λέγεται, οὐκ εὐθὺς καὶ οὐσίας ἑτέρας. Καθόλου δὲ τὰ συγκριτικὰ ἐπὶ τῶν ὁμοουσίων καὶ οὐκ ἐπὶ τῶν ἑτεροουσίων λέγεται. Μείζων γὰρ ἄνθρωπος ἀλόγου οὐ κυρίως λέγεται οὐδὲ ἄλογον ἀψύχου, ἀλλ' ἄνθρωπος ἀνθρώπου καὶ ἄλογον ἀλόγου· ὁμοούσιος οὖν ὁ Πατὴρ τῷ Υἱῷ κἂν μείζων λέγηται. Εἰ δημιουργὸς τῶν ὅλων ὁ Υἱός, τὸν δὲ χρόνον τῆς κρίσεως οὐκ οἶδεν[3]· ὃ ἐδημιούργησεν οὐκ οἶδεν. Οὐ γὰρ τὴν κρίσιν εἶπεν ἀγνοεῖν, ἀλλὰ τὸν χρόνον καὶ πῶς οὐκ ἄτοπον; Εἰ τὴν γνῶσιν πάντων, ὧν ὁ Πατὴρ ἔχει, ὁ Υἱὸς οὐκ ἔχει, ἐψεύσατο εἰπών· «πάντα ὅσα ἔχει ὁ Πατήρ ἐμά ἐστι»[4]. Καὶ «καθὼς ὁ Πατὴρ γινώσκει με, κἀγὼ γινώσκω αὐτόν»[5]. Εἰ δὲ ἕτερον τὸ τὸν Πατέρα εἰδέναι καὶ ἕτερον τὰ τοῦ πατρός· μεῖζον δὲ τὸ εἰδέναι τὸν Πατέρα τοῦ τὰ αὐτοῦ εἰδέναι (καθόσον ἕκαστος αὐτὸς τῶν ἑαυτοῦ μείζων)· τὸ μεῖζον ὁ Υἱὸς εἰδὼς («οὐδεὶς γάρ», φησιν, «οἶδε τὸν Πατέρα εἰ μὴ ὁ Υἱός»[6]) τὸ ἔλαττον οὐκ ἤδει, ὅπερ ἀδύνατον. Διὰ τὸ μὴ συμφέρειν οὖν τοῖς ἀνθρώποις ἀκοῦσαι τὸν καιρὸν τῆς κρίσεως ἀπεσιώπησεν· ἡ μὲν γὰρ ἀεὶ προσδοκία θερμοτέρους περὶ τὴν ἀσέβειαν ἀπεργάζεται. Ἡ δὲ τοῦ πολὺν τὸν μεταξὺ χρόνον ἔσεσθαι γνῶσις ὀλιγωροτέρους ἂν περὶ τὴν εὐσέβειαν ἐποίησεν, ἐλπίδι τοῦ καὶ ὕστερον μεταβαλλομένους δυνηθῆναι σωθῆναι. Ἐπεὶ πῶς ὁ πάντα μέχρι τῆς ὥρας ἐκείνης εἰδὼς (εἴπε γοῦν αὐτὰ) οὐχὶ κἀκείνην τὴν ὥραν ἤδει; Μάτην δὲ καὶ ὁ ἀπόστολος ἔλεγεν «ἐν ᾧ εἰσι πάντες οἱ θησαυροὶ τῆς σοφίας καὶ γνώσεως ἀπόκρυφοι»[7]. Εἰ τὸ Ἅγιον Πνεῦμα τὰ βάθη τοῦ Θεοῦ ἐρευνῶν οὐδὲν ἀγνοεῖν τῶν τοῦ Θεοῦ δύναται[8], ὁ δὲ Υἱὸς ἀγνοεῖ· μεῖζον κατ' αὐτοὺς τὸ **217** Ἅγιον Πνεῦμα τοῦ Υἱοῦ, ὅπερ οὐδὲ ἴσον εἶναι θέλουσιν. Εἰ ἀληθῶς ὁ Υἱὸς ἔλεγε· «Πάτερ, εἰ δυνατὸν παρελθέτω τὸ ποτήριον τοῦτο»[9], οὐ δειλίαν ἑαυτοῦ καὶ ἀσθένειαν κατηγόρει μόνον, ἀλλὰ εἶναί τι καὶ ἀδύνατον τῷ Πατρὶ ἐνόμιζεν. Τὸ γὰρ «εἰ δυνατὸν» ἀμφιβάλλοντος ἦν καὶ οὐ πεπεισμένου δύνασθαι τὸν Πατέρα σῶσαι αὐτόν. Πῶς δὲ καὶ ὁ νεκροῖς τὸ ζῆν χαριζόμενος οὐ πολλῷ μᾶλλον τοῖς ζῶσιν

---

1. Πρβλ. Ἰω. 14,28. 2. Ἰω. 5,19. 3. Πρβλ. Ματθ. 24,6. 4. Ἰω. 16,15. 5. Ἰω. 10,15. 6. Πρβλ. 11,27. 7. Κολ. 2,3. 8. Α' Κορ. 2,10. 9. Ματθ. 26,39.

τὸ ζῆν φυλάττειν ἠδύνατο; Διατί οὖν ὁ Λάζαρον καὶ πολλοὺς νεκροὺς ἀναστήσας οὐχ ἑαυτῷ παρέχει τὸ ζῆν, ἀλλὰ παρὰ τοῦ Πατρὸς ᾔτει τὸ ζῆν, φοβούμενος εἰπών· «Πάτερ, εἰ δυνατὸν παρελθέτω τὸ ποτήριον τοῦτο»[1]; Καὶ εἰ ἄκων δὲ ἀπέθνῃσκεν, οὐκέτι ταπεινώσας ἑαυτὸν ὑπήκοος μέχρι θανάτου ἐγένετο τῷ Πατρί, οὐδὲ δέδωκεν ἑαυτόν, ὥς φησιν ὁ ἀπόστολος· «τοῦ δόντος ἑαυτὸν λύτρον ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν»[2]. Εἰ δὲ ἑκών, τίς χρεία τοῦ «Πάτερ, εἰ δυνατὸν παρελθέτω τὸ ποτήριον τοῦτο»[3]; Ἐπὶ τῶν οὖν εἰς αὐτὸν ἁμαρτάνειν μελλόντων, ἵνα μὴ ἁμαρτῶσι καὶ οὐκ ἐπ' αὐτοῦ τοῦτο δεκτέον. Ὑπὲρ ὧν καὶ σταυρωθεὶς ἔλεγε· «Πάτερ, ἄφες αὐτοῖς, ὅτι οὐκ οἴδασί τί ποιοῦσιν»[4]. Οὐ δεῖ οὖν τὰ κατ' οἰκονομίαν ὡς ἁπλῶς εἰρημένα ἐκδέχεσθαι. Εἰ διὰ τὸν Πατέρα ὁ Υἱὸς ζῇ[5], δι' ἕτερον καὶ οὐ δι' ἑαυτὸν ζῇ. Ὁ δὲ δι' ἕτερον ζῶν αὐτοζωὴ εἶναι οὐ δύναται. Οὐδὲ γὰρ ὁ κατὰ χάριν ἅγιος αὐτοάγιος. Ἐψεύσατο οὖν ὁ Υἱὸς εἰπών· «ἐγώ εἰμι ἡ ζωή»[6]· καὶ πάλιν· «οὕτω καὶ ὁ Υἱὸς οὓς θέλει ζωοποιεῖ»[7]. Εἰς τὴν ἐνανθρώπησιν οὖν καὶ οὐκ εἰς τὴν θεότητα τὸ εἰρημένον νοεῖν δεῖ. Εἰ τὸ αὐτεξούσιον τοῦ ὑπεξουσίου βέλτιον, ὁ δὲ ἄνθρωπος αὐτεξούσιος, ὁ δὲ Υἱὸς τοῦ Θεοῦ ὑπεξούσιος[8], ὁ ἄνθρωπος τοῦ Υἱοῦ βελτίων· ὅπερ ἄτοπον. Καὶ εἰ ὁ ὑπεξούσιος δὲ αὐτεξουσίους ποιεῖν οὐ δύναται (ὃ γὰρ αὐτὸς οὐκ ἔχει, ἄλλοις ἐκ προαιρέσεως διδόναι οὐ δύναται), ὁ Σωτὴρ αὐτεξουσίους ποιήσας ἡμᾶς οὐκ ἂν ὑπεξούσιος εἴη τινί. Εἰ μηδὲν ὁ Σωτὴρ ἀφ' ἑαυτοῦ ποιεῖν ἠδύνατο, ἀλλ' ἐπιτάσσοντος τοῦ Πατρός, οὐδὲ ἀγαθός, οὐδὲ κακός· οὐδενὸς γὰρ τῶν γενομένων αἴτιος. Καὶ πῶς οὐκ ἄτοπον, ἀνθρώπους μὲν καὶ ἀγαθῶν καὶ κακῶν εἶναι ποιητὰς αὐτεξουσίως, τὸν δὲ Υἱὸν Θεὸν ὄντα μηδενὸς κατ' ἐξουσίαν εἶναι ποιητήν; Εἰ ἄμπελος, φασίν, ὁ Σωτήρ, κλήματα δὲ ἡμεῖς[9], **218** γεωργὸς δὲ ὁ Πατήρ[10], τὰ δὲ κλήματα ὁμοφυῆ μὲν τῇ ἀμπέλῳ, ἡ δὲ ἄμπελος οὐχ ὁμοφυὴς τῷ γεωργῷ· ὁμοφυὴς μὲν ἡμῖν ὁ Υἱὸς καὶ μέρος ἡμεῖς αὐτοῦ, οὐχ ὁμοφυὴς δὲ ὁ Υἱὸς τῷ Πατρί, ἀλλὰ κατὰ πάντα ἀλλότριος. Πρὸς οὓς ἐροῦμεν, οὐ τῆς θεότητος αὐτοῦ, ἀλλὰ τῆς σαρκὸς εἰρηκέναι ἡμᾶς κλήματα, κατὰ τὸν ἀπόστολον τὸν εἰπόντα· «ἡμεῖς γάρ ἐσμεν σῶμα Χριστοῦ καὶ μέλη ἐκ μέρους»[11]. Καὶ πάλιν· «οὐκ οἴδατε ὅτι τὰ σώματα ὑμῶν μέλη Χριστοῦ ἐστι»[12]; Καὶ ἐν ἄλλοις· «οἷος ὁ χοϊκός, τοιοῦτοι καὶ οἱ χοϊκοί. Καὶ οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι. Καὶ καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσομεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου»[13]. Εἰ ἀνδρὸς κεφαλὴ ὁ Χριστός, Χριστοῦ δὲ κεφαλὴ ὁ Θεός, ἄνθρωπος δὲ τῷ Θεῷ Χριστῷ οὐχ ὁμοούσιος (οὐ γὰρ Θεός), Χριστὸς δὲ Θεῷ ὁμοούσιος (Θεὸς γάρ)· οὐκ ἄρα ὡς ἀνδρὸς κεφαλὴ Χριστός, οὕτω Θεὸς Χριστοῦ, ἡ γὰρ κτίσεως φύσις καὶ ἡ κτιστικὴ

---

1. Ματθ. 26,39. 2. Πρβλ. Γ'αλ. 1,4. Α' Τιμ. 2,6. 3. Ματθ. 26,39. 4. Λουκ. 23,34. 5. Πρβλ. Ἰω. 6,57. 6. Πρβλ. Ἰω. 11,25. 7. Ἰω. 5,21. 8. Πρβλ. Ἰω. 5,19. 9. Πρβλ. Ἰω. 15,25. 10. Πρβλ. Ἰω. 15,1. 11. Πρβλ. Α' Κορ. 12,27. 12. Α' Κορ. 6,15. 13. Α' Κορ. 15,48-49.

θεότης εἰς ἓν καὶ ταὐτὸν οὐ συμβαίνουσιν. Οὐκοῦν ὁ μὲν ὡς Πατὴρ κεφαλὴ Χριστοῦ, ὁ δὲ ὡς ποιητὴς ἡμῶν. Εἰ τὸ θέλημα τοῦ Πατρός ἐστι τὸ πιστεύειν ἡμᾶς εἰς τὸν Υἱὸν αὐτοῦ («τοῦτο γάρ ἐστι τὸ θέλημα τοῦ πέμψαντός με, ἵνα πᾶς ὁ θεωρῶν τὸν Υἱὸν καὶ πιστεύων εἰς αὐτὸν ἔχῃ ζωὴν αἰώνιον»[1]), οὐκ ἐκ θελήματος ὁ Υἱός, ἐπεὶ τὸ πιστεύειν ἡμᾶς εἰς αὐτὸν ἢ σὺν αὐτῷ ἢ πρὸ αὐτοῦ εὑρίσκεται. Εἰ μὴ ἀγαθὸς ὁ Σωτήρ, ἀνάγκῃ κακός· ἁπλοῦς γὰρ καὶ οὐκ ἐνδεχόμενός τι τῶν ἐν μέσῳ. Καὶ πῶς οὐκ ἄτοπον τὸν τῶν ἀγαθῶν ποιητὴν κακὸν εἶναι; Καὶ εἰ ἡ ζωὴ ἀγαθόν, τὰ δὲ ῥήματα τοῦ Υἱοῦ ζωή ἐστιν, ὡς αὐτὸς εἶπε· «τὰ ῥήματα ἃ λελάληκα ὑμῖν πνεῦμά ἐστι καὶ ζωή ἐστι»[2], πῶς «ἀγαθὲ διδάσκαλε»[3] ἀκούσας παρὰ τοῦ Φαρισαίου «οὐδείς», φησίν, «ἀγαθὸς εἰ μὴ εἷς ὁ Θεός»[4]; Οὐ γὰρ «ἀγαθὸς» ἀκούσας μόνον εἶπεν «οὐδεὶς ἀγαθός», ἀλλὰ «διδάσκαλος ἀγαθός». Ὡς πρὸς πειράζοντα οὖν ἀπεκρίνατο, ὥς φησι τὸ Εὐαγγέλιον, ἢ ὡς ἀγνοήσαντα ὅτι Θεὸς ἀγαθός ἐστι, καὶ οὐχ ἁπλῶς διδάσκαλος ἀγαθός. Εἰ δοξασθῆναι παρὰ τοῦ Πατρὸς αἰτῶν ὁ Υἱὸς θεϊκῶς καὶ οὐκ ἀνθρωπίνως ᾔτει[5]· ὃ οὐκ εἶχεν ᾔτει, καὶ ψεύδεται ὁ Εὐαγγελιστὴς εἰπὼν «ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ»[6]. Καὶ ὁ 'Απόστολος «οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν»[7]. Καὶ ὁ Δαβίδ· «καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς **219** δόξης»[8]. Οὐ προσθήκην οὖν δόξης αἰτεῖ, ἀλλὰ τῆς οἰκονομίας τὴν φανέρωσιν γενέσθαι. Εἰ τὴν δόξαν, ἣν εἶχε πρὸ τοῦ τὸν κόσμον γενέσθαι, ἀληθῶς παρὰ τοῦ Πατρὸς ᾔτει[9], ἀποβαλὼν αὐτὴν ᾔτει. Οὐ γὰρ ἂν ὃ εἶχε λαβεῖν ἐπεζήτει. Εἰ δὲ τοῦτο· οὐ τὴν δόξαν ἀποβεβλήκει μόνον, ἀλλὰ καὶ τὴν θεότητα. 'Αχώριστος γὰρ ἡ δόξα τῆς θεότητος. Ψιλὸς οὖν κατὰ Φωτεινὸν ἦν ἄνθρωπος ἄρα. Φαίνεται οὖν τὰ τοιαῦτα κατ' οἰκονομίαν τῆς ἀνθρωπότητος, οὐ κατ' ἔλλειψιν τῆς θεότητος εἰρηκώς. Εἰ πρὸ τῆς κτίσεως ὁ Υἱὸς οὐ γέννημά ἐστι, ἀλλὰ κτίσμα, πρωτόκτιστος ἂν ἐλέγετο καὶ οὐ πρωτότοκος. Εἰ, ἐπειδὴ πρωτότοκος τῆς κτίσεως[10] εἴρηται, πρωτόκτιστός ἐστι, καὶ πρωτότοκος εἰρημένος τῶν νεκρῶν[11], προτελευτήσας ἂν εἴη τῶν νεκρῶν. Ὁ δὲ πρωτότοκος νεκρῶν εἴρηται διὰ τὸ αἴτιος εἶναι τῆς ἐκ νεκρῶν ἀναστάσεως, οὕτω καὶ πρωτότοκος κτίσεως διὰ τὸ αἴτιος εἶναι τοῦ ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παραγαγεῖν τὴν κτίσιν. Εἰ τὸ πρωτότοκος εἰρῆσθαι τῆς κτίσεως πρῶτον αὐτὸν γεγεννῆσθαι δείκνυσιν, ὁ 'Απόστολος εἰπὼν «πάντα δι' αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται»[12] ὤφειλεν εἰπεῖν· «καὶ αὐτὸς ἐγένετο πρὸ πάντων»[13]. Εἰπὼν δὲ «καὶ αὐτός ἐστι πρὸ πάντων»[14] ἔδειξε τὸν μὲν ἀεὶ ὄντα, τὴν δὲ κτίσιν γενομένην. Τὸ γὰρ «ἐστι» τῷ «ἐν ἀρχῇ ἦν ὁ Λόγος» συνάδει. Εἰ πρωτότοκος, φασίν, ὁ Υἱός, οὐκέτι μονογενής· ἀλλ' ὀφείλει καὶ ἄλλος εἶναι, οὗ πρωτότοκος λέγηται. Καίτοι γε, ὦ

---

1. 'Ιω. 6,40. 2. 'Ιω. 6,63. 3. Ιρβλ. Μάρκ. 10,17. 4. Μάρκ. 10,18. 5. Ιρβλ. 'Ιω. 17,5. 6. 'Ιω. 1,14. 7. Α' Κορ. 2,8. 8. Ψαλ. 23,7. 9. Ιρβλ. 'Ιω. 17,5. 10. Ιρβλ. Κολ. 1,15. 11. Ιρβλ. 'Αποκ. 1,5. 12. Κολ. 1,16. 13. Κολ. 1,17. 14. 'Ιω. 1,1.

σοφέ, καὶ ἐκ Μαρίας τῆς παρθένου μόνος γεννηθεὶς πρωτότοκος αὐτῆς εἴρηται. «Ἕως οὗ γὰρ ἔτεκε, φησί, τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον»[1]. Ὥστε οὐκ ἀνάγκη ἀδελφοῦ πρωτότοκον λέγεσθαι. Λεχθείη δ' ἂν ὅτι καὶ ὁ πρὸ πάσης γεννήσεως πρωτότοκος ἐλέγετο. Ἔτι δὲ καὶ πρὸς τοὺς διὰ υἱοθεσίας τοῦ Ἁγίου Πνεύματος ἐκ Θεοῦ γεννωμένους, ὡς ὁ Παῦλός φησιν «ὅτι οὓς προέγνω καὶ προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ, εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς»[2]. Εἰ ὁ ἐν σαρκί φησιν «ἐγώ εἰμι ἡ ὁδὸς»[3]· καὶ ὁ αὐτός· «οὐδεὶς ἔρχεται πρὸς τὸν Πατέρα εἰ μὴ δι' ἐμοῦ»[4]· αὐτός ἐστι καὶ ὁ εἰπών· «Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ»[5]. Λέγεται δὲ καὶ ἐπὶ γεννήματος κτίσμα καὶ ποίημα, ὡς τὸ «ἐκτησάμην ἄνθρωπον διὰ τοῦ Θεοῦ»[6]. Καὶ πάλιν· «ἐποίησεν υἱοὺς καὶ θυγα**220**τέρας»[7]. Καὶ ὁ Δαβίδ· «καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός»[8], οὐκ ἄλλην αἰτῶν, ἀλλὰ τὴν οὖσαν καθαρθῆναι δηλονότι. Εἴρηται δὲ καὶ καινὴ κτίσις, οὐχ ὡς ἄλλης κτίσεως γενομένης, ἀλλὰ τῶν φωτιζομένων ἐπὶ βελτίοσιν ἔργοις κατασκευαζομένων. Εἰ εἰς ἔργα τὸν Υἱὸν ὁ Πατὴρ ἔκτισεν, οὐ δι' αὐτόν, ἀλλὰ δ ἃ ἔργα αὐτὸν ἔκτισεν. Τὸ δὲ δι' ἕτερον καὶ οὐ δι' αὐτὸ γινόμενον ἢ μέρος ἐκείνου δι' ὃ ἐγένετο ἢ ἧττον αὐτοῦ. Ἔσται οὖν ἢ μέρος ὁ Σωτὴρ τῆς κτίσεως ἢ ἥττων τῆς κτίσεως. Ἀνάγκη οὖν εἰς τὴν ἀνθρωπότητα αὐτοῦ νοεῖν. Εἴποι δ' ἄν τις καὶ τὸν Σολομῶντα περὶ τῆς σοφίας ἐκείνης εἰρηκέναι ταῦτα, ἧς καὶ ὁ Ἀπόστολος μέμνηται εἰπών «ἐπειδὴ γὰρ ἐν τῇ σοφίᾳ τοῦ Θεοῦ οὐκ ἔγνω ὁ κόσμος διὰ τῆς σοφίας τὸν Θεόν»[9]. Ἄλλως τε καὶ οὐδὲ προφήτης ὁ εἰπών, ἀλλὰ παροιμιαστής· αἱ δὲ παροιμίαι εἰκόνες ἑτέρων, οὐκ αὐτὰ τὰ λεγόμενα. Εἰ ὁ Θεὸς Υἱὸς ἦν ὁ λέγων· «Κύριος ἔκτισέ με»[10], μᾶλλον ἂν εἶπεν· «ὁ Πατὴρ ἔκτισέ με». Οὐδαμοῦ γὰρ αὐτὸν Κύριον ἑαυτοῦ, ἀεὶ δὲ Πατέρα ἐκάλει. Ληπτέον οὖν τὸ μὲν «ἐγέννησεν» ἐπὶ τοῦ Θεοῦ Υἱοῦ· τὸ δὲ «ἔκτισεν» ἐπὶ τοῦ τὴν μορφὴν τοῦ δούλου λαβόντος. Ἐν πᾶσι δὲ τούτοις οὐ δύο λέγομεν, Θεὸν ἰδίᾳ καὶ ἄνθρωπον ἰδίᾳ (εἷς γὰρ ἦν), ἀλλὰ κατ' ἐπίνοιαν τοῦ ἑκάστου φύσιν λογιζόμενοι. Οὐδὲ γὰρ Πέτρος δύο ἐνόησεν εἰπών· «Χριστοῦ οὖν παθόντος ὑπὲρ ἡμῶν σαρκί»[11]. Εἰ γέννημα, φασίν, ὁ Υἱός ἐστι καὶ οὐ ποίημα, πῶς ἡ Γραφὴ λέγει «ἀσφαλῶς οὖν γινωσκέτω πᾶς οἶκος Ἰσραὴλ ὅτι καὶ Κύριον αὐτὸν καὶ Χριστὸν ὁ Θεὸς ἐποίησε»[12]; Ῥητέον οὖν καὶ ἐνταῦθα περὶ τοῦ ἐκ Μαρίας τὸ κατὰ σάρκα εἰρῆσθαι. Ὡς γοῦν καὶ ὁ ἄγγελος ὁ εὐαγγελιζόμενος τοὺς ποιμένας λέγει· «ὅτι ἐτέχθη ὑμῖν σήμερον Σωτήρ, ὅς ἐστι Χριστὸς Κύριος»[13]. Τὸ γὰρ «σήμερον» οὐκ ἂν περὶ τοῦ πρὸ αἰώνων νομισθείη. Σαφέστερον δὲ τὸ ἑξῆς δείκνυσι λέγοντος· «τοῦτον τὸν Ἰησοῦν ὃν ὑμεῖς ἐσταυρώσατε»[14]. Εἰ, ὅτε ἐγεννήθη ὁ Υἱός,

---

1. Ματθ. 1,25. 2. Ρωμ. 8,29. 3. Ἰω. 14,6. 4. Ἔνθ' ἀν. 5. Παρμ. 3,22. 6. Γεν. 4,1. 7. Πρβλ. Γεν. 5,4. 8. Ψαλ. 50,12. 9. Α' Κορ.1,21. 10. Παρμ. 8,22. 11. Α' Πέτρ. 4,1. 12. Πράξ. 2,36. 13. Λουκ. 2,11. 14. Πράξ. 2,36.

τότε σοφία ἐγένετο, ψευδὲς τό· «Χριστὸς Θεοῦ δύναμις καὶ Θεοῦ σοφία»[1]. Ἡ γὰρ αὐτοῦ σοφία οὐκ ἐγένετο, ἀλλ' ἦν ἀεί. Καὶ τοῦτο οὖν ὡς ἐπὶ τοῦ Πατρὸς λεγόμενον παρὰ Δαβίδ· «γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστήν»[2]. Καὶ «ἐγένου μοι εἰς σωτηρίαν»[3]. Καὶ ὁ Παῦλος· «γινέσθω δὲ ὁ Θεὸς ἀληθής, πᾶς δὲ ἄνθρωπος ψεύστης»[4]. Οὕτω καὶ ὁ Κύριος ἐγε**221**νήθη ἡμῖν ἀπὸ Θεοῦ σοφία καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις[5]. Εἰ οὖν ὁ Πατὴρ γενόμενος ὑπερασπιστὴς καὶ ἀληθής, οὐ ποίημα· καὶ ὁ Υἱὸς γενόμενος σοφία καὶ ἁγιασμός, οὐ ποίημα. Εἰ ἀληθὲς τὸ εἷς Θεὸς ὁ Πατήρ[6], ἀληθὲς δηλονότι καὶ τὸ εἷς Κύριος Ἰησοῦς Χριστός[7] ὁ Σωτήρ. Οὔτε οὖν Θεὸς ὁ Σωτὴρ κατ' αὐτοὺς οὔτε ὁ Πατὴρ Κύριος. Καὶ μάτην τὸ «εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου»[8]. Ψευδὲς δὲ καὶ τὸ «διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου»[9]. Καὶ τὸ «ἔβρεξε Κύριος παρὰ Κυρίου»[10]. Καὶ τὸ «ἐποίησεν ὁ Θεὸς κατ' εἰκόνα Θεοῦ»[11]. Καὶ «τίς Θεὸς πάρεξ τοῦ Κυρίου καὶ τίς Θεὸς πλὴν τοῦ Θεοῦ ἡμῶν»[12]; Καὶ ὁ Ἰωάννης ὅτι «Θεὸς ἦν ὁ Λόγος καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν»[13]. Καὶ ὁ Θωμᾶς ἐπὶ τοῦ Υἱοῦ «ὁ Κύριός μου καὶ ὁ Θεός μου»[14]. Πρὸς τὰ κτίσματα οὖν καὶ τοὺς ψευδῶς θεοὺς καὶ οὐ κυρίως εἰδημένους νοεῖν τὰς ἀντιδιαστολὰς δεῖ, οὐκ εἰς τὸν Πατέρα καὶ τὸν Υἱόν. Ὁ ἀληθινὸς πρὸς τοὺς ψευδεῖς ἀντιδιαστελλόμενος λέγεται[15]. Ὁ δὲ ἀσύγκριτος πρὸς πάντα κατὰ πάντα ὑπερέχων. Εἰπὼν οὖν ὁ Ἱερεμίας περὶ τοῦ Υἱοῦ «οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν»[16] μείζονα καὶ τοῦ Πατρὸς εἶπεν; Ὅτι δὲ ἀληθινὸς Θεὸς καὶ ὁ Υἱός, αὐτὸς ὁ Ἰωάννης ἐν τῇ ἐπιστολῇ φησιν· «ἵνα γινώσκωμεν τὸν μόνον ἀληθινὸν Θεὸν καί ἐσμεν ἐν τῷ ἀληθινῷ Υἱῷ αὐτοῦ Ἰησοῦ Χριστῷ. Οὗτός ἐστιν ὁ ἀληθινὸς Θεὸς καὶ ζωὴ αἰώνιος»[17]. Οὔτε οὖν διὰ τὸ «οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν»[18]· μείζονα τοῦ Πατρὸς νοητέον, οὔτε μόνον ἀληθινὸν Θεὸν τὸν Πατέρα, ἀλλ' ἀμφότερα πρὸς τοὺς λεγομένους μὲν ψευδῶς, οὐκ ὄντας δέ. Ὡς καὶ ἐν τῷ Δευτερονομίῳ λέγει «Κύριος μόνος ἦγεν αὐτοὺς καὶ οὐκ ἦν μετ' αὐτῶν Θεὸς ἀλλότριος»[19]. Εἰ μόνος ἀόρατος καὶ σοφὸς ὁ Θεός[20], οὐχ ἅμα καὶ ἐν πᾶσι μείζων πάντων Θεός. Ὁ δὲ ἐπὶ πάντων Θεὸς[21] ἐξ ἀνάγκης ὑπερέχων πάντων. Ὁ Ἀπόστολος οὖν ἐπὶ πάντων Θεὸν εἰπὼν τὸν Σωτῆρα μείζονα καὶ τοῦ Πατρὸς εἶπεν; Ἀλλ' ἄτοπον. Ὁμοίως οὖν καὶ τοῦτο νοητέον. Ὁ μέγας Θεὸς οὐκ ἂν ἐλάττων εἴη ἑτέρου Θεοῦ. Ὁ Ἀπόστολος οὖν εἰπὼν περὶ τοῦ Υἱοῦ· «ἀπεκδεχόμεθα τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ»[22] μείζονα τοῦ **222** Πατρὸς ἐνόησε; Τοῦ γὰρ Υἱοῦ τὴν

---

1. Α' Κορ. 1,24. 2. Ψαλ. 30,3. 3. Ψαλ. 117,21. 4. Ρωμ. 3,4. Ιρβλ. Ψαλ. 115,2. 5. Α' Κορ. 1,30. 6. Α' Κορ. 8,6. 7. Ἔνθ' ἀν. 8. Ψαλ. 109,1. 9. Ψαλ. 44,8. 10. Ιρβλ. Γεν. 19,24. 11. Ιρβλ. Γεν. 1,27. 12. Ψαλ. 17,32. 13. Ἰω. 1,1. 14. Ἰω. 20,28. 15. Ιρβλ. Ἰω. 17,3. 16. Βαρ. 3,36. 17. Α' Ἰω. 5,20. 18. Βαρ. 3,36. 19. Δευτ. 32,12. 20. Ιρβλ. Α' Τιμ. 1,17. 21. Ἐφ. 4,6. 22. Τίτ. 2,13.

ἐπιφάνειαν καὶ παρουσίαν ἐκδεχόμεθα, οὐ τοῦ Πατρός. Ἀδιακρίτως οὖν εἰς Πατέρα καὶ εἰς Υἱὸν ταῦτα λέγεται καὶ οὐ παρατετηρημένως. Τὸ «ἴσα Θεῷ εἶναι»[1] οὐκ ἄλλο ἐστὶ τῷ εἶναι ἴσον Θεῷ. Ὁ οὖν Υἱὸς οὐχ ἁρπαγμὸν ἡγησάμενος τὸ εἶναι ἴσα Θεῷ[2], πῶς ἀνόμοιος καὶ ἄνισος Θεῷ; Ἰουδαῖοι δὲ εὐσεβέστεροι Εὐνομίου. Τοῦ γὰρ Σωτῆρος εἰπόντος ἑαυτὸν Υἱὸν Θεοῦ μόνον, ὡς ὀφειλομένου τῷ Υἱῷ, εἰ ἀληθῶς Υἱός ἐστι καὶ ἴσον αὐτὸν εἶναι τῷ Πατρί· «ἐβούλοντο λιθάσαι, φησίν, αὐτόν, οὐχ ὅτι μόνον ἔλυε τὸ Σάββατον, ἀλλ' ὅτι καὶ Πατέρα ἴδιον ἔλεγεν εἶναι τὸν Θεόν, ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ»[3]. Ἴσος οὖν τῷ Πατρὶ καὶ κατὰ τὸν Ἀπόστολον καὶ κατὰ τὴν φωνὴν τοῦ Σωτῆρος, κἂν Εὐνόμιος μὴ θέλῃ. Εἰ μὴ Κύριος τῆς κρίσεως ὁ Υἱός, καὶ τοὺς μὲν εὐεργετεῖν, τοὺς δὲ κολάζειν, πῶς ἔλεγεν· «ὁ Πατὴρ οὐδένα κρίνει, ἀλλὰ πᾶσαν τὴν κρίσιν ἔδωκε τῷ Υἱῷ»[4]; Καὶ ἀλλαχοῦ· «ἐξουσίαν ἔχει ὁ Υἱὸς τοῦ ἀνθρώπου ἀφιέναι ἐπὶ τῆς γῆς ἁμαρτίας»[5]. Καὶ πάλιν· «ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς»[6]. Πρὸς δὲ τὸν Πέτρον· «σοὶ δώσω τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν»[7]. Πρὸς δὲ τοὺς μαθητάς· «ἀμήν, λέγω ὑμῖν, ὑμεῖς οἱ ἀκολουθήσαντές μοι ἐν τῇ παλιγγενεσίᾳ καθήσεσθε ἐπὶ δώδεκα θρόνους κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ»[8]. Λέλυται οὖν αὐτοῖς τοῖς ἐγγράφοις, τοῦ μὲν Σωτῆρος εἰπόντος· «καὶ τότε ἀποδώσω ἑκάστῳ κατὰ τὴν πρᾶξιν αὐτοῦ»[9]. Καὶ ἀλλαχοῦ· «ἐκπορεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα πράξαντες εἰς ἀνάστασιν κρίσεως»[10]. Ὁ δὲ Ἀπόστολος· «τοὺς γὰρ πάντας ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν εἴτε ἀγαθὸν εἴτε κακόν»[11]. Τῶν λαμβανόντων οὖν ἐστιν ἀξίους ἑαυτοὺς ποιῆσαι τῆς ἐκ δεξιῶν καὶ εὐωνύμων καθέδρας τοῦ Κυρίου, οὐ τοῦ δυναμένου διδόναι κἂν ἄδικος ἡ αἴτησις ᾖ. Ὅτι μὲν οὐ πρὸς τὸν Υἱὸν ταῦτα καὶ τὰ ὅμοια τούτοις, ἀλλὰ πρὸς τοὺς λεγομένους θεούς, οὐκ ὄντας δέ, εἰρήκασιν αἱ Γραφαί, ἱκανῶς ἀποδέδεικται, ἀφ' ὧν καὶ Θεὸν καὶ Κύριον πολλάκις ἐν τῇ Παλαιᾷ Διαθήκῃ καὶ τῇ Καινῇ τὸν Υἱὸν ἀπεδείξαμεν εἰρῆσθαι. Ὁ Δαβὶδ δὲ σαφέ**223**στερον αὐτὸ ποιεῖ λέγων· «τίς ὅμοιός σοι»; Καὶ ἐπήγαγεν «ἐν θεοῖς, Κύριε»[12], καὶ ὁ Μωϋσῆς· «Κύριος μόνος ἦγεν αὐτοὺς καὶ οὐκ ἦν μετ' αὐτῶν Θεὸς ἀλλότριος»[13]. Καίτοι γε τοῦ Σωτῆρος ὄντος μετ' αὐτῶν, ὡς φησιν ὁ Ἀπόστολος, «ἔπινεν γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας, ἡ δὲ πέτρα ἦν ὁ Χριστὸς»[14]· ὁ δὲ Ἱερεμίας· «θεοί, οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν ἀπολέσθωσαν ὑποκάτω τοῦ οὐρανοῦ»[15]. Οὐδὲ ἐν τούτοις γὰρ ὁ Υἱός· αὐτὸς γὰρ ὁ δημιουργὸς τῶν πάντων. Πρὸς τὰ εἴδωλα οὖν καὶ τὰ σεβάσματα τῶν ἐθνῶν καὶ τὸ

---

1. Φιλιπ. 2,6. 2. Ἔνθ' ἀν. 3. Ἰω. 5,18. 4. Ἰω. 5,22. 5. Μάρκ. 2,10. 6. Ματθ. 28,18. 7. Ματθ. 16,19. 8. Ματθ. 19,28. 9. Ματθ. 16,27. 10. Ἰω. 5,29. 11. Β' Κορ. 5,10. 12. Πρβλ. Ψαλ. 85,8. 13. Δευτ. 32,12. 14. Α' Κορ. 10,4. 15. Ἱερ. 10,11.

προειρημένον καὶ τό· «ἐγὼ Θεὸς πρῶτος καὶ ἐγὼ μετὰ ταῦτα, καὶ πλὴν ἐμοῦ οὐκ ἔστι Θεός»[1]. Καὶ τὸ «ἔμπροσθέν μου οὐ γέγονεν ἄλλος Θεὸς καὶ μετ' ἐμὲ οὐκ ἔσται»[2]· καὶ τό· «ἄκουε, Ἰσραήλ, Κύριος ὁ Θεός σου Κύριος εἷς ἐστι»[3] καὶ ὅσα τοιαῦτα νοεῖν δεῖ οὐ πρὸς τὸν Υἱόν. [Ὅτι τὰ κοινὰ τῆς κτίσεως ἀκοινώνητα τῷ Ἁγίῳ Πνεύματι καὶ τὰ ἴδια τοῦ Πνεύματος ἀκοινώνητα τῇ κτίσει· ἐξ ὧν συνάγεται μὴ εἶναι κτίσμα τὸ Πνεῦμα. Ὅτι τὰ κοινὰ τῷ Πατρὶ καὶ τῷ Υἱῷ, ταῦτα κοινὰ τῷ Πνεύματι, ὅτι ἐν οἷς χαρακτηρίζεται Θεὸς ὁ Πατὴρ καὶ ὁ Υἱὸς ἐν τῇ Γραφῇ, ἐν αὐτοῖς, χαρακτηρίζεται καὶ τὸ Πνεῦμα τὸ Ἅγιον· ἐξ ὧν συνάγεται τῆς αὐτῆς θεότητος τὸ Πνεῦμα τῷ Πατρί. Ὅτι τὰ μόνῳ προσόντα τῷ Πατρὶ ὡς Θεῷ, οὐχ ὡς Πατρὶ καὶ τῷ Υἱῷ ὡς Θεῷ, καὶ οὐχ ὡς Υἱῷ, ταῦτα μόνῳ πρόσεστι τῷ Πνεύματι, οὐκέτι δὲ καὶ τῇ κτίσει, ὥστε τὰ ἀκοινώνητα ὀνόματα καὶ πράγματα τῇ κτίσει μόνῃ κοινὰ τῇ Τριάδι· ἐξ ὧν συνάγεται ὁμοούσιος ἡ Τριάς]. Πᾶν ὅπερ ἐστὶ γεννητόν, τροπῆς καὶ μεταβολῆς ἐστι δεκτικὸν κατὰ τὸν λέγοντα τῷ Θεῷ προφήτην «ὁ ποιῶν πάντα καὶ μετασκευάζων αὐτά»[4]. Τὸ δὲ Πνεῦμα οὔτε τροπῆς, οὔτε μετασκευῆς ἐστι δεκτικόν· οὐκ ἄρα κτίσμα τὸ Πνεῦμα. Τῆς κτίσεως εἰς δύο διαιρουμένης, εἰς σώματα καὶ ἀσώματα, διήρηται καὶ ἡ περὶ ταύτην τροπή. Καὶ τὰ μὲν σώματα τὴν κατ' οὐσίαν ἐπιδέχεται τροπήν, τοῦ φθαρτοῦ κόσμου εἰς ἀφθαρσίαν μεταπίπτοντος[5] κατὰ τὴν Γραφὴν καὶ τῶν θνητῶν ἡμῶν σωμάτων ἀπαθανατιζομένων ἢ τῶν μηδέπω φθαρέντων, φθαρησομένων δέ· τὰ δὲ ἀσώματα καὶ λογικὰ τὴν κατ' ἐνέργειαν ἤτοι κατὰ γνώμην ἐπιδέχονται τροπὴν κατὰ τό· «ἀγγέλων ἁμαρτησάντων οὐκ ἐφείσατο»[6]. Εἰ **224** τοίνυν τῶν γενητῶν τὰ μὲν οὐσίᾳ τὰ δὲ γνώμῃ τροπῆς ἐστι δεκτικά, τὸ δὲ Πνεῦμα τὸ Ἅγιον οὔτε κατ' οὐσίαν οὔτε κατ' ἐνέργειαν τροπῆς, ἢ ἀλλοιώσεώς ἐστι δεκτικόν· οὐκ ἄρα κτίσμα τὸ Πνεῦμα. Πᾶν κτίσμα ἁγιαζόμενόν ἐστιν ἅγιον, τὸ δὲ Πνεῦμα τὸ Ἅγιον οὐ τῶν ἁγιαζομένων, ἀλλὰ τῶν ἁγιαζόντων· οὐκ ἄρα κτίσμα. Οὐδὲν κτιστὸν κατ' οὐσίαν ἅγιον, τὸ γὰρ κατ' οὐσίαν ἅγιον οὐ δεῖται τοῦ ἔξωθεν ἁγιασμοῦ. Δεῖται οὖν τοῦ ἔξωθεν ἁγιασμοῦ τὸ γεννητόν, ὅταν ἄξιον γένηται τοῦ ἐπισπάσασθαι ἁγιασμόν, οὐ δεῖται δὲ ἁγιασμοῦ τὸ Πνεῦμα, ὅτι ἅγιον κατ' οὐσίαν· οὐκ ἄρα κτίσμα. Πᾶν κτίσμα δοῦλόν ἐστι τοῦ δημιουργοῦ κατὰ τὸν οὕτω λέγοντα τῷ Θεῷ προφήτην «τὰ σύμπαντα δοῦλα σά»[7], τὸ δὲ δοῦλον ἐλευθερίαν καὶ υἱοθεσίαν ἑτέρῳ ὀρέγειν οὐ δύναται, ἧς αὐτὸ οὐκ ἔτυχε κατ' οὐσίαν, τὸ δὲ Πνεῦμα ἐλευθερίαν ὀρέγει καὶ υἱοθεσίαν, τὸ γὰρ Πνεῦμα κράζει ἐν ταῖς καρδίαις ἡμῶν «ἀββᾶ ὁ Πατήρ. Ὥστε οὐκέτι εἶ δοῦλος, ἀλλὰ Υἱός»[8]· οὐκ ἄρα κτίσμα. Οὐδὲν κτίσμα μεθεκτόν ἐστι τῇ λογικῇ ψυχῇ, ὡς ἐνοικίζεσθαι αὐτῇ οὐσιωδῶς, τὸ δὲ Πνεῦμα τὸ Ἅγιον ἐνοικίζεται ἐν αὐτῇ κατὰ τὸν λέγοντα· «ναὸς Θεοῦ

---

1. Ἡσ. 44,6. 2. Ἡσ. 43,10. 3. Δευτ. 6,4. 4. Ἀμ. 5,8. 5. Πρβλ. Α' Κορ. 15,53. 6. Β' Πέτρ. 2,4. 7. Ψαλμ. 118,91. 8. Γαλ. 4,6-7.

ἐσμεν καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ἡμῖν»[1]· οὐκ ἄρα κτίσμα. Πᾶν λογικὸν κτίσμα ἀρετῆς καὶ κακίας ἐστὶ δεκτικόν, τὸ δὲ Πνεῦμα οὐδενός ἐστι τούτων δεκτικόν· οὐκ ἄρα κτίσμα τὸ Πνεῦμα. [Καὶ ὅσα μίαν καὶ τὴν αὐτὴν ἐνέργειαν δείκνυσι τῆς Ἁγίας καὶ μακαρίας Τριάδος]. «Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα»[2]. Καὶ ἐν ἑτέρῳ· « καὶ ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί»[3]. Καὶ τίνες ἂν εἶεν καὶ Θεοῦ ἀσωμάτου ἀσώματοι χεῖρες αἱ τὸ στερέωμα καὶ τοὺς οὐρανοὺς δημιουργήσασαι, αὐτὸς ὁ προφήτης ἑρμηνεύει λέγων· «τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν»[4]. Ἀλλ' ὥσπερ οὐ προφορικὸς λόγος ἐν τῷ Θεῷ, ἀλλὰ ζῶν καὶ ὑφεστηκὼς καὶ τῶν ὅλων δραστήριος· οὕτως ἐν τῷ Θεῷ οὐ πνεῦμα διαχεόμενον, οὐ διαλυόμενος ἀήρ, ἀλλὰ δύναμις ἁγιαστική, ἐνούσιος, ἐνύπαρκτος, ἐνυπόστατος. «αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με»[5]. Καὶ τόδε τὸ ῥητὸν τὴν αὐτὴν ἔχει τῷ προρρηθέντι διάνοιαν. «Πνεῦμα γὰρ θεῖον», φησὶν ὁ Ἰώβ, «τὸ ποιῆσάν με»[6]. Καὶ τὴν ἄλλην χεῖρα σαφηνίζον Σολο**225**μών φησι «Θεὲ πατέρων καὶ Κύριε τοῦ ἐλέους σου, ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου καὶ τῇ σοφίᾳ σου κατασκευάσας τὸν ἄνθρωπον»[7]. Χριστὸς δὲ Θεοῦ δύναμις καὶ Θεοῦ σοφία, ἥτις ἐστὶ χεὶρ δημιουργικὴ κατὰ τὸν τῆς τροπολογίας λόγον. Οὐ μὴν ἀλλὰ καὶ Πνεύματος ἐργασίᾳ τὴν ὅλην ἡμῶν ἀνέθετο φύσιν καὶ ἀνακαινωτικὸν αὐτὸ τῆς δημιουργίας εἰς ἀφθαρσίαν φησὶν ὁ λόγος· «ἀντανελεῖς τὸ Πνεῦμα αὐτῶν καὶ ἐκλείψουσι καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν. Ἐξαποστελεῖς τὸ Πνεῦμά σου καὶ κτισθήσονται καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς»[8]. Οὐ δήπου δὲ αὐτὸς ἑαυτὸν ἀποστέλλει· ἀποστολὴν δὲ καλεῖ τὴν πρὸς τὸ ἔργον αὐτοῦ συγκατάβασιν, οὐ τὴν ἐκ τόπου εἰς τόπον μετάβασιν· «ὅτι Πνεῦμα Κυρίου πεπλήρωκε τὴν οἰκουμένην καὶ τὸ συνέχον τὰ πάντα γνῶσιν ἔχει φωνῆς»[9]. Καὶ ὁ ἄγγελος τῇ Μαρίᾳ· «Πνεῦμα Κυρίου ἐπελεύσεται ἐπὶ σέ»[10], «διὸ καὶ τὸ γεννώμενον ἐκ Πνεύματος Ἁγίου ἐστίν»[11]. Τὸ ἔκ τινος ἢ δημιουργικῶς ἐστιν ἐξ αὐτοῦ, ὡς τό· «εἷς Θεὸς ὁ Πατήρ, ἐξ οὗ τὰ πάντα»[12] ἢ γεννητικῶς κατὰ τό· «ἐγὼ ἐκ τοῦ Πατρὸς ἐξῆλθον»[13]· καὶ τό· «ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε»[14]· οὐχ ὅτι γαστέρα ἔχει ὁ Θεός, ἀλλ' ἐπεὶ τὰ γνήσια καὶ οὐ νόθα γεννήματα ἐκ γαστρὸς τῶν τοκέων πεφύκασιν ἀπογεννᾶσθαι, γαστέρα ἔχειν ἑαυτὸν ἐν τῷ γεννᾶν ὠνόμασεν ὁ Θεὸς πρὸς ἐντροπὴν τῶν ἀσεβῶν, ἵνα κἂν τὴν ἑαυτῶν κατανοήσαντες φύσιν, μάθωσι γνήσιον εἶναι καρπὸν τοῦ Πατρὸς τὸν Υἱόν, ὥσπερ ἐκ τῆς ἐκείνου τυγχάνοντα γαστρός. Τὸ ἔκ τινος τοίνυν ἢ δημιουργικῶς ἢ γεννητικῶς ἢ φυσικῶς ἐστιν ἐξ αὐτοῦ, ὡς ἡ ἐνέργεια ἡμῶν ἐξ ἡμῶν ἢ ὡς τὸ ἀπαύγασμα τοῦ ἡλίου ἐξ αὐτοῦ. Εἰ

---

1. Α' Κορ. 3,16. 2. Ψαλ. 18,2. 3. Ψαλ. 101,26. 4. Ψαλ. 32,6. 5. Ψαλ. 118,73. 6. Ἰὼβ 33,4. 7. Σ. Σολ. 2,1-2. 8. Ψαλ. 103, 29-30. 9. Σ. Σολ. 1,7. 10. Πρβλ. Λουκ. 1,35. 11. Πρβλ. Ματθ. 1,20. 12. Α' Κορ. 8,6. 13. Ἰω. 16,28. 14. Ψαλ. 109,3.

τοίνυν τὸ ὑπερκόσμιον σῶμα Χριστοῦ ἐκ Πνεύματός ἐστιν Ἁγίου, οὐ δυνατὸν δὲ γέννημα αὐτοῦ ὑπάρχειν ὅτι «τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ ἐστιν καὶ τὸ γεγεννημένον ἐκ τοῦ Πνεύματος Πνεῦμά ἐστιν»[1], οὐδ' αὖ πάλιν ἐξ αὐτοῦ ὡς ἐνέργεια αὐτοῦ, ὅτι ἐπὶ ἁπλῆς καὶ ἀσωμάτου φύσεως τὸν αὐτὸν τῆς οὐσίας λόγον ἐπιδέχεται ἡ ἐνέργεια· ὑπολείπεται ἄρα ἐξ αὐτοῦ εἶναι ὡς κτίσμα αὐτοῦ. Ἀλλὰ καὶ ὁ δάκτυλος τοῦ Θεοῦ ὁ μεταβαλὼν ἐν Αἰγύπτῳ τὸν χοῦν εἰς ζῷα[2], τὴν ἀρχῆθεν τῶν ζώων ἀναδείξας γένεσιν, ὁ Παράκλητος ἦν τὸ Πνεῦμα τῆς ἀληθείας. Τῶν γὰρ τριῶν εὐαγ226γελιστῶν φησάντων πρὸς Ἰουδαίους εἰρηκέναι τὸν Κύριον· «εἰ δὲ ἐγὼ ἐν Πνεύματι Θεοῦ ἐκβάλλω τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ»[3], ὁ Λουκᾶς φησιν εἰρηκέναι αὐτόν· «εἰ δὲ ἐγὼ ἐν δακτύλῳ Θεοῦ ἐκβάλλω τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία τῶν οὐρανῶν»[4]. Οὐκοῦν καὶ τὰ διὰ Μωϋσέως γενόμενα ἐν Αἰγύπτῳ σημεῖα, ἅπερ δακτύλῳ Θεοῦ ἐγένετο καὶ τὰ παράδοξα τοῦ Θεοῦ σημεῖα ἐτελεσιουργεῖτο σὺν τῷ Πνεύματι. Δάκτυλος δὲ Θεοῦ ἐν τούτοις τοῖς ὑπὸ Μωϋσέως καὶ τοῖς τοῦ Κυρίου σημείοις εἴρηται τὸ Πνεῦμα, οὐχ ὅτι μικρά τίς ἐστι τῷ Θεῷ συνοῦσα δύναμις, καθάπερ σώματι δάκτυλος, ἀλλ' ἐπειδὴ ἕν τι τῶν κατὰ διαίρεσιν χαρισμάτων αὐτοῦ ἐστι τὸ χάρισμα τῶν σημείων καὶ ἰαμάτων, τὸ ἕν τι καὶ οὐχὶ τὰ ὅλα χαρίσματα τοῦ Πνεύματος δάκτυλον καλεῖ. «Ὧι μὲν γὰρ διὰ τοῦ Πνεύματος δίδοται λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως κατὰ τὸ αὐτὸ Πνεῦμα, ἄλλῳ δὲ χαρίσματα ἰαμάτων ἐν τῷ αὐτῷ Πνεύματι, ἄλλῳ δὲ προφητεία, ἄλλῳ δὲ διάκρισις πνευμάτων, ἄλλῳ δὲ γένη γλωσσῶν, ἄλλῳ δὲ ἑρμηνεία γλωσσῶν· ταῦτα δὲ πάντα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται»[5]. Εἴποι τις ἂν ὅτι ταῦτα πάντα καὶ ὅσα ἄλλα χαρίσματά εἰσι τοῦ Πνεύματος ὥσπερ τι σῶμα αὐτοῦ τυγχάνει, τὸ δὲ καθ' ἓν τῶν χαρισμάτων δάκτυλος. Καὶ τοῦτο δὲ τὸ χρήσιμον τῆς λέξεως μὴ παρίδοις. «Πάντα γάρ», φήσας, «ταῦτα ἐνεργεῖ τὸ Πνεῦμα καθὼς βούλεται»[6]· καὶ περὶ τοῦ Θεοῦ ὁ αὐτὸς ἔφη· «καὶ διαιρέσεις ἐνεργημάτων εἰσίν, ὁ δὲ αὐτὸς Θεὸς ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν»[7]. Εἰ δὲ πάντα ἐνεργεῖ Θεός, καθὼς βούλεται, «πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται»[8], πῶς ἑτερότης οὐσίας, ἐν ᾗ ταυτότης ἐνεργείας γνωρίζεται; Παρηλλαγμένων γὰρ τῶν οὐσιῶν παρηλλαγμένας εἶναι ἔδει καὶ τὰς ἐνεργείας, κατὰ τὸν ἀσεβέστατον Εὐνόμιον. Τὴν δὲ αὐτὴν αὐθεντίαν καὶ ἐξουσίαν μαρτυρῶν τῷ Πνεύματι ὁ Σωτὴρ «τὸ Πνεῦμα», ἔφη, «οὗ θέλει πνεῖ»[9]. Ἴδιον θεοῦ ἀφιέναι ἁμαρτίας, αὐτοῦ τοῦτο λέγοντος· «ἐγώ εἰμι ὁ ἐξαλείφων τὰς ἁμαρτίας σου»[10]. Καὶ «ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ, ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡς ἔριον λευκανῶ»[11]. Ἐπειδὴ δὲ Θεὸς Θεοῦ

---

1. Ἰω. 3,6. 2. Πρβλ. Ἐξ. 8,13. 3. Ματθ. 12,28. 4. Πρβλ. Λουκ. 11,20. 5. Α' Κορ. 12,8-11. 6. Πρβλ. Α' Κορ. 12,11. 7. Α' Κορ. 11,6. 8. Α' Κορ. 12,11. 9. Πρβλ. Ἰω. 3,8. 10. Ἡσ. 43,25. 11. Ἡσ. 1,18.

παῖς Ἰησοῦς, ἀφίησιν ἁμαρτίας τῷ παραλυτικῷ λέγων «τέκνον, ἀφέωνταί σου αἱ ἁμαρ**227**τίαι»[1], ἐφ' ᾧ δυσφημεῖν ἐνομίζετο παρὰ τοῖς μὴ εἰδόσιν αὐτὸν Θεὸν Ἰουδαίοις λέγουσιν ὅτι «οὗτος βλασφημεῖ· οὐδενός ἐστιν ἁμαρτίας ἀφιέναι, εἰ μὴ μόνου Θεοῦ»[2]. Ὁ δὲ Κύριος ἐμφυσῶν τοῖς ἁγίοις Ἀποστόλοις ἔφη· «λάβετε Πνεῦμα Ἅγιον. Ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφέωνται αὐτοῖς»[3]. Εἰ τοίνυν οὐδενός ἐστιν ἀφιέναι ἁμαρτίας, ὥσπερ οὐκ ἔστιν, εἰ μὴ μόνου Θεοῦ, ἄφησι δὲ τὸ Πνεῦμα τὸ Ἅγιον διὰ τῶν Ἀποστόλων· Θεὸς ἄρα τὸ Πνεῦμα τὸ Ἅγιον καὶ τῆς αὐτῆς ἐνεργείας τῷ Πατρὶ καὶ τῷ Υἱῷ. «Μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος»[4]. Τὰ ἔθνη φησὶ πιστεύσαντα καὶ μαθητευθέντα βαπτίζεσθαι ἐν τῷ τῆς Τριάδος ὀνόματι. Ὁ δὲ Πέτρος τοῖς συμφωνήσασιν Ἰουδαίοις εἰς τὸν κατὰ Χριστοῦ θάνατον καὶ μεταγνοῦσι «μετανοησάτω», ἔφη, «ἕκαστος, ἀδελφοί, ἀπὸ τῆς κακίας ὑμῶν καὶ ἀπὸ τῆς ὁδοῦ τῆς πονηρᾶς καὶ βαπτισθήτω εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ»[5] καὶ «σωθήσεται»[6]· ὡς δυναμένου τὰ αὐτὰ ἐνεργεῖν τοῦ Υἱοῦ ἐπὶ τῇ τοῦ λουτροῦ παλιγγενεσίᾳ ἅπερ Πατὴρ καὶ Πνεῦμα ἐνεργεῖ. Ὁ δὲ Κύριος τοῖς Ἀποστόλοις ἔφη· «περιμένειν τὴν ἐπαγγελίαν τοῦ Πατρὸς ἣν ἠκούσατε, ὅτι Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι εἰς μετάνοιαν, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν Πνεύματι Ἁγίῳ»[7]· εἰ τοίνυν τὰ αὐτὰ δύναται ἐνεργεῖν ἐν τοῖς Ἀποστόλοις τὸ Πνεῦμα τὸ Ἅγιον, ἅπερ τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐπὶ τῶν πιστευόντων ἐξ ἐθνῶν καὶ τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ ἐπὶ τῶν μετανοησάντων Ἰουδαίων (οὐ γὰρ ἂν εἴποι τις ἧττον τοὺς ἀποστόλους μετεσχηκέναι τῆς διὰ τοῦ λουτροῦ χάριτος ἧπερ τοὺς ἐξ ἐθνῶν, διὰ τὸ ἐν Πνεύματι Ἁγίῳ ἐσχηκέναι αὐτοὺς τὴν χάριν)· πῶς οὐ τῆς αὐτῆς οὐσίας τὸ Πνεῦμα τῷ Πατρὶ καὶ τῷ Υἱῷ, τὸ καὶ τῆς αὐτῆς ἐνεργείας; «Πορεύου εἰς Δαμασκόν, κἀκεῖ σοι λαληθήσεται»[8], «ὅτι σκεῦος ἐκλογῆς μοι εἶ»[9] οὐρανόθεν ἐπιφανεὶς τῷ Παύλῳ ὁ Κύριος ἔφη, ὅτιπερ αὐτὸν κήρυκα τοῦ Εὐαγγελίου τῇ οἰκουμένῃ κατεστήσατο. Εἰσιόντι δὲ εἰς Δαμασκὸν Ἀνανίας ἔφη· «Σαούλ, ἀδελφέ, ἀνάβλεψον»[10]· «ὁ Θεὸς τῶν πατέρων προεχειρίσατό σε»[11]. Καὶ ἵνα μὴ περὶ Χριστοῦ νομισθῇ τὸ ῥῆμα, ἐπιλέγει «τοῦ ποιῆσαι τὸ θέλημα αὐτοῦ καὶ γνῶναι τὸν δίκαιον αὐτοῦ Ἰησοῦν[12]. Ὃς δὴ τὴν κλῆσιν καὶ τὴν προχείρησιν ἀναγραπτον ποιούμενος ἔφη· «Παῦ**228**λος δοῦλος Ἰησοῦ Χριστοῦ κλητὸς ἀπόστολος»[13]. Εἶτα καὶ ἄλλο τι πρὸς τῇ κλήσει λέγει· «ἀφωρισμένος εἰς εὐαγγέλιον Θεοῦ»[14]. Τὸ δὲ ἀφορίσαν τὸ Πνεῦμα τυγχάνειν αἱ Πράξεις τῶν Ἀποστόλων ἐδίδαξαν. «Νηστευόντων γάρ», φησί, «τῶν ἀποστόλων καὶ προσευχομένων εἶπε τὸ Πνεῦμα τὸ Ἅγιον· Ἀφορίσατε

---

1. Μάρκ. 2,5. 2. Πρβλ. Μάρκ. 2,7. 3. Ἰω. 20,22. 4. Ματθ. 28,19. 5. Πρβλ. Πράξ. 2,38. 6. Μάρκ. 16,16. 7. Πρβλ. Πράξ. 1,4. 8. Πράξ. 22,10. 9. Πρβλ. Πράξ. 9,15. 10. Πράξ. 22,13. 11. Πράξ. 22,14. 12. Μρβλ. Ἔνθ' ἀν. 13. Ρωμ. 1,1. 14. Ἔνθ' ἀν.

δή μοι τὸν Παῦλον καὶ τὸν Βαρνάβαν εἰς τὸ ἔργον ὃ προσκέκλημαι αὐτούς»[1]. Εἰ δὲ ἐκλέγεται μὲν αὐτὸν Κύριος ὁ Θεὸς τῶν πατέρων ὃν προεχειρίσατο, ὁ δὲ Υἱὸς προσεκαλέσατο, τὸν αὐτὸν δ' ἀφορίζει τὸ Πνεῦμα, αὐθεντίᾳ φύσεως χρώμενον· πῶς ἑτερότης οὐσίας ἐν τῇ Τριάδι, ἐν ᾗ ταυτότης ἐνεργείας εὑρίσκεται; Οἱ ἐμοὶ λόγοι, Σολομών φησιν, ὑπὸ Θεοῦ εἴρηνται[2]. Καὶ ὁ Παῦλος ὑπὸ Χριστοῦ· «ἐπεὶ δοκιμὴν γάρ», ἔφη, «ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ»[3]. Οὐδὲν ἧττον καὶ τὸ Πνεῦμα ἐν Ἀποστόλοις λαλεῖ. «Ἐλάλουν γάρ», φησίν, «οἱ Ἀπόστολοι καθὼς τὸ Πνεῦμα ἐδίδου ἀποφθέγγεσθαι αὐτοῖς»[4] καὶ «οὐκ ἐστὲ ὑμεῖς οἱ λαλοῦντες» ὁ Σωτὴρ ἔφη αὐτοῖς, «ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρὸς τοῦ ἐν τοῖς οὐρανοῖς τὸ λαλοῦν ἐν ὑμῖν»[5]. Λαλεῖ δὲ καὶ ἐν προφήταις τὸ Πνεῦμα. «Τίς γὰρ δώῃ», Μωϋσῆς ἔφη, «πάντα τὸν λαὸν τοῦτον προφητεύειν, ὅταν δῷ Κύριος τὸ Πνεῦμα αὐτοῦ ἐπ' αὐτόν»[6]. Καὶ ὁ νέος δὲ τῆς Νέας Διαθήκης προφήτης Ἄγαβος ἀνέκραγε λέγων· «τάδε λέγει τὸ Πνεῦμα τὸ Ἅγιον»[7]. Ὅπερ συνήθως οἱ τῆς Παλαιᾶς Διαθήκης ἐβόων προφῆται «τάδε λέγει Κύριος ὁ Θεός»[8]. Καὶ ταῦτα συνελὼν ὁ Παῦλος τὰ ἐκ Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος ῥηθέντα «πᾶσα», ἔφη, «γραφὴ θεόπνευστος»[9]. Εἰ δὲ λαλεῖ ἐν Ἀποστόλοις καὶ ἐν Προφήταις τὸ Πνεῦμα, πᾶσα δὲ Γραφὴ θεόπνευστος, εἴπατε τοῖς ἀσεβοῦσι, πῶς οὐ Θεὸς τὸ Πνεῦμα τὸ Ἅγιον τυγχάνει, τῆς τούτου συγγραφῆς θεοπνεύστου οὔσης; Ἡσαΐας ὁ προφήτης· «εἶδον», ἔφη, «Κύριον Σ.βαὼθ καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου»[10] «καὶ Σεραφεὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ, ἓξ πτέρυγες τῷ ἑνί»[11]. Καὶ μετ' ὀλίγα φησί· «καὶ εἶπε Κύριος πρός με· Πορεύου καὶ εἶπον τῷ λαῷ τούτῳ· Ἀκοῇ ἀκούσετε καὶ οὐ μὴ συνῆτε καὶ βλέποντες βλέψετε καὶ οὐ μὴ ἴδητε. Ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου»[12] καὶ τὰ ἑξῆς. Ὅσον μὲν οὖν κατ' αὐτὴν τὴν θέσιν καὶ τὴν ἀκολουθίαν τοῦ προφητικοῦ γράμματος, ὁ ἐπὶ πάντων ἐστὶ Πατὴρ ὁ ὀφθεὶς καὶ χρησμοδοτήσας τῷ Προφήτῃ. **229** Ὁ μέντοι τῆς βροντῆς υἱὸς ἐξαίσια φθεγξάμενος καὶ τῆς βροντῆς εἰρηκὼς φοβερώτερα, οὗ ἴδιον οὐχὶ τὸ «οὐκ ἦν», ἀλλὰ τὸ «ἦν ὁ Λόγος»[13], Υἱὸν ἔφη τὸν ὀφθέντα καὶ χρησμοδοτήσαντα τῷ Προφήτῃ. Λέγει γὰρ ἐν τῷ ἰδίῳ συγγράμματι· «διὰ τοῦτο οὐκ ἠδύναντο οἱ Ἰουδαῖοι πιστεύειν εἰς τὸν Ἰησοῦν, διότι εἶπεν Ἡσαΐας περὶ αὐτῶν· Τετύφλωνται αὐτῶν οἱ ὀφθαλμοὶ καὶ πεπώρωται αὐτῶν ἡ καρδία, ὅπως μὴ ἴδωσι τοῖς ὀφθαλμοῖς καὶ συνῶσι τῇ καρδίᾳ καὶ ἐπιστρέψωσι καὶ ἰάσωμαι αὐτούς»[14]. Ταῦτα εἶπεν Ἡσαΐας, ὅτε εἶδε τὴν δόξαν αὐτοῦ. Ὁ δὲ Παῦλος τοῦ Πνεύματος ἀπεφήνατο τὴν ὀπτασίαν εἶναι καὶ τὴν χρησμῳδίαν λέγων· «καλῶς ἔφη τὸ Πνεῦμα τὸ

1. Πράξ. 13,2. 2. Παρμ. 31,1. 3. Β' Κορ. 13,3. 4. Πράξ. 2,4. 5. Ματθ. 10,20. 6. Περβλ. Ἀριθ. 11,29. 7. Πράξ. 21,11. 8. Ἀμ. 3,11 κ.ἀ. 9. Β' Τιμ. 3,16. 10. Ἡσ. 6,1. 11. Ἡσ. 6,2. 12. Ἡσ. 6,9-18. 13. Ἰω. 1,1. 14. Περβλ. Ἰω. 12,39-40. Περβλ. Ἡσ. 6,10.

Ἅγιον διὰ τοῦ προφήτου Ἡσαΐου πρὸς τοὺς πατέρας ὑμῶν· Ἀκοῇ ἀκούσετε καὶ βλέποντες βλέψετε καὶ οὐ μὴ ἴδητε· ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου»[1]. Ὁ Προφήτης τοῦ Πατρὸς εἰσηγεῖται πρόσωπον τοῦ παρὰ Ἰουδαίοις πεπιστευμένου, ὁ Εὐαγγελιστὴς τοῦ Υἱοῦ, ὁ Παῦλος τοῦ Πνεύματος, ἕνα Κύριον Σαβαὼθ τὸν ὀφθέντα κοινῶς ὀνομάζοντες. Διῄρηται αὐτοῖς ὁ περὶ τῆς ὑποστάσεως λόγος, ἀδιαιρέτου μένοντος ἐν αὐτοῖς τοῦ περὶ ἑνὸς Θεοῦ φρονήματος. Εἰ δὲ ταῦτα συνίεσαν καὶ καλῶς ὑπήκουον οἱ καθ' ἑαυτῶν κακῶς σοφιζόμενοι, οὐκ ἂν τὸ Πνεῦμα θεότητος ἠλλοτρίουν, ἵνα μὴ θεότητος ἑαυτοὺς ἀποκόψωσι καὶ κόσμον Θεοῦ διαστήσωσι καὶ θεὸν τῆς ἰδίας κτίσεως ἀποστήσωσιν. Ἄθλια μὲν γὰρ πάντα τὰ πεποιημένα πρὸς τοῦ Θεοῦ καὶ τῆς τοῦ δημιουργοῦ δόξης ἀπολειπόμενα κατὰ τὴν κτιστὴν φύσιν, εἰ μὴ μετέχει θεότητος. Ἀνάξιος δὲ ὁ λόγος περὶ Θεοῦ τὸ γυμνὴν καὶ ὥσπερ ἔρημον ἑαυτοῦ περιορᾶν τὴν κτίσιν. Ἀλλ' οὔτε ἡ κτίσις οὕτως ἀθλία οὔτε Θεὸς οὕτως ἀδύνατος, ὥστε τὴν ἁγίαν μετάδοσιν μὴ διαπέμπειν ἐπὶ τὰ ποιήματα. «Κατ' εἰκόνα»[2] γοῦν ἑαυτοῦ εὐθὺς ποιῆσαι τὸν ἄνθρωπον βεβούληται. Πάντως δὲ ἡ εἰκὼν ἡ δημιουργουμένη, μεταφερομένη ἀπὸ τοῦ πρωτοτύπου, τὴν ὁμοίωσιν εἰς τὴν ὕλην εἴληφε καὶ μετέσχηκε τοῦ χαρακτῆρος διὰ τῆς τοῦ τεχνίτου διανοίας καὶ χειρὸς ἐνεπομφθέντος. Οὕτως ὁ ζωγράφος, οὕτως ὁ λιθογλύφος, οὕτως ὁ τὸν χρύσεον καὶ τὸν χάλκεον ἀνδριάντα δημιουργῶν ἔλαβεν ὕλην, ἀπεῖδεν εἰς τὸ πρωτότυπον, ἀνέλαβε τοῦ τεθεωρημένου τὸν τύπον, ἐναπεσφραγίσατο τοῦτον τῇ ὕλῃ. Εἰ δὲ ἀνθρώποις οὐχ οἷόν τε πρὸς ὁμοίωσιν ἐκτυπωθῆναι τὰς ὕλας, εἰ μὴ τῆς **230** ἰδέας αὐτῶν μεταλάβοιεν, πῶς Θεῷ πρὸς ὁμοίωσιν ἀναβαίη τὸ κτίσμα μὴ μεταλαμβάνον θείου χαρακτῆρος; Θεῖος δὲ χαρακτὴρ οὐχ οἷος ὁ ἀνθρώπινος, ἀλλὰ ζῶν καὶ ὄντως ὤν, εἰκὼν εἰκονοποιός, ἧς πάντα τὰ μετεσχόντα εἰκόνες καθίστανται Θεοῦ. Εἰκὼν μὲν Θεοῦ Χριστός, «ὅς ἐστιν», φησίν, «εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου»[3]. Εἰκὼν δὲ Υἱοῦ τὸ Πνεῦμα καὶ οἱ τούτου μεταλαμβάνοντες Υἱοὶ σύμμορφοι κατὰ τὸ γεγραμμένον· «ὅτι οὓς προέγνω καὶ προώρισε συμμόρφους», τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς»[4]. Πῶς οὖν τὸ Πνεῦμα συμμαρτυρήσει τῷ Πνεύματί σου, κατὰ τὸν Ἀπόστολον, ὅτι Υἱὸς εἶ τοῦ Θεοῦ[5], εἴπερ αὐτὸ τῆς τοῦ Υἱοῦ δόξης ἀλλότριον; Πῶς ἐν σοὶ βοήσεται, «ἀββᾶ ὁ Πατήρ»[6], εἰ μὴ μετάδοσίς ἐστιν ὄντως ἐξ Υἱοῦ, οὐ κτῆμα αὐτοῦ παρ' αὐτοῦ πεμπόμενον, ὥσπερ τὸ πνεῦμα τὸ ἀνθρώπινον ἢ τὸ πνεῦμα τὸ ἀνεμιαῖον, ἅπερ εἰώθασι λέγειν οἱ τὸ Πνεῦμα χωρίζοντες ἀπὸ θεότητος, ἀλλὰ Θεοῦ καὶ Υἱοῦ Πνεῦμα ἀίδιον, ἐν τῇ θείᾳ δόξῃ τυγχάνον καὶ γνωριζόμενον; Οὐ γὰρ τὸ πνεῦμα τὸ σὸν Χριστὸς οὐδὲ τὸ πνεῦμα τοῦ ἀνέμου Κύριος οὐδὲ τὸ πνεῦμα

---

1. Πράξ. 28,25-27. 2. Γεν. 1,26. 3. Κολ. 1,15. 4. Ρωμ. 8,29. 5. Πρβλ. Ρωμ. 8,16. 6. Ρωμ. 8,15. Γαλ. 4,6.

τὸ ἀκάθαρτον, ἐπειδὴ καὶ τοῦτο ἐτόλμησαν παραγαγεῖν τινες. Τὸ δὲ Πνεῦμα τὸ Ἅγιόν Χριστὸς καὶ Κύριος ὀνομάζεται, λέγοντος μὲν τοῦ 'Αποστόλου (καθάπερ ἀρτίως ἐμνήσθημεν)· «εἰ δέ τις Πνεῦμα Κυρίου οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. Εἰ δὲ Χριστὸς ἐν ὑμῖν»[1], τὴν τοῦ Πνεύματος ἐνοίκησιν ἀποφαίνοντος Χριστοῦ, λέγοντος, δὲ πάλιν «ὁ δὲ Κύριος τὸ Πνεῦμά ἐστιν· οὗ δὲ τὸ Πνεῦμα Κυρίου, ἐλευθερία»[2]. Ὥστε τὸ Κυρίου Πνεῦμα Κύριος. Οὐκ ἄρα κτῆμα ἢ κτίσμα Κυρίου, ἀλλ' εἰκών, ὡς προείρηται. Καὶ εἰκὼν ἀληθής· οὐκ ἐξ εἰκόνος θείας καθάπερ ἡμεῖς· διὰ τοῦτο γὰρ ἐξεικονίζον οὐκ ἐξεικονίζεται καὶ τὸ χρίσμα οὐ χρίεται. Χρίσμα δὲ τὸ Πνεῦμα, ἐφ' ἡμῖν, ὡς 'Ιωάννης λέγει[3]. Καὶ τί εἶπον ἐφ' ἡμῖν; Ἤδη γὰρ καὶ ἐν αὐτῷ τῷ Κυρίῳ κατὰ τὴν σάρκα. «'Ιησοῦν», φησί, «τὸν ἀπὸ Ναζαρέθ, ὡς ἔχρισεν αὐτὸν ὁ Θεὸς Πνεύματι Ἁγίῳ καὶ δυνάμει»[4]. Χριστὸς ἄρα διὰ τὸ Πνεῦμα καὶ τὴν χρίσιν τὴν ἐν τῷ Πνεύματι· οὐ δὴ οὖν διὰ τοῦ ἀλλοτρίου τῆς θεότητος ἡ τοῦ Κυρίου χρίσις καὶ τὸ Χριστὸς ὄνομα καὶ οἱ ἀπ' αὐτοῦ καλούμενοι Χριστιανοί· Οἰμώξειε γάρ τις ἀληθῶς, εἰ καὶ **231** τὸ ὄνομα τῆς σωτηρίας ἡμῶν ἀπὸ κτίσεως ἄρχεται καὶ ἀπὸ κτίσεως κατάγεται καὶ εἰ διὰ δούλου τὴν υἱοθεσίαν ἔχομεν. Κτίσις οὐχ ἁγιάζει κτίσιν, ἀλλ' ὑπὸ τοῦ ἑνὸς ἁγίου τὰ πάντα ἁγιάζεται τοῦ λέγοντος περὶ ἑαυτοῦ «ἐγὼ ἁγιάζω ἐμαυτόν»[5]. Ἁγιάζει δὲ διὰ τοῦ Πνεύματος, ὡς προαποδέδεικται· τὸ Πνεῦμα ἄρα οὐ κτίσις, ἀλλὰ τῆς ἁγιότητος τοῦ Θεοῦ χαρακτὴρ καὶ πηγὴ τοῖς πᾶσιν ἁγιασμοῦ. Ἐν ἁγιασμῷ τοῦ Πνεύματος ἐκλήθημεν[6], ὡς ὁ 'Απόστολος διδάσκει. Τοῦτο ἡμᾶς ἀνακαινοῖ καὶ πάλιν εἰκόνας ἀναδείκνυσι Θεοῦ, διὰ λουτροῦ παλιγγενεσίας καὶ ἀνακαινώσεως Πνεύματος Ἁγίου[7] υἱοθετούμεθα Θεῷ. Καινὴ πάλιν κτίσις μεταλαμβάνουσα τοῦ Πνεύματος, οὗπερ ἐστερημένη πεπαλαίωτο. Εἰκὼν πάλιν Θεοῦ ὁ ἄνθρωπος ἐκπεσὼν τῆς ὁμοιότητος τῆς θείας καὶ παρασυμβληθεὶς κτήνεσιν ἀνοήτοις καὶ ὁμοιωθεὶς αὐτοῖς[8], ὁμοιωθεὶς τοῖς ἀλόγοις κατὰ τὸν θάνατον. «Ὡς ὁ θάνατος γάρ», φησί, «τούτου, οὕτως ὁ θάνατος τούτου»[9]· ἀλλὰ νῦν φησιν «ὁ ἐγείρας Χριστὸν ἐκ νεκρῶν ζωοποιήσει καὶ τὰ θνητὰ ὑμῶν σώματα διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ Πνεύματος ἐν ὑμῖν»[10]. Τὸ δὴ τὴν κτίσιν ἀνακαινοῦν καὶ τὴν φθορὰν εἰς ἀφθαρσίαν μεταβάλλον, τὸ καινὴν ἡμᾶς κτίσιν ἀπεργαζόμενον διαμένουσαν εἰς αἰῶνα, τίς ἀποστήσει τοῦ δημιουργοῦ Θεοῦ καὶ Υἱοῦ; Πῶς τὸ τῆς θεότητος ἐκτὸς τὴν τῆς θεότητος κτίσιν ἀνασῴζει, καινὴν καὶ ἄφθαρτον ἀπεργαζόμενον; Τίνος ὁ Θεὸς ἑτέρου προσεδεῖτο πρὸς τὸ τὴν ἑαυτοῦ κτίσιν διαρρυεῖσαν ἐπαναλαβεῖν; Σιωπάσθω λόγος ὁ δυσσεβής, ὁ τὴν μὲν παλαιωθεῖσαν καὶ διαφθαρεῖσαν κτίσιν ἔργον εἶναι φάσκων Θεοῦ, τὴν δὲ μηκέτι παλαιουμένην μηδὲ φθειρομένην τῇ

---

1. Ρωμ. 8,9-10. 2. Β' Κορ. 3,17. 3. Πρβλ. Α' 'Ιω. 2,27. 4. Πράξ. 10,38. 5. 'Ιω. 17,19. 6. Πρβλ. Β' Θεσ. 2,13. 7. Τίτ. 3,5. 8. Πρβλ. Ψαλ. 48,13. 9. 'Εκκλ. 3,19. 10. Ρωμ. 8,11.

διὰ κτίσματος ἀνακαινώσει διδούς. Μὴ δοξαζέσθω κτίσις ὑπὲρ Θεόν. Δοξάζεται δὲ ὑπὲρ Θεόν, εἴπερ ἀθάνατα διὰ κτίσματος καὶ ἄφθαρτα κατασκευάζεται τὰ θανάτῳ καὶ φθορᾷ λυθέντα, ἅπερ ὁ Θεὸς εἰργάσατο διὰ Υἱοῦ. Ἀλλὰ Πνεῦμα τὸ θεϊκὸν πάντων ἀεὶ τελεσιουργὸν τῶν ἐκ Θεοῦ δι' Υἱοῦ γενομένων, ὥσπερ ἐπὶ τῆς καινῆς κτίσεως, περὶ ἧς λέγεται· «εἴ τις ἐν Χριστῷ καινὴ κτίσις»[1] οὕτω καὶ ἐπὶ τῆς πάλαι τῆς κατ' ἀρχάς. Διὰ τοῦτό φησι «τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν»[2]. Ζῶν ὁ λόγος ἐν ᾧ γεγόνασιν οἱ οὐρανοί. Οὗτος αὐτὸς ὁ Θεὸς λόγος
232 περὶ οὗ ὁ Ἰωάννης βοᾷ· «πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν»[3]. Ζωὴν τὸ Πνεῦμα δείκνυσι τὸ ζωοποιοῦν κατὰ τὸ γεγραμμένον, ζωὴ τὸ Πνεῦμα τὸ τῶν οὐρανίων δυνάμεων ἀποτελεστικόν· τοῦτο αὐτὸ μετὰ Πατρὸς καὶ Υἱοῦ δοξαζόμενον. Οὔτε γὰρ προφορᾷ δημιουργεῖ ῥημάτων Θεός, κἂν ἀνθρωπινωτέρως ὀνομάζηται λόγια προφορικὰ ῥήματα, οὔτε πνεύματος ἀερίου προχύσει κοσμοῦνται οἱ οὐρανοί. Πνεῦμα γὰρ τῷ ζῶντι λόγῳ συντεταγμένον εἰς τὸ δημιουργεῖν ζῶσα δύναμις καὶ θεία φύσις ἄρρητος ἐξ ἀρρήτου στόματος πεφηνυῖα, ἀρρήτως καὶ κατὰ τὴν ἐμφύσησιν εἰς τὸν ἄνθρωπον ἀπεσταλμένη καὶ κατὰ τὸν σωματικῶς ὑπὸ τοῦ Κυρίου διδαχθέντα τύπον αὖθις ὑπ' αὐτοῦ δι' ἐμφυσήσεως ἀποκαθισταμένη[4]. Συντρέχειν γὰρ δεῖ τῇ κατ' ἀρχὴν καινότητι τὴν νῦν ἀνακαίνωσιν καὶ τὴν συνδρομήν. Ἐξετύπωσεν οὖν ἐμφυσήσας οὐχ ἕτερος ὢν παρὰ τὸν ἐξ ἀρχῆς ἐμφυσήσαντα, ἀλλ' αὐτὸς δι' οὗ Θεὸς δέδωκε τὴν ἐμφύσησιν, τότε μὲν μετὰ ψυχῆς, νῦν δὲ εἰς ψυχήν. Οὕτως δημιουργεῖ Θεός, οὐ χειρῶν κινήσει σωματικῶν ἀλλ' ἐνεργείᾳ ζῶντος λόγου καὶ Πνεύματος μεταδόσει ζωοποιοῦ. Εἰ δὴ καὶ κατ' ἀρχὴν ἐν Πνεύματι τὰ πάντα πεποίηται καὶ ἀνακαινοῦται πάλιν ἐν Πνεύματι, μία καὶ ἡ αὐτὴ προφανῶς ἐνέργεια Θεοῦ δι' Υἱοῦ ἐν Πνεύματι φαίνεται, καὶ χωρισμὸν ἡ Τριὰς οὐ προσδέχεται, ἀλλὰ κατὰ τὴν ἀληθῆ τοῦ Παύλου διδασκαλίαν «διαιρέσεις χαρισμάτων εἰσίν, τὸ δὲ αὐτὸ Πνεῦμα· καὶ διαιρέσεις διακονιῶν εἰσιν, καὶ ὁ αὐτὸς Κύριος· καὶ διαιρέσεις ἐνεργημάτων εἰσίν, ὁ δὲ αὐτὸς Θεὸς ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν»[5]. Καὶ πάντα καταλέξας τὰ θεῖα ἐνεργήματα «πάντα δὲ ταῦτα», φησίν, «ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται»[6]. Οὐ δὴ τῶν θεοῦ δημιουργημάτων ἐξουσιάζει κτίσις οὐδὲ περὶ ταῦτα ἐνεργεῖ, ἀλλ' ἑτέρα τοῦ δημιουργοῦ καὶ ἑτέρα τῶν δημιουργημάτων ἡ πρᾶξις. Ἄγγελοι θεωροῦσι τὸ πρόσωπον τοῦ Πατρὸς τοῦ ἐν οὐρανοῖς[7], καθά φησιν ὁ Σωτήρ, καὶ τοῦτο αὐτῶν ἡ μεγάλη δόξα καὶ μακαριότης. Ἔργα δέ εἰσι Θεοῦ κατὰ τό· «ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα»[8]. Θεὸς αὐτούς, οὐ δι' αὐτῶν ἐργάζεται·

1. Β' Κορ. 5,17. 2. Ψαλ. 32,6. 3. Ἰω. 1,3. 4. Πρβλ. Ἰω. 20,22. 5. Α' Κορ. 12,4-6. 6. Α' Κορ. 12,11. 7. Πρβλ. Ματθ. 18,10. 8. Ψαλ. 103,4.

ἀλλὰ καὶ αὐτοὺς ἁγιάζει καὶ ἐν αὐτοῖς ἐνεργεῖ καθάπερ ἐν ἁγίοις ἀνθρώποις, οἱ δὲ ἀναγγέλλουσι τὰ Θεοῦ κα**233**θάπερ ἄνθρωποι. Διόπερ οὐδὲ συνδοξάζομεν ἀγγέλους θεῷ καθάπερ οὐδὲ ἀνθρώπους. Οὐ γὰρ ἴδια αὐτῶν τὰ δι' αὐτῶν εὐεργετήματα λογιζόμεθα, ἀλλὰ Θεοῦ τοῦ ἐν αὐτοῖς ἐνεργοῦντος. Τὸ δὲ Πνεῦμα μετὰ Θεοῦ καὶ Υἱοῦ δοξάζεται, ἅτε δὴ καὶ τῆς θεϊκῆς ἐνεργείας δι' αὐτοῦ πληρουμένης. «Ἡ χάρις γὰρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ», φησί Παῦλος, «καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ ἡ κοινωνία τοῦ Ἁγίου Πνεύματος μετὰ πάντων ὑμῶν»[1]. Καὶ τὸ κεφάλαιον τῆς σωτηρίας ἡμῶν καὶ ἡ τελεία περὶ θεότητος παράδοσις εἰς τὸν τῶν βαπτιζομένων ἁγιασμὸν τὸ βαπτίζειν εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος. Τὸ δὲ ἐπὶ τῶν αὐτῶν θεϊκῶν ἔργων τὴν Ἁγίαν Τριάδα δοξάζεσθαι τῆς μιᾶς θεότητος μαρτύριον, ὅτι μήτε χωρὶς Υἱοῦ ποιεῖ Πατὴρ μήτε Υἱὸς χωρὶς Πνεύματος. Διὰ τοῦτο καὶ Θεοῦ μὲν λόγος ὁ Υἱός, ῥῆμα δὲ Υἱοῦ τὸ Πνεῦμα. «Φέρων γάρ», φησί, «τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ»[2]. Καὶ ἐπειδὴ ῥῆμα Υἱοῦ, διὰ τοῦτο Θεοῦ. «Τὴν μάχαιραν», φησί, «τοῦ Πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ»[3]. Λόγος δὲ Θεοῦ καὶ ῥῆμα ζῶν καὶ ἐνεργόν. Μὴ γάρ μοι πρὸς τὰ ἀνθρώπινα καταπέσῃς ὁμοιώματα, ἀλλὰ π..νταχοῦ νόει τὸ μεῖζον ἐπὶ Θεοῦ, πρὸς τὴν τῆς μιᾶς ἀπόδειξιν ἐνεργείας λαμβάνων τὸ τοῦ λόγου παράδειγμα, ὅτι καὶ νοῦς ὁ σὸς διὰ λόγον πάντα περιεργάζεται. [Ὅτι οὐ διὰ τὸ μὴ εἶναι ἐκ Θεοῦ δι' Υἱοῦ, ἀλλ' ἵνα ἡ Τριὰς μὴ νομισθῇ πλῆθος ἄπειρον, Υἱοὺς ἐξ υἱῶν ὡς καὶ ἐν ἀνθρώποις ἔχειν ὑποπτευθεῖσα]. Ἀλλὰ λέγεις· εἰ Θεοῦ μὲν εἰκὼν ὁ Υἱός, Υἱοῦ δὲ τὸ Πνεῦμα καὶ εἰ Θεοῦ μὲν Λόγος ὁ Υἱός, ῥῆμα δὲ Υἱοῦ τὸ Πνεῦμα, διὰ τί μὴ υἱὸς τοῦ Υἱοῦ τὸ Πνεῦμα εἴρηται; Τούτῳ γὰρ ἰσχυροτάτῳ πρὸς τὴν ἀσέβειαν ἐχρήσω. Ἢ γὰρ υἱὸν ἢ κτίσμα κελεύεις νοεῖν. Καὶ ὅτι μὴ υἱὸς ὠνόμασται, διὰ τοῦτο κτίσμα εἶναι βλασφημεῖς, τὸ τῆς κτίσεως αἴτιον, τὸ τῆς κτίσεως ἁγιαστικὸν καὶ θεοποιόν, τὸ Κυρίου καὶ Θεοῦ δοξαζόμενον ὀνόματι, τὸ τῶν θείων ἐνεργειῶν πληρωτικόν. Ἐπεὶ οὖν ἀνάξιον εἶναί σοι φαίνεται τῆς τοῦ υἱοῦ προσηγορίας, ὡς ἀλλότριον Υἱοῦ καὶ Πατρός, σκέψαι πῶς υἱοὺς ἀπεργάζεται τοὺς ἁγιαζομένους. Εἰ δὲ σὺ διὰ τοῦ Πνεύματος υἱὸς Θεοῦ, πῶς τὸ Πνεῦμα ξένον υἱότητος; Εἰ σὺ διὰ τοῦ Πνεύματος θεός, πῶς τὸ Πνεῦμα θεότητος ἀλλότριον; Ἀντερωτήσεις δὴ πάλιν· διὰ τί δὲ τὸ τοῦ υἱοῦ μὴ εἴληφεν ὄνομα; **234** Τοῖς μὲν γὰρ εἰρημένοις προσέχειν οὐκ ἀξιοῖς, τοῦ δὲ μὴ εἰρημένου τὴν αἰτίαν ἀπαιτεῖς, ὥσπερ ὁ Σαδδουκαῖος, τὴν ἀνάστασιν οὐ δεχόμενος, ἀλλὰ τῆς ἀναστάσεως τὸν τρόπον περιεργαζόμενος καὶ τὸ ῥηθὲν διὰ τὸ μὴ ῥηθὲν ἀθετῶν. Κἂν σιωπήσωμεν οὐ βουλόμενοι τὰ τοῦ Θεοῦ περιεργάζεσθαι, νενικῆσθαι τὴν τοῦ θείου Πνεύματος δόξαν ὑπολαμβάνεις διὰ τὸ μὴ κεῖσθαι τὴν τοῦ Υἱοῦ προσηγορίαν ἐπ' αὐτοῦ, ὥσπερ οὐχὶ ταὐτὸν

---

1. Β' Κορ. 13,13. 2. Ἑβρ. 1,3. 3. Ἐφ. 6,17.

δυνάμενος ἀπαιτεῖσθαι. Εἰ γὰρ ὁμολογεῖς υἱοὺς διὰ τὸ Πνεῦμα θέσει γίνεσθαι μυρίους, διὰ τί τὸ Πνεῦμα μηδὲ θέσει προσαγορεύεται Υἱός, κάλλιον δήπουθεν ὂν τῶν υἱοθετουμένων χάριτι δι' αὐτοῦ καὶ διὰ τοῦτο μᾶλλον οὐκ ὀφεῖλον ἐλαττοῦσθαι διὰ τὴν προσηγορίαν; Ἡμεῖς δὲ καὶ περὶ τούτου κατὰ τὸ δυνατὸν ἀποκρινούμεθα πρὸς ἡμᾶς αὐτούς (ἐπεὶ πρός γε σὲ καὶ σιωπᾶν ἐξήρκει, τῆς αὐτῆς ἐρωτήσεως ἐπικειμένης καὶ σοί). Λέγομεν οὖν ὅτι τὸ εἰπεῖν υἱὸν ἐξ υἱοῦ τὴν Τριάδα τῆς θεότητος εἰς πλήθους ὑποψίαν προσῆγεν ἀνθρώποις ἀκούσασιν. Ἕτοιμον γὰρ ἦν ὑπολαβεῖν, ὡς εἴπερ υἱὸς ἐξ υἱοῦ γεγέννηται καὶ ἐκ τούτου πάλιν ἕτερος ἂν εἴη γεγεννημένος καὶ πάλιν ἄλλος καὶ ἐπὶ πλῆθος ἑξῆς. Διὰ δὴ τοῦτο τὸ μὲν ἐκ Θεοῦ τὸ Πνεῦμα εἶναι τρανῶς ἀνεκήρυξεν ὁ Ἀπόστολος λέγων ὅτι· «τὸ Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ ἐλάβομεν»[1]. Καὶ τὸ διὰ Υἱοῦ πεφηνέναι σαφὲς πεποίηκεν Υἱοῦ Πνεῦμα ὀνομάσας αὐτὸ καθάπερ Θεοῦ καὶ νῦν Χριστοῦ προσειπὼν καθάπερ καὶ Θεοῦ Πνεῦμα ὡς τοῦ ἀνθρώπου. Υἱὸν δὲ τοῦ Υἱοῦ προσειπεῖν ἐφυλάξατο, ἵν' εἷς μὲν Πατὴρ ὁ Θεὸς ἀεὶ Πατὴρ διαμένων καὶ ὢν ἀιδίως ὅ ἐστιν, εἷς δὲ Υἱὸς ἀιδίῳ γεννήσει γεγεννημένος, ὁ ἀνάρχως σὺν τῷ Πατρὶ ὢν Υἱὸς ἀληθινὸς Θεοῦ, ἀεὶ ὢν ὅ ἐστι Θεὸς Λόγος καὶ Κύριος· ἓν δὲ καὶ τὸ Πνεῦμα τὸ Ἅγιον, ἀληθῶς Ἅγιον Πνεῦμα κατὰ τὸ γεγραμμένον, τὸ μετὰ Πατρὸς καὶ Υἱοῦ συνδοξαζόμενον, ὃ δὴ καὶ Πνεῦμα στόματος ὀνομάζεται παρὰ τῷ προφήτῃ Δαβίδ[2]. Ὃ καὶ δάκτυλον Θεοῦ εἶναι διδασκόμεθα ἐν τῷ Εὐαγγελίῳ τοῦ Κυρίου λέγοντος· «εἰ δὲ ἐν δακτύλῳ Θεοῦ ἐγὼ ἐκβάλλω τὰ δαιμόνια»[3]. Εἴρηται ταῦτα καὶ ἔστι καλῶς ὡς ἐστι τοῖς ἀπεριέργως πιστεύουσιν εἰς Θεὸν καὶ Λόγον καὶ Πνεῦμα, μίαν οὖσαν θεότητα τὴν καὶ μόνην προσκυνητήν. Καὶ μηδαμοῦ παρείσδυσις γένηται πλήθους, ἀλλ' ἕκαστον ἐπὶ τῆς Τριάδος, ἓν ὂν ἐπιγινώσκηται, εἷς Πατήρ, εἷς Υἱός, ἓν Πνεῦμα Ἅγιον. Οὐδὲ γὰρ **235** ἔλαττόν τι ἔξειν μέλλομεν εἰς τὸ γινώσκειν τὸ Πνεῦμα ὑπάρχον ἐκ Θεοῦ, Πνεῦμα τοῦ στόματος αὐτοῦ ἀκούοντες αὐτό. Ἀλλ' ἱκανὸν καὶ τοῦτο τὸ ὄνομα τὴν ὕπαρξιν αὐτοῦ δηλῶσαι τὴν ἐκ Θεοῦ. Οὐδὲ γὰρ Υἱὸς οὐδ' ἡ γέννησις ἴδιον θεότητος, ἀλλ' ἐξ ἀνθρωπίνης ὁμοιότητος ἀνῆκται. Ὁμοίως δὲ καὶ τοῦ Πνεύματος πρόσρησις. Ταύτῃ τοίνυν καὶ ἐπὶ τοῦ θείου Πνεύματος ἡ θεία Γραφὴ κέχρηται, ἑτέρως τὸ ἐκ Θεοῦ παραστήσασα, ἐπειδήπερ οὐκ ἐχρῆν διὰ τῆς αὐτῆς ὁμοιώσεως καὶ τοῦτο δηλοῦν, ὡς προείρηται. Σὺ δὲ τοῖς ἀπίστοις ὁμοίως ἀντιδιατάττεις τῇ θείᾳ διδασκαλίᾳ σπεύδων ἐπὶ τὴν βλασφημίαν. Καὶ ὅτι μὴ γέννησις ἡ τοῦ Πνεύματος πρόοδος ἐκ Θεοῦ κέκληται διὰ τοῦτο καὶ τὴν ἐκ στόματος Θεοῦ πρόοδον τοῦ Πνεύματος ἀναιρεῖς· καὶ ὅτι μὴ Υἱὸς ὀνομάζεται διὰ τοῦτο οὐδὲ Πνεῦμα αὐτὸ στόματος Θεοῦ εἶναι πιστεύεις, ἀλλ' ἔργον χειρῶν Θεοῦ. Καὶ καταφρονῶν τῶν ἀνθρωπίνων παραδειγμάτων ἀνατρέπεις τὰ ἐξ αὐτῶν θεῖα

1. Α' Κορ. 2,12. 2. Ψαλ. 32,6. 3. Λουκ. 11,20.

δόγματα. δέον ἀκούειν τῶν θείων ῥημάτων σὺν φόβῳ καὶ δέχεσθαι σὺν εὐσεβείᾳ πᾶν τὸ λεγόμενον καὶ μὴ μωρότατα κατὰ τῆς εὐσεβείας σοφίζεσθαι. Γεννᾷ Θεὸς οὐχ ὡς ἄνθρωπος· γεννᾷ δὲ ἀληθῶς. Καὶ τὸ γέννημα ἐξ αὐτοῦ ἐκφαίνει Λόγον, οὐκ ἀνθρώπινον· ἐκφαίνει δὲ Λόγον ἀληθῶς ἐξ ἑαυτοῦ. Καὶ ἐκπέμπει Πνεῦμα διὰ στόματος, οὐχ οἷον ἀνθρωπίνως, ἐπεὶ μηδὲ στόμα Θεοῦ σωματικόν· ἐξ αὐτοῦ δὲ καὶ τὸ Πνεῦμα καὶ οὐχ ἑτέρωθεν. Ἐργάζεται Θεὸς χερσὶν οὐ σωματικαῖς· ἐργάζεται δὲ οὐκ ἐξ ἑαυτοῦ προάγων τὰ δημιουργήματα, ἀλλ' ἐνεργητικῶς ὑφιστάς, ὡς ὁ ἐν χερσὶν ἐργαζόμενος ἄνθρωπος οὐκ ἐξ ἑαυτοῦ προβάλλει τὸ ἔργον. Μὴ δὴ μετακίνει τῶν θείων λογίων τοὺς ὅρους, Υἱοῦ λέγων τὸ Πνεῦμα ποίημα, μήτε περὶ Υἱοῦ ζήτει, διὰ τί μὴ Πνεῦμα κέκληται, μήτε περὶ τοῦ Πνεύματος, διὰ τί μὴ Υἱός· μήτε ποίημα τὸν Υἱὸν ἢ τὸ Πνεῦμα δυσφημήσῃς. Υἱὸς Θεοῦ καρπὸς ἅγιος ἐξ ἁγίου, ἀίδιος ἐξ ἀιδίου, Πνεύματος Ἁγίου χορηγὸς εἰς ὑπόστασιν καὶ μόρφωσιν κτίσεως. Ὁ τὸν Υἱὸν ἀναιρῶν τὴν ἀρχὴν τῆς τῶν ὅλων δημιουργίας ἀνεῖλεν. Ἀρχὴ γὰρ τῆς ἁπάντων ὑποστάσεως ὁ τοῦ Θεοῦ λόγος, δι' οὗ τὰ πάντα γέγονεν[1]. Ὁ τὸ Πνεῦμα περιαιρῶν τὴν τελεσιουργίαν τῶν ποιουμένων ἀπέκοψεν. Ἐκπομπῇ γὰρ καὶ μεταδόσει Πνεύματος τὰ γινόμενα γίνεται. Οὐκ ἐν χρόνῳ πρόεισι τὸ προϊὸν ἐκ Θεοῦ, κἂν ἐν χρόνῳ τὰς ποιήσεις ἀποδιδῶ. Ἔστιν ὁ λόγος ἀεὶ καὶ πρὶν ὑποδείκνυσθαι ὑπὸ Μωϋσέως αὐτὸν ὥσπερ λαλούμενον ἀνθρωπίνως εἰς τὸ τὴν δι' αὐτοῦ γινομένην κτίσιν **236** ἑρμηνευθῆναι κατὰ τύπον ἀνθρώπινον. Ἔστιν ἀεὶ τὸ Πνεῦμα καὶ πρὶν ἐμφυσώμενον αὐτὸ καὶ μεταδιδόμενον ὑπογραφῇ Μωϋσῆς τύπῳ σωματικῷ τὴν δι' αὐτοῦ ζωοποίησιν ὑπογράφων[2]. Ἀλλὰ τὰ μὲν οἰκειότητος τῆς πρὸς Θεὸν σύμβολα καὶ συναφείας τῆς θεϊκῆς ἑρμηνεύματα περικόπτεις, τὸν Λόγον, τὸ Πνεῦμα· τὰ δὲ τῆς ἔξωθεν καὶ τῆς διεστώσης φύσεως δηλωτικά, ταῦτα μόνα προσίεσαι, χειρὸς ἐνέργειαν καὶ ποίησιν ἔργων. Ἐὰν γὰρ τὸ Πνεῦμα μὴ πιστεύῃς ἐκ στόματος Θεοῦ προεληλυθέναι, οὐδ' ἂν τὸν λόγον πιστεύοις. Ἐπεὶ καὶ ὁ Δαβὶδ Λόγον καὶ Πνεῦμα συνδοξάζων τῷ λόγῳ Κυρίου τοὺς οὐρανοὺς εἴρηκεν ἑστερεῶσθαι καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσαν τὴν δύναμιν αὐτῶν[3]. Καὶ ὁ Μωϋσῆς ὁ λόγῳ γινόμενα τὰ ἔργα παραστήσας καὶ Πνεύματι ζωοποιούμενα δέδειχεν ἐν τῇ τοῦ κατ' εἰκόνα ποιήσει ἀνθρώπου[4]. Πῶς ἂν οὖν χωρίζοιτο τὰ ἀχώριστα, λόγος Θεοῦ καὶ Πνεῦμα ἐκ Θεοῦ δι' Υἱοῦ; Εἰ δὲ Πνεῦμα ἀπιστεῖται καὶ Λόγος συναπιστεῖται. Ἄκουε τοῦ Παύλου τὴν μόρφωσιν ἡμῶν τὴν κατὰ Θεὸν ἐν Πνεύματι τελεῖσθαι λέγοντος· «ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμενοι, τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ κυρίου Πνεύματος»[5]. Διὰ τοῦ λόγου

---

1. Πρβλ. Ἰω. 1,3. 2. Πρβλ. Γεν. 2,7. 3. Πρβλ. Ψαλ. 32,6. 4. Πρβλ. Γεν. 1,26. 5. Πρβλ. Β' Κορ. 3,18.

ἄρα καὶ ἐν τῷ Πνεύματι τὸ κατ' εἰκόνα ποίημα. Ἀλλὰ ποιεῖ τὸ Πνεῦμα, φής, Θεὸς καὶ ποιεῖ δι' Υἱοῦ· καὶ τὸ «πάντα δι' αὐτοῦ ἐγένετο»[1] συμπεριειληφέναι σοι δοκεῖ καὶ τὸ Πνεῦμα. Οὐκοῦν σοι δυὰς ἡ Τριὰς ἀποδέδεικται; Εἰ γὰρ μετὰ πάντων τὸ Πνεῦμα, πῶς μετὰ Πατρὸς καὶ Υἱοῦ; Εἰ δὲ οὐ μετὰ Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα, πῶς τριὰς ἡ Τριάς; Καὶ πῶς ἐπὶ τῆς Τριάδος τὸ βάπτισμα τοῦ κόσμου παντὸς ἁγιαστικόν; Ἀλλὰ καὶ τῷ ὕδατι συναριθμεῖσθαι αὐτὸ φῂς ὡς τῆς κτίσεως ὄν, ὥσπερ καὶ τὸ ὕδωρ ἐστί· λέγειν γὰρ τὸν Κύριον «ἐὰν μή τις ἀναγεννηθῇ ἐξ ὕδατος καὶ Πνεύματος»[2]. Καὶ τοῦτο ἔτι μικρόν. Σὺ δὲ καὶ τῷ πυρὶ τῆς γεέννης τὸ Πνεῦμα τὸ θεῖον συγκατατάττεις διὰ τὸ λέγειν τὸν Ἰωάννην· «αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι Ἁγίῳ καὶ πυρί»[3]. Ταῦτα ποίαν ἀσεβείας ὑπερβολὴν κατέλιπεν, εἰ τὴν ὕδατος ἀξίαν τῷ Πνεύματι τῷ Ἁγίῳ περιάπτεις, ἐπειδὴ Πνεύματος κατεφόδῳ τὸ ὕδωρ ἁγιάζεται; Ἰσάζειν γάρ σοι ἔδοξε τῷ ἁγιάζοντι τὸ ἁγιαζόμενον καὶ Θεῷ μὲν Υἱῷ συναριθμούμενον εἰς τὴν αὐτὴν ἐνέργειαν καὶ **237** δόξαν οὐ φρίττεις, ἰδίᾳ τὴν μίαν ἐνέργειαν καὶ δόξαν ἀνακόπτων· ὅτι δὲ ὕδατι χρῆται πρὸς τὸν τῶν σωμάτων καθαρμόν, διὰ τοῦτο τῆς τοῦ ὕδατος ἰσοτιμίας ἄξιον ἐλογίσω τὸ Πνεῦμα. Καὶ τὴν μὲν ἰατρικὴν ὕλαις χρωμένην οὐκ ἰσάξιον ταῖς ὕλαις λέγεις, ἀλλὰ κυριευτικὴν τῶν ὑλῶν· τὸ δὲ θεῖον Πνεῦμα χρώμενον ὕδατι πρὸς τὴν τῶν ἁμαρτίας ῥύπων ἀποκάθαρσιν εἰς τὴν τοῦ ὕδατος ἀδοξίαν καὶ ταπεινότητα καταβέβληκας· ὕδατος ὃ πρὸς κοινὴν χρῆσιν ἀνεῖται καὶ δυσσεβῶν· ὕδατος ᾧ μολυσμοὶ σωμάτων πάντες ἀποκαθαίρονται. Ἐὰν δὲ καὶ τὸ τοῦ πυρὸς ἐνθυμηθῇς, οἷον ἐννοῆσαι τετόλμηκας; Θαυμάζω τὴν ἀπόνοιαν, εἰ μὴ δέδοικας ὄντως τὸ πῦρ. Βαπτίζει Χριστὸς ἐν Πνεύματι τοὺς ἀξίους ἁγιασμοῦ· τοὺς δὲ ἀναξίους ἐπὶ τὸ πῦρ παραπέμπει, τοὺς ἀλλοτρίους τοῦ ἀγαθοῦ τῷ κακῷ παραδιδούς. Διὰ τοῦτό σοι ἄρα τὸ ἀγαθὸν καὶ τὸ κακὸν ἀδελφὰ καὶ ὁμόκτιστα καὶ κοινωνὰ φαίνεται· καὶ ἡμῶν μὲν ἐπιδεικνύντων ἐνεργείας τὰς αὐτὰς Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος, οὐχ ὁρᾷς τὴν ἕνωσιν οὐδ' ὅτε κατὰ μόνας ἐν Θεοῦ δόξῃ τὸ Πνεῦμα κηρύσσεται συνίεις τὴν θεϊκὴν δόξαν ἐπ' αὐτοῦ, λεγόντων τῶν Ἀποστόλων· «τάδε λέγει τὸ Πνεῦμα τὸ Ἅγιον»[4], ὡς οἱ Προφῆται· «τάδε λέγει Κύριος»[5]. Καὶ Κυρίου πεῖραν λεγόντων τὴν τοῦ Πνεύματος πεῖραν, ὅτε φησὶ πρὸς τοὺς πειράσαντας ὁ Πέτρος· «τί ὅτι συνεφωνήθη ὑμῖν πειράσαι τὸ Πνεῦμα Κυρίου»[6]; Καὶ πρὸς τοὺς αὐτούς· «οὐκ ἐψεύσω ἀνθρώποις, ἀλλὰ Θεῷ»[7]. Ἐὰν δὲ οἱ Ἀπόστολοι λέγωσιν· «ἔδοξε δὲ τῷ Ἁγίῳ Πνεύματι καὶ ἡμῖν»[8], οὐ συντάσσοντες ἑαυτοὺς τῇ τοῦ Πνεύματος ἐξουσίᾳ, ἀλλ' ὑποτάσσοντες ὡς ὑπ' αὐτοῦ χορηγούμενοι τότε, καθάπερ μίαν γνῶσιν καὶ φρόνησιν λεγόντων ἑαυτῶν τε καὶ τοῦ Πνεύματος καὶ μίαν ἐξου-

---

1. Ἰω. 1,3. 2. Ἰω. 3,5. 3. Ματθ. 3,11. 4. Πράξ. 21,11. 5. Ἡσ. 3,16. Ἀμ. 1,6 κ.ἀ. 6. Πράξ. 5,9. 7. Πράξ. 5,4. 8. Πράξ. 15,28.

σίαν, σὺ εἰς κτίσιν τὸ Πνεῦμα κατάγειν βιάζῃ· ὥσπερ εἰ καὶ τῷ Μωϋσεῖ τὸν Θεὸν ἰσάζειν ἔφασκες, ἀκούων ὅτι· «ἐπίστευσεν ὁ λαὸς τῷ Κυρίῳ καὶ Μωϋσεῖ τῷ θεράποντι αὐτοῦ»[1]. Ἀλλὰ δήλη ἡ διαφορὰ δεσπότου καὶ δούλου, ἥνπερ καὶ δεικνὺς ὁ γράφων εἴρηκε· «Μωϋσεῖ τῷ θεράποντι αὐτοῦ»[2]. Θεὸς μὲν γὰρ ὡς δεσπότης καὶ ὡς ἀποστείλας Μωϋσέα πιστεύεται, Μωϋσῆς δὲ ὡς θεράπων ἀποσταλείς. Οὕτω δὴ καὶ τῷ Πνεύματι μὲν ἔδοξε δεσποτικῶς τὰ τῇ Ἐκκλησίᾳ δοθέντα νόμιμα, τοῖς δὲ Ἀποστόλοις ὑπηρετικῶς τὰ δι' αὐτῶν ἐκφωνηθέντα
238 προστάγματα. Ἀλλ' οὐ τὸ Πνεῦμα δοῦλον. «Ὁ γὰρ Κύριος», φησί, «τὸ Πνεῦμά ἐστι καὶ οὗ τὸ Πνεῦμα Κυρίου, ἐλευθερία»[3]. Καὶ δουλαγωγεῖται μὲν ἐπιτάγμασι τοῖς τοῦ Πνεύματος ὁ Ἰσραὴλ σὺν φόβῳ νουθετούμενος, υἱοθετεῖται δὲ Χριστιανῶν Ἐκκλησία δι' ἀγάπης ἁγιαζομένη. Διό φησιν ὁ Παῦλος· «οὐ γὰρ ἐλάβετε Πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλ' ἐλάβετε Πνεῦμα υἱοθεσίας, ἐν ᾧ κράζομεν ἀββᾶ ὁ Πατήρ»[4]. Οὐ δὴ ὁ τὸ δοῦλον εἰληφὼς Υἱὸς ἐκ δούλου καθίσταται, οὐδὲ διὰ τὴν δούλου μετουσίαν Πατέρα τὸν Θεὸν παρρησιάζεται, οὐδὲ τὸ δοῦλον τὰ τοῦ Θεοῦ πάντα ἐνεργεῖ καθὼς βούλεται· οὐδ' ἂν τὴν τοῦ Πνεύματος παρουσίαν δούλου καὶ κτίσματός ὄντος ἐπὶ πάντα διήκειν ἔφασκεν ὁ ὑμνῳδός, πρόσωπον αὐτὸ καὶ χεῖρα Θεοῦ προσαγορεύων καὶ λέγων· «ποῦ πορευθῶ ἀπὸ τοῦ Πνεύματός σου καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; ἐὰν ἀναβῶ εἰς τὸν οὐρανόν, σὺ ἐκεῖ εἶ· ἐὰν καταβῶ εἰς τὸν ᾅδην, πάρει· ἐὰν ἀναλάβω τὰς πτέρυγάς μου κατ' ὄρθρον καὶ κατασκηνώσω εἰς τὰ ἔσχατα τῆς θαλάσσης καὶ γὰρ ἐκεῖ ἡ χείρ σου ὁδηγήσει με καὶ καθέξει με ἡ δεξιά σου»[5]. Πνεῦμα γάρ ἐστι τὸ πεπληρωκὸς τὰ σύμπαντα κατὰ τὸ γεγραμμένον· «Πνεῦμα γὰρ Κυρίου πεπλήρωκε τὴν οἰκουμένην»[6], φησὶν ὁ Σολομών. Διὸ καὶ ἐπείπερ καθ' ἑπτὰ ἐνεργείας γινώσκεται τὸ Πνεῦμα, ἃς ὁ Ἡσαΐας ἔφησεν[7], ἑπτὰ ὀφθαλμοὺς τὸ Πνεῦμα Κυρίου εἶπε καὶ ὁ Ζαχαρίας οὕτω λέγων· «οὗτοι οἱ ὀφθαλμοὶ Κυρίου ἐπιβλέποντες τὴν γῆν»[8]. Καὶ τὸ λεγόμενον· «τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ, λέγει Κύριος»[9] τὴν διὰ τοῦ θείου Πνεύματος σημαίνει πλήρωσιν. Ὥσπερ καὶ διὰ τοῦ Ζαχαρίου φησὶν ὁ Θεός· «ἐγώ εἰμι ἐν ὑμῖν[10] καὶ τὸ Πνεῦμά μου ἐφέστηκεν ἐν μέσῳ ὑμῶν»[11]. Προείρηται δὲ καὶ ἕτερα πλείονα τοιαῦτα περὶ τοῦ τὸ Πνεῦμα εἶναι τὸ πληροῦν τὴν κτίσιν. Τίς οὖν οὐκ αἰσθάνεται τῆς θεϊκῆς τοῦ Πνεύματος δόξης, ἀκούων τό· «ποῦ πορευθῶ ἀπὸ τοῦ Πνεύματός σου»;[12] Καὶ πάλιν «τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ, λέγει Κύριος»[13]. Εἰς ἓν καὶ ταὐτὸν συντρέχουσαν ὁρῶ τήν τε Θεοῦ καὶ Πνεύματος λεγομένην καθολικὴν ἐπὶ πάντα παρουσίαν. Σὺ δὲ ἐν τοῖς τοιούτοις οὐκ ἄκτιστον τὸ Πνεῦμα νοεῖν ἢ λέγειν

---

1. Ιρβλ. Ἐξ. 14,31. 2. Ἔνθ' ἀν. 3. Β' Κορ. 3,17. 4. Ρωμ. 8,15. 5. Ψαλ. 138,7-10. 6. Σ. Σολ. 1,7. 7. Ιρβλ. Ἡσ. 11,2. 8. Ιρβλ. Ζαχ. 4,10. 9. Ἱερ. 23,24. 10. Ιρβλ. Ἀγγ. 2,4. 11. Ἀγγ. 2,5. 12. Ψαλ. 138,7. 13. Ἱερ. 23,24.

μὴ δυνάμενος, αὐτὸν τὸν Θεὸν Πνεῦμα καλεῖσθαι λέγεις. Ἀλλ' οὐδὲ ἐγκατοικεῖ **239** δι' ἑαυτοῦ τῇ κτίσει Θεός, οὔτε τὸν Θεὸν τὸ τοῦ Θεοῦ Πνεῦμα δύναιτο ἄν τις παραδέχεσθαι, σαφῶς ἀκούων τοῦ Ἀποστόλου περὶ τοῦ ἐν ἡμῖν οἰκοῦντος τοιαῦτα γράφοντος· «ἡμῖν γὰρ ἀπεκάλυψεν ὁ Θεὸς διὰ τοῦ Πνεύματος αὐτοῦ. Τὸ γὰρ Πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ. Τίς γὰρ οἶδεν ἀνθρώπων τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ Πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ; Οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς ἔγνωκεν, εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ. Ἡμεῖς δὲ οὐ τὸ Πνεῦμα τοῦ κόσμου ἐλάβομεν, ἀλλὰ τὸ Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ, ἵνα εἰδῶμεν τὰ ὑπὸ τοῦ Θεοῦ χαρισθέντα ἡμῖν»[1]. Εἰ τοίνυν ἐν τούτοις οὐδεὶς ἂν δύναιτο τὸ Πνεῦμα τοῦ Θεοῦ τὸν Θεὸν ἀκούειν (καίτοι γε οὕτως ἡνωμένον αὐτὸ τῇ τοῦ Θεοῦ δόξῃ θεωρῶν ὡς ἀνθρώπῳ τὸ ἀνθρώπου Πνεῦμα), μὴ βιαζέσθω τὸ Πνεῦμα τοῦ Θεοῦ λέγειν αὐτὸν εἶναι τὸν Θεόν. «Τὸ Πνεῦμα», φησί, «τὸ ἐμόν, ὅ ἐστιν ἐπὶ σοί»[2], οὐ τὸν Θεόν, ἀλλὰ τὸ παρὰ Θεοῦ Πνεῦμα δεδήλωκε. «Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με»[3] τὸ πνεῦμα τῆς χρίσεως Πνεῦμα Κυρίου κέκληκεν. Ἓν τὸ Πνεῦμα τὸ θεῖον· μὴ πλείω τοῦ ἑνὸς λεγέτω τις, κἂν Πνεῦμα ὁ Θεὸς ὑπὸ τοῦ Κυρίου λέγηται. Τῇ τοῦ Πνεύματος ἐπωνυμίᾳ τὸν Πατέρα δεδήλωκεν ὅτι ἀσώματος[4]. Ὥσπερ γὰρ τὸ Πνεῦμα ὁ Θεὸς κατὰ τό· «ναὸς Θεοῦ ἐστε καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν»[5], οὕτω καὶ ὁ Θεὸς τὸ Πνεῦμα, τῆς Τριάδος μὴ διακοπτομένης μηδὲ χωριζομένης τὴν φύσιν, ὥστε καὶ τὰ ὀνόματα μὴ χωρίζεσθαι. Διόπερ καὶ ἑνὸς ὄντος τοῦ Θεοῦ, Θεὸς ὁ Υἱὸς πατρικῇ φύσει καὶ πατρικῷ ὀνόματι· καὶ ἑνὸς ὄντος Κυρίου τοῦ Υἱοῦ, Κύριος ὁ Πατὴρ τῷ τῆς εἰκόνος ὀνόματι καλούμενος ὡς πρωτότυπος αὐτῆς καὶ γεννήτωρ. Οὕτω καὶ τὸ Πνεῦμα Κύριος, ἀπὸ τοῦ Κυρίου τὴν ἐπωνυμίαν ἔχον, ἀφ' οὗ καὶ μεταδίδοται καὶ ὁ Κύριος ἀπὸ τῆς εἰκόνος Πνεῦμα, ἐπεὶ καὶ ὁ Θεὸς Πνεῦμα ἀπ' αὐτοῦ προσαγορεύεται. Οὐ δὴ τρεῖς θεοὺς οὐδὲ τρεῖς κυρίους οὐδὲ τρία πνεύματα διὰ τοῦτο ποιητέον, ἀλλὰ τῆς Τριάδος τὴν ἕνωσιν ἐν τῇ κοινωνίᾳ τῶν ὀνομάτων ἐπιγνωστέον. Καίτοι γε σὺ πρὸς τοσοῦτον ἀπονοίας ἥκεις ἀφορίζων καὶ ἀφιστὰς Πατρός τε καὶ Υἱοῦ τὸ Πνεῦμα, ὥστε καὶ λέγειν ἄνευ τοῦ Πνεύματος τὴν ζωὴν αἰώνιον ἐν Πατρὶ καὶ Υἱῷ κατηγγέλθαι, διὰ τὸ λέγειν τὸν Κύριον· «αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωή, ἵνα γι**240**νώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν»[6]. Τοιγαροῦν, εἰ τὸ Πνεῦμά σοι διὰ τοῦτο ἐξῃρῆσθαι δοκεῖ, βαπτίζου χωρὶς τοῦ Πνεύματος τὸ βάπτισμα τῆς ζωῆς. Εἰ δὲ ἐν Πνεύματι τὴν ζωὴν κληρονομεῖς, πῶς τὴν αἰώνιον ζωὴν ἄνευ τοῦ Πνεύματος ὀνειροπολεῖς; «Εἴ τις Πνεῦμα Χριστοῦ», φησίν, «οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ»[7]. Πῶς ἂν οὖν εἰς αἰῶνα ζήσειε, εἰ μὴ εἴης Χριστοῦ; Οὐκ

1. Α' Κορ. 2,10-12. 2. Ἡσ. 59,21. 3. Ἡσ. 61,1. 4. Πρβλ. Ἰω. 4,29. 5. Α' Κορ. 3,16. 6. Ἰω. 17,3. 7. Ρωμ. 6,9.

ἂν δὲ εἴης Χριστοῦ, τὸ Πνεῦμα μὴ ἔχων αὐτοῦ. Ἀλλὰ διὰ τί, φής, οὐχὶ προστέθεικεν «ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστὸν»[1] καὶ τὸ Πνεῦμα τὸ Ἅγιον; Οὐκ ἀφορίζων τὸ Πνεῦμα τῆς δυάδος, ὦ οὗτοι, ἀλλὰ τοὐναντίον ἑνῶν καὶ δηλῶν ἐν Πατρὶ καὶ Υἱῷ τὸ Πνεῦμα τὸ ἀχώριστον. Ἐπεὶ καὶ ὅτε φησὶ Παῦλος· «ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε»[2], οὐ δήπου καὶ χωρὶς τοῦ Πατρὸς τὸν ἁγιασμὸν εἰσηγήσατο, ἀλλ' ἐν Υἱῷ δὲ τὸν Πατέρα δεδήλωκεν. Καὶ ὅτε φησίν· «ἡμῖν γὰρ ἀπεκάλυψεν ὁ Θεὸς διὰ τοῦ Πνεύματος αὐτοῦ»[3], οὐχ ὑπεξήρηκε τὸν Υἱὸν τὸν λέγοντα· «οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰ μὴ ὁ Υἱὸς καὶ ᾧ ἂν ὁ Υἱὸς ἀποκαλύψῃ»[4]. Εἰ δὲ μὴ ὀνομάζων Πατέρα δηλοῖ μετὰ τῆς Υἱοῦ προσηγορίας καὶ τὸν γεννήτορα καὶ μὴ ὀνομάζων τὸν υἱὸν δηλοῖ μετὰ τοῦ πατρῴου ὀνόματος καὶ τὸν γεγεννημένον· οὕτω καὶ ἔνθα τὸ Πνεῦμα μὴ ὀνομάζεται, ἐν τῷ χορηγοῦντι αὐτὸ καὶ μεταδιδόντι νοεῖται. Ἢ καὶ ὅτε φασὶν οἱ Ἀπόστολοι· «τάδε λέγει τὸ Πνεῦμα τὸ Ἅγιον»[5], μόνον ὑπολῃψόμεθα τὸ Πνεῦμα νομοθετεῖν ἡμῖν καὶ προαγορεύειν τὰ μέλλοντα καὶ μὴ ἐκ Πατρὸς δι' Υἱοῦ τὴν νομοθεσίαν καὶ προφητείαν κατάρχεσθαι; Καὶ ὅτε λέγεται τὸ παιδίον ἅγιον ἐκ Πνεύματος Ἁγίου γεγεννῆσθαι[6], οὐ χωρὶς τοῦ Λόγου Πνεῦμα παραγεγονὸς εἰς τὴν τοῦ βρέφους ὑπόστασιν ὑπολῃψόμεθα, καίτοι λέγοντος τοῦ Ἰωάννου ὅτι «ὁ Λόγος σὰρξ ἐγένετο»[7] καὶ τῷ Λόγῳ τῆς σαρκώσεως ἐπιγραφομένης; Ἀλλὰ διὰ πάντων δῆλον ὅτι καὶ ἐν τῷ λόγῳ τὸ Πνεῦμα καὶ ὁ Λόγος ἐν τῷ Πνεύματι, τῆς ἑνώσεως τῆς κατὰ τὴν θειότητα μὴ διαιρουμένης. Τριάδα μὲν γὰρ ἡ τῶν τριῶν ὀνομάτων παράληψις ἐξαριθμεῖ καὶ παρίστησι, τῆς δὲ Τριάδος ἔχει τὴν ἕνωσιν ἡ καθ' ἓν ὄνομα δήλωσις· ὡς τό· «ἐξ αὐτοῦ **241** καὶ δι' αὐτοῦ καὶ ἐν αὐτῷ τὰ πάντα»[8] συνήγαγεν εἰς ἓν ὄνομα τό τε τοῦ Πατρὸς ἰδίωμα καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος. Εἷς γὰρ Θεὸς ἐξ οὗ τὰ πάντα καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς δι' οὗ τὰ πάντα, ἓν δὲ Πνεῦμα Ἅγιον ἐν ᾧ τὰ πάντα, καθὸ λέγεται τὸ· «ὑμεῖς οὐκ ἐστὲ ἐν σαρκὶ ἀλλ' ἐν Πνεύματι, εἴπερ Πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν»[9]· ὥστε καὶ τό· «ἐν Θεῷ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν»[10]· σαφῶς ἴδιον Πνεύματος ἐν Θεῷ δηλούμενον. Οὐ δὴ κτίσματι κτίσις περιέχεται καὶ ζῇ καὶ ἔστι καὶ αὐτῷ δεομένῳ στηρίζεσθαι τῇ τοῦ πεποιηκότος δυνάμει· οὐ δὴ τῇ κτίσματος ἐνεργείᾳ Θεὸς δοξάζεται, αὐτὸς εἶναι λεγόμενος ἐν ᾧ ζῶμεν καὶ κινούμεθα καί ἐσμεν[11], ἀλλὰ ὄντως τὸ Πνεῦμα θεϊκὸν τὰ ἐκ Θεοῦ πάντα καὶ τὰ δι' Υἱοῦ στηρίζον ἐν τῷ εἶναι. Διὸ καὶ τοῦ εἶναι τὴν διαμονὴν δωρεῖται μεταλαμβανόμενον· καὶ ζῶμεν ἐν αὐτῷ πάλιν οἱ πρότερον διὰ τὸν ἀπ' αὐτοῦ χωρισμὸν φθειρόμενοι. Πολλῶν δὲ ἐνόντων εἰπεῖν ἃ

---

1. Ἰω. 17,3. 2. Ζαχ. 3,27. 3. Α' Κορ. 2,10. 4. Πρβλ. Ματθ. 11,27. 5. Πράξ. 21,11. 6. Πρβλ. Ματθ. 1,20. 7. Ἰω. 1,14. 8. Ρωμ. 11,36. 9. Ρωμ. 8,9. 10. Πρβλ. Πράξ. 17,28. 11. Πρβλ. Ἔνθ' ἀν.

δηλοῖ Θεόν τε ἐν τῇ κτίσει καὶ τὴν κτίσιν ἐν Θεῷ Πνεύματος ὄντα δηλωτικά, τοῖς εἰρημένοις ὡσπερεὶ δείγμασι τῶν πλειόνων ἀρκεσθησόμεθα, δείξαντες τοῖς πλανωμένοις, ὡς εἰς Θεὸν αὐτοῖς ἡ κατὰ τοῦ Πνεύματος δυσσέβεια, εἴπερ Θεοῦ δόξαν οὖσαν τὴν τοῦ Πνεύματος ἐπιγνῶναι σπουδάσωσι. Ἀλλὰ πνεῦμα, φησί, λέγεται καὶ ἀνθρώπου, ὡς τὸ «ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν καὶ ἐκλείψουσι»[1]. Πνεῦμα καὶ τὸ τοῦ Θεοῦ, ὡς τὸ «οὐ μὴ καταμείνῃ τὸ Πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις»[2]. Καὶ τὸ ἀνεμιαῖον, ὡς τὸ «πνεύσει τὸ πνεῦμα αὐτοῦ καὶ ῥυήσεται ὕδατα»[3]· καὶ ἕτερα πολλὰ εὕροι τις ἄν, ἀλλ' ὀρθοτέρως ἂν ἀκούσειεν ὁ εὐσεβῶς τὰ θεῖα νοήματα τεκμαιρόμενος, λέγων πρὸς τὴν τῶν ἐναντίων ἀντίθεσιν, ὅτι εἰ νομίσειέ τις ταυτότητα εἰσάγειν ἀπὸ τῶν ὁμωνύμων, τί ποιήσειεν ὅτι ὄντα πολλὰ λέγεται καὶ καλεῖται; Ἑνὸς δέ ἐστι τοῦτο λέγοντος Κυρίου καὶ ἀληθῶς Θεοῦ· «ἐγώ εἰμι ὁ ὤν»[4]. Λέγονται δὲ καὶ πατέρες πολλοὶ καὶ θεοὶ καὶ γεννήτορες καὶ σοφοὶ καὶ δυνατοὶ καὶ δημιουργοί, ἃ τῷ Θεῷ μόνῳ φύσει πρόσεστιν ἀεί. Καὶ ἀγέννητα ὡσαύτως λέγονται τὰ μηδέπω γεννηθέντα, μέλλοντα δὲ γεννᾶσθαι ἢ γίνεσθαι· ὡς καὶ ἡ τῶν νεκρῶν ἀνάστασις οὔπω γεγονυῖα ἀγέννητος, μέλλουσα δὲ εἶναι· ἢ ὡς ἀπὸ σιδήρου δακτύλιος μέλλων γίνεσθαι, ἀγέννητος ὢν ἐν τῇ τοῦ σιδήρου φύσει· ἢ ὡς ὅταν ἀπὸ ὕδατος **242** ἢ λίθου πῦρ ἢ ἄλλης τινὸς ὕλης, ὡσαύτως τὸ τοιοῦτον γένηται πῦρ. Πάλιν ἀγέννητον ἀνούσιον νοοῦμεν τὸ μηδαμῇ μηδαμῶς ὄν. Εἴπέ τις ἀνούσιον, ὑπόστασιν ἀνεῖλε καὶ οὐσίας ὕπαρξιν. Ἀνούσιον καὶ ἀνυπόστατον τὴν μὴ ὑπάρχουσαν μήτε οὖσαν ὅλως σημαίνει φύσιν. Τό δὲ ἐνούσιον καὶ ἐνυπόστατον λέγων τις τὴν ἐνυπάρχουσαν οὐσίαν ἐδήλωσε. Τὸ δὲ λέγειν ἀγέννητον τὸν Θεὸν ἢ ἀγέννητον μετὰ τοῦ ἄρθρου, προτάξας Θεὸν ἢ ἐπενέγκας πάλιν τὸ αὐτὸ ὄνομα, οὐκ οὐσίαν ἀνεῖλεν οὐδὲ τὸ εἶναι τοῦ Θεοῦ, ταύτην δὲ καὶ μὴ γεγεννημένην εἶναι λέγει. Ἀλλὰ μὴν οὐδὲ κτισθεῖσαν δηλοῖ τοῦ Θεοῦ τὴν οὐσίαν. Ἀλλ' οὐκ ἐπειδὴ τὸ εἶναι τοῦ Θεοῦ οὐκ ἀνεῖλεν, ἤδη τὸ τί εἶναι τοῦ Θεοῦ τὴν οὐσίαν ἐδήλωσεν. Οὐ λέγω ποιότητα ἢ ποσότητα, ὡς ἐκεῖνοι ἐπαγγέλλονται ἀποδεῖξαι ματαιολογοῦντες ἀλλὰ τοῦτο πῶς εἶναι δείκνυσι τοῦ Θεοῦ τὴν οὐσίαν ἡ τῆς ἀγεννήτου φωνῆς ὀνομασία. Τὸ δὲ πῶς εἶναί τι καὶ αὐτὸ ἐκεῖνο ὅ ἐστιν, ὁποῖον εἶναι ἢ τι εἶναι, πολὺ μᾶλλον ἄδηλον τυγχάνει ὡς ἀνεξιχνίαστον πάσῃ κτιστῇ φύσει ὑπάρχον. Εἰ γὰρ τὰ κρίματα αὐτοῦ ἄβυσσος πολλή, ὡς φησιν ὁ Προφήτης[5], καὶ αἱ ὁδοὶ αὐτοῦ ἀνεξιχνίαστοι, οὐκοῦν πάντως καὶ ἀνεξερεύνητοι κατὰ τὸν Ἀπόστολον[6], πόσῳ μᾶλλον αὐτός, οὗ αἱ κρίσεις καὶ αἱ ὁδοὶ τοιαῦται; Καὶ οὐ θαῦμα εἰ αὐτὸς ὁ Θεὸς τοιοῦτος, ὅπου γε τὰ αὐτοῦ τοιαῦτα. Εἰ γὰρ ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτὸν ὀφθαλμὸς οὐκ εἶδεν οὐδὲ οὖς ἤκουσεν οὐδὲ ἐπὶ

---

1. Ψαλ. 103,29. 2. Γεν. 6,3. 3. Ψαλ. 147,7. 4. Ἐξ. 3,14.
5. Πρβλ. Ψαλ. 35,7. 6. Πρβλ. Ρωμ. 11,33.

καρδίαν ἀνθρώπου ἀνέβη, κατὰ τὸ γεγραμμένον[1], πόσῳ μᾶλλον αὐτοῦ τοῦ τὰ τοιαῦτα παρασκευάσαντος Θεοῦ τὴν φύσιν ἀρρητοτέραν τις εἴποι τῶν εὐσεβῶς καὶ ἀπεριέργως εἰς αὐτὸν πιστευόντων; Ἀλλὰ μὴν οὖν καὶ λόγοι πολλοὶ προσαγορεύονται, εἷς δὲ ὁ τοῦ Θεοῦ ἀίδιος, ὁ καὶ Θεὸς ἐν Εὐαγγελίῳ κηρυσσόμενος[2], δι' οὗ τὰ πάντα ἐγένετο. Καὶ υἱοὶ Θεοῦ λέγονται πολλοὶ ἐν τῇ Γραφῇ κατὰ τό· «υἱοὺς ἐγέννησα καὶ ὕψωσα»[3], καὶ πάλιν· «υἱὸς πρωτότοκός μου Ἰσραήλ»[4]· θέσει μέντοι καὶ χαρακτῆρί τινι υἱοθετούμενοι ἀπὸ τοῦ ἀληθινοῦ Θεοῦ υἱοὶ θετοὶ καὶ μὴ ἀληθινοί. Ἀπὸ γὰρ φύσεως καὶ ἀληθείας ὁρμᾶται τὰ πράγματα. Εἰ δὲ ὁ φύσει οὐσιωδῶς ἐξ αὐτοῦ γεννηθεὶς οὐκ ἔστι κατὰ τὴν τῶν ἀνομοιουσιαστῶν ἀθέτησιν, ποῦ οἱ θέσει εὑρεθήσονται; Ἀλλὰ τὰ ἀνθρωπολογούμενα οἱ ἀμαθέστατοι τῇ θεότητι ἀσεβῶς προσάπτουσι, καὶ τὰς πολυμερῶς καὶ πολυτρόπως **243** ῥηθείσας Γραφὰς μονομερῶς ἐκλαμβάνοντες πίπτουσιν, ὁδηγεῖσθαι καλῶς οὐκ ἀνεχόμενοι. «Εὐθεῖαι γὰρ αἱ ὁδοὶ τοῦ Κυρίου, καὶ δίκαιοι πορεύσονται ἐν αὐταῖς, οἱ δὲ ἀσεβεῖς ἐν ταῖς εὐθείαις προσκόψουσι»[5]. Καὶ τὸ θαῦμα, ἀφ' ὧν ὠφελοῦνται οἱ τῇ πίστει ὑγιαίνοντες, ἀπὸ τούτων βλάπτονται οἱ νοσοῦντες περὶ ζητήσεις καὶ λογομαχίας ἀργάς, ὡς εἶπεν ὁ Ἀπόστολος[6]. Ὅτι δὲ ψυχῆς νόσημά ἐστι τὸ κακῶς καὶ περιέργως ζητεῖν περὶ Θεοῦ, καὶ μάλιστα μετὰ ἀπιστίας, πᾶσι φανερόν. Εἰ γὰρ αὐτῷ τῷ παναγίῳ Θεῷ τὰ περὶ αὐτοῦ ἀπιστοῦσι, πῶς τῶν προφητῶν αὐτοῦ ἢ Ἀποστόλων ἀκούσωσι λεγόντων ἐν θείαις Γραφαῖς τὰ περὶ αὐτοῦ καὶ τῶν εἰς αὐτὸν μελλόντων ἐλπίζειν; «Πιστεῦσαι γὰρ δεῖ τὸν προσερχόμενον τῷ Θεῷ ὅτι ἔστιν»[7]. Πιστεῦσαι· μὴ γὰρ ἀπίστως περιεργάζεσθαι ὅτι ἐστίν· μὴ γὰρ ὅτι οὐκ ἔστιν. Ὃ γάρ ἐστιν, ἦν καί ἐστι καὶ ἔσται ἀεὶ καὶ τοῖς πᾶσι τὸ εἶναι δωρεῖται, ὡς φύσει ὢν Θεός. Τί οὖν ἀπιστεῖς, ὦ ἄνθρωπε; Ἀπιστεῖς ὅτι ἴδιον ἔχει Υἱὸν ὁ Θεὸς καὶ ζητεῖς πῶς ἐγέννησε Θεός; Εἰ δὲ τὸ πῶς ἐπὶ Θεοῦ ἐπερωτᾷς, πάντως καὶ τὸ ποῦ ὡς ἐν τόπῳ καὶ πότε ὡς ἐν χρόνῳ συνεπερωτήσειας. Εἰ δὲ ἄτοπον ἐπὶ Θεοῦ τὸ τοιοῦτον ἐπερωτᾶν, ἀτοπώτερον ἂν εἴη τὸ μὴ πιστεύειν, τάχα οὔπω ἐρυθριᾷς ἐν ἀπιστίᾳ ὑπάρχων. Ζητεῖς γὰρ ἵνα οὐ πίστιν, ἀλλ' ἀπιστίαν, τοῦτο ἀληθὲς κατὰ τὸ γεγραμμένον· «εἰς κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία»[8]. «Ἐπίστευσε δὲ Ἀβραὰμ τῷ Θεῷ καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην καὶ φίλος Θεοῦ ἐκλήθη»[9]. Φίλος Θεοῦ ὁ μακάριος Ἀβραὰμ καὶ εἴρηται καί ἐστι, φίλος διὰ πίστιν, φίλος δι' ὑπακοὴν Θεοῦ· σὺ δὲ ἐχθρὸς διὰ ἀπιστίαν καὶ παρακοὴν Θεοῦ. «Ἐπίστευσε δὲ Ἀβραὰμ τῷ Θεῷ»[10], ἐπίστευσεν ὡς αὐτὸς καὶ οὐκ ἠπίστησεν ὡς ὑμεῖς· διὰ τοῦτο αὐτὸς φίλος, ὑμεῖς δὲ ἐχθροί. «Οἱ ἐχθροὶ Κυρίου ἐψεύσαντο αὐτῷ»[11] κατὰ τὸ γεγραμμένον· ὅτι τὸν

---

1. Πρβλ. Α' Κορ. 2,9. 2. Πρβλ. Ἰω. 1,1. 3. Ἡσ. 1,2. 4. Ἐξ. 4,22. 5. Πρβλ. Ὡσ. 14,10. 6. Πρβλ. Α' Τιμ. 6,4. 7. Ἑβρ. 11,6. 8. Σ. Σολ. 1,4. 9. Ἰακ. 2,23. 10. Ἔνθ' ἀν. 11. Ψαλ. 80,16.

φύσει Υἱὸν Θεοῦ θέσει καὶ χάριτι υἱοποιηθέντα λέγουσι καὶ τὸν κτίστην κτίσμα καὶ τὸν ποιητὴν ποίημα καὶ τὸν ἀεὶ ὄντα ἐν Πατρί ποτε μὴ ὄντα καὶ τὸν ἐξ ὄντος Θεοῦ Υἱὸν λέγοντες ἐκ μὴ ὄντων γεγονέναι. Οὐ μόνον δὲ κατὰ τοῦ Θεοῦ καὶ Υἱοῦ ψεύδονται θεομαχοῦντες καὶ χριστομαχοῦντες, ἀλλὰ καὶ πνευματομαχοῦντες οὐ παύονται, τὸ Πνεῦμα τοῦ Θεοῦ κυριολογεῖν μὴ βουλόμενοι, σκληρῷ τραχήλῳ καὶ ἀπεριτμήτῳ καρδίᾳ ταῖς **244** θείαις Γραφαῖς ἐναντιούμενοι. Τί δὲ ἐναντιοῦνται τῇ καλῇ ταύτῃ πίστει καὶ σωζούσῃ ὁμολογίᾳ Θεός, Λόγος, Πνεῦμα, Πατήρ, Υἱὸς καὶ Πνεῦμα; Οὐ ξένος ὁ Υἱὸς οὐδὲ ἀλλότριον τὸ Πνεῦμα τοῦ Θεοῦ καὶ Υἱοῦ, οὐ τόποις μεμερισμένα, οὐκ αἰῶσι περιλαμβανόμενα, οὐ διαστήμασι μετρούμενα. Οὐκ ἐνέλιπεν Υἱός ποτε Πατρὶ οὐδὲ Υἱῷ Πνεῦμα, ἀλλ' ἄτρεπτος καὶ ἀναλλοίωτος ἡ αὐτὴ Τριὰς ἀεί. Οὐ Πατὴρ ὁ Υἱός, ἀλλὰ Πατὴρ Υἱοῦ γεννήτωρ, ὡς νοῦς λόγου πατήρ, ὡς δύναμις δυνατοῦ, ὡς σοφὸς σοφίαν γεγεννηκώς, ὡς ὑπόστασις ἴδιον χαρακτῆρα. Ὁ δὲ Υἱὸς ἀεὶ Υἱός, ὡς μορφὴ Θεοῦ ὑπάρχων[1] ἀεί, ὡς εἰκὼν Θεοῦ φυσικὴ ὁ Υἱός[2]. Ἀλλὰ καὶ τὸ Πνεῦμα εἰκὼν τοῦ Υἱοῦ εἴρηται καὶ δάκτυλος Θεοῦ καὶ Θεοῦ Πνεῦμα καὶ ῥῆμα καὶ πνεῦμα στόματος καὶ ἀγαθὸν Πνεῦμα καὶ εὐθὲς καὶ ἡγεμονικὸν καὶ Πνεῦμα δυνάμεως καὶ Κύριος καὶ Θεὸς εἴρηται τὸ τοῦ Θεοῦ Πνεῦμα, ὡς καὶ ὁ λόγος. Εἰ γὰρ μετὰ τοῦ Θεοῦ καὶ Λόγου στερεοῖ τὰς δυνάμεις τῶν οὐρανῶν τὸ Πνεῦμα, πῶς ἀλλότριον; Ὅπερ οἱ λαβόντες ναὸς Θεοῦ εἰσιν[3], ὃ δὴ καὶ Πνεῦμα στόματος Θεοῦ προσαγορεύεται καὶ τῆς δημιουργίας αἴτιον μετὰ τοῦ λόγου δείκνυται, τὸ ἐνεργοῦν τὰ πάντα ὡς Θεός, καθὼς βούλεται, ὥς φησιν ὁ Ἀπόστολος[4], τὸ τῆς υἱοθεσίας Πνεῦμα[5], τὸ τῆς ἐλευθερίας αἴτιον, τὸ ὅπου θέλει πνέον[6] θειότητα, ὃ δὴ καὶ Πνεῦμα τῆς ἀληθείας ὁ τῶν ὅλων Κύριος σαφῶς ὀνομάζει[7] τὸ ἐν εἴδει περιστερᾶς ἐπ' αὐτὸν ἐξ οὐρανοῦ καταβάν[8], τὸ ἁγιάζον τὴν κυριακὴν σάρκα μετὰ τῆς δυνάμεως, τὸ τὴν οἰκουμένην πληροῦν, τὸ παντὶ παρὸν ὡς Θεὸς καὶ μετὰ Θεοῦ ἀχωρίστως ὂν ἀεί· τὸ γινῶσκον τὰ τοῦ Θεοῦ πάντα ὡς τὸ Πνεῦμα τὸ ἐν ἡμῖν τὰ ἡμῶν, τὸ ἀνθρώπινον λέγω πνεῦμα τὸ ἐν ἡμῖν. Οὕτω γάρ φησι· «καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς ἔγνω εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ»[9]. Καὶ πάλιν φησὶν ὁ Σωτὴρ «οὐδεὶς ἐπιγινώσκει τίς ἐστιν ὁ Υἱὸς εἰ μὴ ὁ Πατήρ, οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει εἰ μὴ ὁ Υἱὸς καὶ ᾧ ἂν βούληται ὁ Υἱὸς ἀποκαλύψαι»[10]. Τοῦτο ἐκείνου ὅμοιον, κἀκεῖνο τούτου ἰσοδύναμον. «Ἡμῖν γάρ», φησίν, «ὁ Θεὸς ἀπεκάλυψε διὰ τοῦ Πνεύματος αὐτοῦ»[11]. Ὅρα τοιγαροῦν πῶς ποτὲ μὲν Πατὴρ Υἱὸν ἀποκαλύπτει, ποτὲ δὲ Υἱὸς Πατέρα, ποτὲ δὲ τὸ Πνεῦμα Υἱὸν καὶ Πατέρα ὡσαύτως. Ὥστε ἡ σύμπασα θεότης δῆλός σοι· ποτὲ **245**

---

1. Πρβλ. Φιλιπ. 2,6. 2. Πρβλ. Κολ. 1,15. 3. Πρβλ. Α' Κορ. 3,16. 4. Πρβλ. Α' Κορ. 12,11. 5. Πρβλ. Ρωμ. 8,15. 6. Πρβλ. Ἰω. 3,8. 7. Πρβλ. Ἰω. 14,17. 15,26. 8. Πρβλ. Ματθ. 3,16. 9. Α' Κορ. 2,11. 10. Λουκ. 10,22. 11. Α' Κορ. 2,10.

μὲν ἐν Πατρί, ποτὲ δὲ ἐν Υἱῷ καὶ Πνεύματι προσηγορία γίνεται. Καὶ σοὶ λύει τὸ προφητικὸν ζήτημα σαφῶς ὁ Ἀπόστολος καὶ οὐκ ἐᾷ πρόσωπον ἓν ὑπολαβεῖν τὴν θεότητα διὰ τὰς τοῦτο δηλοῦν νομιζομένας φωνάς. Ἐπεὶ καὶ αὐτὸς καίτοι τὸ τοῦ Υἱοῦ πρόσωπον σαφῶς παντα-
5 χοῦ κηρύττων ὡς δημιουργικόν, ὅμως εἰς τοῦ Πατρὸς πρόσωπον ἀνήγαγε τὴν πᾶσαν δημιουργίαν. Ἦ γὰρ οὐκ αὐτός ἐστιν ὁ λέγων· «εἷς Θεὸς ὁ Πατήρ, ἐξ οὗ τὰ πάντα καὶ ἡμεῖς εἰς αὐτὸν καὶ εἷς Κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα καὶ ἡμεῖς δι' αὐτοῦ»[1]; Καὶ ὁμοίως ἐνταῦθα τὸν ἕνα καὶ τὸν ἕνα σαφῶς εἰρηκὼς καὶ τὸ δι' Υἱοῦ πάντα γί-
10 νεσθαι μεμαρτυρηκώς[2], ἕνα πρὸς Ῥωμαίους εἴρηκε καὶ τὸ δι' αὐτοῦ γίνεσθαι πάντα προστέθεικεν, οὐ μόνον τὸ ἐξ αὐτοῦ. Ὥστε ἡ δυὰς ἐν δυάδι δεδηλωμένη ἢ καὶ Τριὰς ἐν Τριάδι ὡσαύτως ἐν τῷ αὐτῷ Ἀποστόλῳ σαφῶς μαρτυρήσει καὶ τοῖς προφήταις, ὅτι μὴ τὴν δυάδα ἀναιροῦσι· μᾶλλον δὲ Τριάδα τὴν μονάδα κηρύσσοντες, ἀλλ' ἑνότητα
15 θεότητος εἰδότες, ἐν ἑνὶ προσώπῳ τὰ τρία κηρύσσουσιν. Καὶ ἀπ' ἀρχῆς μὲν κατὰ τὴν κοσμοποιΐαν πρὸς τὸν Υἱὸν καὶ τὸ Πνεῦμα διαλεγόμενος δῆλός ἐστιν ὁ Θεός, ὡς ἀνθρωπικωτέρῳ τύπῳ παρέστησεν ὁ Μωϋσῆς διαλεγόμενον αὐτὸν καὶ φάσκοντα· «ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν»[3]· Τίνι γὰρ λέγει τὸ «ποιή-
20 σωμεν» ἢ τῷ λόγῳ καὶ μονογενεῖ Υἱῷ, «δι' οὗ τὰ πάντα ἐγένετο»[4], κατὰ τὸν Εὐαγγελιστὴν καὶ τῷ Πνεύματι, περὶ οὗ γέγραπται «Πνεῦμα θεῖον τὸ ποιῆσάν με»[5]; Εἰ δὲ καὶ μὴ ῥητῶς λέγει περὶ τίνων ἢ πρὸς τίνας διαλέγεται, ὅμως ὅτι μὴ περὶ ἑαυτοῦ μόνου λέγει δῆλόν ἐστιν, ὅτε φησίν· «ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν»[6]· καὶ πάλιν· «δεῦτε
25 καταβάντες συγχέωμεν αὐτῶν τὰς γλώττας»[7], ἵνα καὶ συναριθμουμένους νοήσῃς. Οὔτε γὰρ εἰς ἰσοτιμίαν ἀγγέλοις συντάξαι τολμήσει τις τῷ δημιουργῷ καὶ δεσπότῃ, οὔτε Θεῷ πάλιν ἓν πρόσωπον οἷόν τε νοεῖν τῷ λέγεσθαι «ὡς εἷς ἐξ ἡμῶν»[8] καὶ «δεῦτε καταβάντες συγχέωμεν»[9]. Ἐναργὲς δὲ καὶ τὸ περὶ τῆς καταστροφῆς Σοδόμων λεγόμενον
30 τό τε· «ἔβρεξε Κύριος θεῖον καὶ πῦρ παρὰ Κυρίου ἐκ τοῦ οὐρανοῦ»[10]· καὶ τὸ ἐν τοῖς Προφήταις παραπλησίως τούτοις εἰρημένον ἐκ προσώπου τοῦ Θεοῦ· «κατέστρεψα αὐτούς», φησίν, «ὡς κατέστρεψεν ὁ Θεὸς Σόδομα καὶ Γόμορρα»[11]. Καὶ ἑτέρως **246** φιλανθρωπευόμενος λέγει ὁ Θεός· «σώσω αὐτοὺς ἐν Κυρίῳ τῷ Θεῷ αὐτῶν»[12], ὅπερ οὐκ
35 ἀπέοικε τῆς ἀποστολικῆς λέξεως τῆς λεγούσης· «δῴη αὐτῷ ὁ Κύριος εὑρεῖν ἔλεος παρὰ Κυρίου ἐν ἐκείνῃ τῇ ἡμέρᾳ»[13]. Τί δὲ ὁ Ζοροβάβελ καὶ ἡ τοῦ Ζοροβάβελ σοφία; Ἆρά σοι μετρίως καὶ οὐ σαφῶς παριστάναι δοκεῖ σὴν ὑπόστασιν καὶ ζωὴν τῆς ἀληθείας, ὅτε φησί· «πᾶσα ἡ γῆ τὴν ἀλήθειαν καλεῖ καὶ ὁ οὐρανὸς αὐτὴν εὐλογεῖ καὶ πάντα τὰ

1. Α' Κορ. 8,6. 2. Πρβλ. Ἰω. 1,3. 3. Γεν. 1,26. 4. Α' Κορ. 8,6. 5. Ἰώβ 33,4. 6. Γεν. 3,22. 7. Γεν. 11,7. 8. Γεν. 3,22. 9. Γεν. 11,7. 10. Γεν. 19,24. 11. Πρβλ. Ἀμ. 4,11. 12. Ὡσ. 1,7. 13. Β' Τιμ. 1,18.

ἔργα σείεται καὶ τρέμει»[1]; Τίς δὲ ἡ ἀλήθεια ἢ ὁ τοῦ Θεοῦ Λόγος καὶ Υἱὸς δι' οὗ τὰ πάντα; «Ἐγώ γάρ εἰμι», φησίν, «ἡ ὁδὸς καὶ ἡ ἀλήθεια καὶ ἡ ζωή»[2]. Ἀλήθεια δὲ οὐκ ἔστιν εἰ μὴ ἡ ἐκ τοῦ ἀληθινοῦ φυσικῶς καὶ ἀιδίως ἐξ αὐτοῦ γεννηθεῖσα. Διὸ ἐπιφέρει λέγων· «εὐλογητὸς ὁ Θεὸς τῆς ἀληθείας»[3], ὅς ἐστι Πατὴρ τῆς ἀληθείας Χριστοῦ. Χριστὸς ἡ ἀλήθεια, ὃν πᾶσα πνοὴ σέβεται καὶ τρέμει. Ὥστε ὅτι μὲν ζῶν ὁ λόγος καὶ πρόσωπον τέλειον καὶ τὸ Πνεῦμα ὡσαύτως, ἱκανὰ καὶ τὰ νῦν εἰρημένα διδάξαι. Τύποι δὲ ἀνθρώπινοι παρὰ Θεῷ πολλοὶ ἄλλοι, καὶ οὐ διὰ τοῦτο τὸν Θεὸν ἄνθρωπον ὑπολαμβάνομεν, οἷον εἰ πρόσωπον ἀκούοιμεν ὀφθαλμούς τε καὶ ὦτα καὶ χεῖρας καὶ πόδας. Οὐδὲ τὸ καθέζεσθαι ἐν οὐρανῷ καθάπερ ἐν θρόνῳ[4] καὶ τὴν γῆν ὑποπόδιον τῶν ποδῶν αὐτοῦ πατουμένην σωματικῶς θέλει λέγειν περὶ Θεοῦ· ἀλλ' ὡς ὑποκειμένην τῇ θεϊκῇ ἐξουσίᾳ. Οὕτω δὲ πάλιν ἐὰν ἀκούσῃς γαστέρα ἐπὶ Θεοῦ, μὴ πτυρῇς ὡς σωματικόν τι ἐνθυμούμενος, ἀλλὰ πνευματικόν τι ἐννοούμενος, λέξεις τι κρεῖττον αὐτὸ τὸ γεννητικὸν τοῦ Θεοῦ ἐμφανῶς σοι ἐξ αὐτοῦ ἀποκαλυπτόμενον. Οὕτω πάλιν χεῖρας ἀκούων Θεοῦ τὸ ποιητικὸν αὐτοῦ γνώριζε σαφῶς, οὖς δὲ τὸ ἀκουστικὸν αὐτοῦ, ὀφθαλμοὺς δὲ τὸ διορατικόν, πτέρυγας τὸ σκεπαστικόν, καὶ τὰ ἄλλα πάντα ὡσαύτως ἕκαστον ἰδίαν σῴζει ἔννοιαν ὀρθοτάτην περὶ Θεοῦ μάλιστα τοῖς ὀρθῶς πιστεύουσι. Τὰ οὖν ὀνόματα χρῆσίς ἐστιν ἀνθρώποις πρὸς γνῶσιν καὶ διάκρισιν οὐσιῶν ἢ καὶ πραγμάτων καὶ τῶν περὶ τὰς οὐσίας ἐπινοηθέντων. Μὴ οὖν σε ξενιζέτω γαστὴρ ἐπὶ Θεοῦ μηδὲ χεὶρ ἢ τὰ ἄλλα τὰ προειρημένα. Οὐκοῦν οὐδὲ γέννησις ἐπὶ Θεοῦ ξενίσειέ σε ἤ τινα τῶν ἀκουόντων. Εἰ δὲ πάθος ἐν Θεῷ γεννῶντι φοβεῖταί τις, ἔστι καὶ κτίζοντος φοβηθῆναι κίνησιν καὶ κάματον καὶ πρόσληψιν ὕλης καὶ χρείαν ὀργάνων. Ταῦτα γὰρ ἐπ' ἀν**247**θρώπων δημιουργούντων. Εἰ δὲ ταῦτα οὐ πρόσεστι Θεῷ, οὐδὲ πάθος ἐν τῷ γεννᾶν· ἀδύνατον γὰρ τὴν ἀπαθῆ φύσιν πάθει περιπεσεῖν. Τί οὖν φοβεῖταί τις φόβον οὗ οὐκ ἔστι φόβος; Θεὸς οὔτε γεννῶν ἐξ αὐτοῦ φύσει πάσχει· μὴ γένοιτο· οὔτε κτίζων ἐκ τοῦ μὴ ὄντος τι ἢ τὸ πᾶν κάμνει· μὴ γένοιτο μηδὲ ῥηθείη. Εἰ δὲ τὸ ἓν φεύγεις καὶ τὸ πᾶν· εἰ δὲ τὸ πᾶν ὁμοίως καὶ τὸ ἕν· εἰ τὸ ἓν ἀνθρωπίνως καὶ τὸ πᾶν· εἰ δὲ τὸ πᾶν οὐκ ἀνθρωπίνως, οὐδὲ τὸ ἕν. Εἰ γὰρ τὰ ἐξ οὐκ ὄντων ποιεῖ βουλήσει Θεός, τὸ πᾶν ἀκαμάτως· καὶ οὐκ ἄπιστον τοῦτο παρ' ἡμῖν. Πιστότερον δ' ἂν πᾶσι τὸ ἐξ αὐτοῦ φύσει θεία καὶ θεοπρεπῶς γεγεννηκέναι ἀπαθῶς τὸν Θεὸν Υἱὸν γνήσιον, ὁμότιμον, ὁμόδοξον, σύνθρονον, σύμβουλον καὶ συνεργόν, ὁμοούσιον τῷ Πατρὶ καὶ Θεῷ καὶ οὐχ ἑτεροούσιον οὐδὲ ἀλλότριον τῆς ἐκείνου μόνης θεότητος. Εἰ δὲ μήγε, οὐδὲ προσκυνητός· οὐδὲ γὰρ προσκυνήσεις Θεῷ ἀλλοτρίῳ γέγραπται[5]. Οὐδὲ πρόσφατόν τινα παραδέ-

1. Α' Ἔσδρ. 4,36. 2. Ἰω. 14,6. 3. Α' Ἔσδρ. 4,40. 4. Πρβλ. Α' Ἔσδρ. 66,1. 5. Πρβλ. Ἐξ. 20,3.

ξασθαι Θεὸν παρεκελευόμεθα. Μὴ τοίνυν λέγε προσθήκην σεβάσματος, μηδ' ὅτι σεσιώπητο τοῖς παλαιοῖς ὁ Υἱός, ἡμῖν δὲ ἀποκεκάλυπται, εἴπερ λόγον δημιουργὸν ὁμολογεῖς τὸν Υἱόν. Λόγον γὰρ ᾔδεισαν οἱ πατέρες, Λόγον Θεοῦ προσεκύνουν καὶ σὺν Λόγῳ τὸ Πνεῦμα. Μηδὲ χωρίσῃς αὐτὸν ἀπὸ τοῦ λέγοντος· «ἐγὼ Θεὸς μόνος καὶ οὐκ ἔστι πλὴν ἐμοῦ»[1], ἵνα μὴ βλασφημεῖν ἀναγκασθῇς τὸν Υἱὸν ὡς οὐκ ὄντα Θεόν. Μηδὲ χωρίσῃς αὐτὸν ἀπὸ τοῦ λέγοντος· «ἐγὼ ἐξέτεινα τὸν οὐρανὸν μόνος»[2], ἵνα μὴ καὶ τοῦ δημιουργὸν λέγειν τὸν Υἱὸν ἀποστῇς. Ὅτι τῆς τοῦ μόνου Θεοῦ δόξης ὁ τὸν οὐρανὸν ἐκτείνας οὐ κεχώρισται. Οὐκοῦν ἐν Υἱῷ γνῶθι Πατέρα, ἐν Πατρὶ δόξασον Υἱόν. Μὴ μερίσῃς τὰ ἀμέριστα, μὴ σχίζε τὰ ἄσχιστα· κἂν γὰρ θέλῃς, οὐ σχίζεται. Κἂν διαρραγῶσιν οἱ αἱρετικοί, οὐ διαρρήγνυται ἡ Τριάς· ἀλλ' ἔστιν ὅ ἐστι, κἂν ἑτέροις μὴ δοκῇ. Σπεῖρα γάρ ἐστιν ἡ Ἁγία Τριὰς καὶ σεβάσμιός ἐστιν ἐν μιᾷ καὶ ἀιδίῳ δόξῃ, τὴν αὐτὴν καὶ μίαν μόνην θεότητα παντοῦ περιφέρουσα, ἄρρηκτος, ἄσχιστος, ἀδιαίρετος, πάντα πληροῦσα, ἐν πᾶσιν οὖσα, δημιουργοῦσα, κυβερνῶσα, ἁγιάζουσα καὶ ζωοποιοῦσα. Αὕτη ἡ θεία καὶ θαυμασιωτάτη πλοκὴ οὐ διαρρήγνυται κατὰ τὸ γεγραμμένον ὅτι τὸ τρίπλοκον σπαρτίον οὐ διαρραγήσεται[3]. Τούτῳ τῷ νοήματι καὶ ὁ μακάριος Παῦλος γράφων **248** που πρὸς τοὺς ὀρθῶς πιστεύοντας ἔλεγεν· «ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν»[4]. Ὅταν γὰρ τὰ πάντα ἐνεργῆται ὑπὸ τοῦ Θεοῦ διὰ Ἰησοῦ Χριστοῦ ἐν Πνεύματι, ἀχώριστον ὁρῶ τὴν ἐνέργειαν τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος. Καὶ διὰ τοῦτο ναοὶ Θεοῦ καὶ Υἱοῦ καὶ Πνεύματος Ἁγίου εἰσὶ πάντες οἱ ἅγιοι, ἐν οἷς οἰκεῖ ἡ μία θεότης καὶ μία κυριότης καὶ ἁγιότης μία Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος διὰ τὸν ἕνα τοῦ βαπτίσματος ἁγιασμόν. Ἐὰν δὲ λέγῃ ὁ Πατὴρ «ἐν ταῖς ἐσχάταις ἡμέραις ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα»[5], τί εἴπωμεν περὶ τοῦ Υἱοῦ; Οὐ γέγραπται γὰρ ἐνταῦθα. Ἐὰν δὲ λέγῃ ὁ προφήτης· «ἐκεῖ συνήντησαν ἔλαφοι καὶ εἶδον τὰ πρόσωπα ἀλλήλων, ἀριθμῷ παρῆλθον καὶ μία αὐτῶν οὐχ ὑπελείφθη, διότι Κύριος ἐνετείλατο αὐταῖς καὶ τὸ πνεῦμα αὐτοῦ συνήγαγεν αὐτάς»[6], ποῦ ὁ Υἱός; Ἐὰν δὲ λέγῃ «Πνεῦμα παρ' ἐμοῦ ἐξελεύσεται καὶ πνοὴν πᾶσιν ἐγὼ ἐποίησα»[7], ποῦ ὁ Υἱός; Ἐὰν δὲ λέγῃ ὁ Δαβὶδ «καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ»[8] ποῦ ὁ Υἱός; Ἐὰν λέγῃ ὁ αὐτὸς «καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεὸς καὶ Πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου»[9], ποῦ ὁ Υἱός; Ἐὰν δὲ λέγῃ ὁ αὐτὸς πάλιν «καὶ τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ»[10], ποῦ ὁ Υἱός; Ἐὰν δὲ λέγῃ ὁ αὐτὸς «καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με»[11], ποῦ ὁ Υἱός; Ἐὰν δὲ λέγῃ ὁ Ἰὼβ

---

1. Πρβλ. Δευτ. 32,39. 2. Πρβλ. Ἰὼβ 9,8. 3. Πρβλ. Ἐκκλ. 4,12. 4. Β' Κορ. 13,13. 5. Πράξ. 2,17. Πρβλ. Ἰωὴλ 3,1. 6. Πρβλ. Ἡσ. 34,15-16. 7. Ἡσ. 57,16. 8. Ψαλ. 50,13. 9. Ψαλ. 50,12. 10. Ψαλ. 142,10. 11. Ψαλ. 50,14.

«Πνεῦμα θεῖον τὸ ποιῆσάν με[1], ποῦ ὁ Υἱός; Ἐὰν δὲ λέγῃ ὁ αὐτὸς Ἰὼβ «Πνεῦμά ἐστιν ἐν βροτοῖς, πνοὴ δὲ παντοκράτορός ἐστιν ἡ διδάσκουσά με»[2], ποῦ ὁ Υἱός; Ἐὰν δὲ λέγῃ ὁ Δαβὶδ «ἐξαποστελεῖς τὸ Πνεῦμά σου καὶ κτισθήσονται καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς»[3], ποῦ ὁ Υἱός; Ἐὰν δὲ λέγῃ «ποῦ πορευθῶ ἀπὸ τοῦ Πνεύματός σου; Καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω;»[4], ποῦ ὁ Υἱός; Ἐὰν δὲ λέγῃ «οὐαί, τέκνα ἀποστάται, τάδε λέγει Κύριος· ἐποιήσατε βουλὴν οὐ δι' ἐμοῦ καὶ συνθήκας οὐ διὰ τοῦ «Πνεύματός μου»[5], ποῦ ὁ Υἱός; Ἐὰν δὲ λέγῃ «καὶ ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται· καὶ ἐπαναπαύσεται ἐπ' αὐτὸν Πνεῦμα σοφίας καὶ συνέσεως, Πνεῦμα βουλῆς καὶ ἰσχύος, Πνεῦμα γνώσεως καὶ εὐσεβείας· καὶ ἐμπλήσει αὐτὸν **249** Πνεῦμα φόβου Θεοῦ»[6], πῶς χωρίσω τὸ Πνεῦμα; Ἐὰν δὲ λέγῃ «Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ ἕνεκεν ἔχρισέ με εὐαγγελίσασθαι πτωχοῖς, ἀπέσταλκέ με κηρῦξαι αἰχμαλώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν»[7], πῶς χωρίσω τὸ Πνεῦμα; Καὶ ὅσα φιλοπόνως δυνατὸν ἀπὸ τῆς Γραφῆς τῆς τε παλαιᾶς εὑρεῖν καὶ ἀπὸ τῆς Καινῆς Διαθήκης περὶ τοῦ Πνεύματος καὶ τοῦ Υἱοῦ καὶ τοῦ Πατρός. «Χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ[8]· ἰδοὺ γὰρ συλλήψῃ ἐν γαστρὶ καὶ τέξῃ υἱόν»[9]· καὶ τῆς Μαρίας λεγούσης· «κατὰ τί γνώσομαι τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω;»[10] λέγει αὐτῇ ὁ ἄγγελος· «Πνεῦμα Ἅγιον ἐπελεύσεται ἐπὶ σὲ καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι»[11]. Καὶ πάλιν ὁ αὐτὸς ἄγγελος λέγων τῷ Ἰωσήφ· «μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου· τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ Πνεύματός ἐστιν Ἁγίου»[12]. Καὶ πάλιν ὁ εὐαγγελιστὴς ἑρμηνεύων τὰ ἐν τῷ προφήτῃ λέγει· «ἵνα πληρωθῇ τὸ γεγραμμένον· Ἰδοὺ ὁ παῖς μου ὁ ἐκλεκτός, ὁ ἀγαπητός μου εἰς ὃν ηὐδόκησεν ἡ ψυχή μου· θήσω τὸ Πνεῦμά μου ἐπ' αὐτόν»[13]. Καὶ ἐν Εὐαγγελίῳ γέγραπται· «τὸ Πνεῦμα ὅπου θέλει πνεῖ καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις, ἀλλ' οὐκ οἶδας πόθεν ἔρχεται καὶ ποῦ ὑπάγει· οὕτως ἐστὶ πᾶς ὁ γεγεννημένος ἐκ τοῦ Πνεύματος»[14]. Καὶ ὁμοίως ἐν τῷ Εὐαγγελίῳ· «εἰ δὲ ἐγὼ ἐν Πνεύματι Θεοῦ ἐκβάλλω τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ»[15]. Καὶ πάλιν γέγραπται· «πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις, ἡ δὲ τοῦ Πνεύματος βλασφημία οὐκ ἔχει ἄφεσιν»[16]. Καὶ ἐν τῷ βαπτίσματι κατῆλθε τὸ Πνεῦμα τὸ Ἅγιον καὶ ἔμεινεν ἐπ' αὐτόν[17], οἱ δὲ ἄγγελοι κατελθόντες διηκόνουν αὐτῷ[18] ἵνα γνῶς, ὅτι οἱ μὲν ἄγγελοι κατελθόντες διακονοῦσιν, ἵνα τὴν δουλείαν δείξωσι· τὸ δὲ Πνεῦμα ἔμεινεν ἐπ' αὐτόν, ἵνα τὴν μονὴν ἀκούσας ἐλευθερίαν νοήσῃς τῆς φύσεως αὐτοῦ. Γέγραπται δέ· «καὶ ὁ Πατὴρ ἐν ἐμοὶ μένων

---

1. Ἰὼβ 33,4. 2. Ἰὼβ 32,8. 3. Ψαλ. 103,30. 4. Ψαλ. 138,7. 5. Ἡσ. 30,1. 6. Ἡσ. 11,1-3. 7. Ἡσ. 61,1. 8. Λουκ. 1,28. 9. Λουκ. 1,31. 10. Πρβλ. Λουκ. 1,18,34. 11. Λουκ. 1,35. 12. Ματθ. 1,20. 13. Ματθ. 12,17-18. 14. Ἰω. 3,8. 15. Ματθ. 12,28. 16. Ματθ. 12,31. 17. Πρβλ. Μάρκ. 1,10. 18. Πρβλ. Ματθ. 4,11.

ποιεῖ τὰ ἔργα αὐτός»[1]. Καὶ πάλιν γέγραπται· «Ἰησοῦς δὲ πλήρης Πνεύματος Ἁγίου ὑπέστρεψεν ἀπὸ Ἰορδάνου καὶ ἤγετο ἐν τῷ Πνεύματι εἰς τὴν ἔρημον ἡμέρας τεσσαράκοντα πειραζόμενος ὑπὸ τοῦ διαβόλου»[2]. Καὶ πάλιν· «λάβετε Πνεῦμα Ἅγιον· ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφέωνται· ἄν τινων κρατῆτε, κεκράτην**250**ται»[3]. Καὶ πάλιν· «τὴν ἀλήθειαν ὑμῖν λέγω, συμφέρει ὑμῖν ἵνα ἐγὼ ἀπέλθω· ἐὰν γὰρ ἐγὼ μὴ ἀπέλθω, ὁ Παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς»[4], «τὸ Πνεῦμα τῆς ἀληθείας ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται»[5]. Ἐὰν δὲ λέγωσι, οὐ λαλεῖ ἀφ' ἑαυτοῦ τὸ Πνεῦμα, ἀλλ' ὅσα ἂν ἀκούσῃ λαλήσει, λέγομεν αὐτοῖς· οὐδὲ ὁ Υἱὸς ἀφ' ἑαυτοῦ λαλεῖ, «ἀλλ' ὁ πέμψας με», φησί, «Πατὴρ ἐκεῖνός μοι εἶπε τί εἴπω καὶ τί λαλήσω»[6]. Πάντα γὰρ ὅσα λαλεῖ τὸ Πνεῦμα καὶ ὁ Υἱός, τοῦ Θεοῦ εἰσι λόγια. Καὶ διὰ τοῦτο πᾶσα Γραφὴ θεόπνευστος καὶ ὠφέλιμός ἐστιν[7], ἀπὸ τοῦ Πνεύματος λαληθεῖσα. Καὶ γὰρ ἀληθῶς τοῦτο δείκνυσι μὴ εἶναι τὸ Πνεῦμα κτίσμα, ἐπειδὴ πᾶσα ἡ λογικὴ κτίσις ποτὲ ἀφ' ἑαυτῆς λαλεῖ, ποτὲ τὰ τοῦ Θεοῦ, ὡς ὅταν λέγῃ Παῦλος· «περὶ δὲ τῶν παρθένων ἐπιταγὴν Κυρίου οὐκ ἔχω, γνώμην δὲ δίδωμι ὡς ἠλεημένος ὑπὸ Κυρίου[8]. Τοῖς δὲ γεγαμηκόσι παραγγέλλω οὐκ ἐγώ, ἀλλ' ὁ Κύριος»[9]. Καὶ ὁ προφήτης· «ὦ Κύριε, πλὴν κρίματα λαλήσω πρὸς σέ· τί ὅτι ἀσεβεῖς εὐοδοῦνται»[10]; Καὶ πάλιν· «οἴμοι μῆτερ, ὡς τίνα με ἔτεκες»[11]. Ποτὲ δὲ λέγει· «τάδε λέγει Κύριος»[12]. Καὶ ποτὲ Μωϋσῆς· «ἰσχνόφωνος καὶ βραδύγλωσσός εἰμι ἐγώ»[13]· ποτὲ δὲ ὁ αὐτός· «τάδε λέγει Κύριος· Ἐξαπόστειλον τὸν λαόν μου, ἵνα μοι λατρεύσῃ»[14]. Τὸ δὲ Πνεῦμα οὐχ οὕτως. Οὐ γάρ ποτε τὰ ἑαυτοῦ λέγει, ποτὲ δὲ τὰ τοῦ Θεοῦ· τοῦτο γὰρ ἦν κτίσματος. Ἀλλὰ πάντα τὰ τοῦ Πνεύματος τοῦ Θεοῦ εἰσι λόγια, ὁμοίως καὶ τὰ τοῦ Υἱοῦ. Διὰ τοῦτο οὐδὲ ὁ Υἱὸς λαλεῖ ἀφ' ἑαυτοῦ· «ὁ γὰρ πέμψας με», φησί, «Πατὴρ ἐκεῖνός μοι εἶπε τί εἴπω καὶ τί λαλήσω»[15]· οὐ μανθάνων, τοῦτο γὰρ ἦν ἀτελοῦς καὶ ἀμαθοῦς, ἀλλ' ὅτι ὅσα λαλεῖ ὁ Πατὴρ διὰ τοῦ Υἱοῦ ἐν Πνεύματι λαλεῖ. Καὶ πάλιν γέγραπται· «οὐδεὶς οἶδε τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ· οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς ἔγνω, εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ»[16]. Καὶ πάλιν· «τὸ γὰρ Πνεῦμα πάντα ἐρευνᾷ καὶ τὰ βάθη τοῦ Θεοῦ»[17]. Ἐὰν δὲ λέγωσιν ὅτι τὸ ἐρευνᾶν οὐκ οἶδε καὶ διὰ τοῦτο ἐρευνᾷ, ἐροῦμεν ὅτι καὶ ὁ Θεὸς ἐρευνᾷ τὰς καρδίας τῶν ἀνθρώπων καὶ διὰ τῶν προφητῶν λέγει· «ἐρευνήσω τὴν Ἱερουσαλὴμ μετὰ τοῦ λύχνου»[18]. Καὶ πάλιν γέγραπται· «οὐκ οἴδατε **251** ὅτι τὰ σώματα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν Ἁγίου Πνεύματός ἐστιν οὗ ἔχετε ἀπὸ τοῦ Θεοῦ»[19] καὶ πάλιν· «οὐκ οἴδατε ὅτι ναὸς Θεοῦ ἐστε καὶ τὸ

---

1. Πρβλ. Ἰω. 14,10. 2. Λουκ. 4,1-2. 3. Ἰω. 20,22-23. 4. Ἰω. 16,7. 5. Ἰω. 15,26. 6. Πρβλ. Ἰω. 12,49. 7. Πρβλ. Β' Τιμ. 3,16. 8. Α' Κορ. 7,25. 9. Α' Κορ. 7,10. 10. Πρβλ. Ἱερ. 12,1. 11. Ἱερ. 15,10. 12. Ἱερ. 29,10. 13. Ἐξ. 4,10. 14. Πρβλ. Ἐξ. 5,1. 15. Πρβλ. Ἰω. 12,49. 16. Α' Κορ. 2,11. 17. Α' Κορ. 2,10. 18. Σοφον. 1,12. 19. Α' Κορ. 6,19.

Πνεῦμα τοῦ Θεοῦ ἐν ὑμῖν οἰκεῖ»[1]; Καὶ πάλιν· «ὑμεῖς δὲ οὐκ ἔστε ἐν σαρκί, ἀλλ' ἐν Πνεύματι, εἴπερ Πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν»[2]. Καὶ πάλιν γέγραπται· «καὶ ταῦτά τινες ἦτε· ἀλλ' ἀπελούσασθε, ἀλλ' ἡγιάσθητε, ἀλλ' ἐδικαιώθητε ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ καὶ ἐν τῷ Πνεύματι τοῦ Θεοῦ ἡμῶν»[3]. Καὶ πάλιν· «οὐ γὰρ τολμήσω τι λέγειν ὧν οὐκ ἀπειργάσατο Χριστὸς δι' ἐμοῦ λόγῳ καὶ ἔργῳ εἰς ὑπακοὴν ἐθνῶν ἐν δυνάμει σημείων καὶ τεράτων, ἐν δυνάμει Πνεύματος Ἁγίου»[4]. Καὶ ἐν ἀρχῇ τῶν ἐπιστολῶν ὁ ἅγιος Παῦλος τοῦ Πατρὸς μέμνηται καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος οὕτω γράφων. «Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ, κλητὸς ἀπόστολος ἀφωρισμένος εἰς εὐαγγέλιον Θεοῦ, ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν Γραφαῖς ἁγίαις περὶ τοῦ Υἱοῦ αὐτοῦ, τοῦ γενομένου ἐκ σπέρματος Δαβὶδ κατὰ σάρκα, τοῦ ὁρισθέντος Υἱοῦ Θεοῦ ἐν δυνάμει κατὰ Πνεῦμα ἁγιωσύνης»[5]. Καὶ πάλιν· «ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ ἡ κοινωνία τοῦ Ἁγίου Πνεύματος»[6]. Καὶ πάλιν· «διαιρέσεις δὲ χαρισμάτων εἰσίν, τὸ δὲ αὐτὸ Πνεῦμα· καὶ διαιρέσεις διακονιῶν εἰσιν, ὁ δὲ αὐτὸς Κύριος· καὶ διαιρέσεις ἐνεργημάτων εἰσίν, ὁ δὲ αὐτὸς Θεὸς ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι»[7]. Καὶ ὁ Ἰώβ· «ζῇ Κύριος ὃς οὕτω με κέκρικε καὶ ὁ παντοκράτωρ ὁ πικράνας μου τὴν ψυχήν[8], Πνεῦμα δὲ θεῖον τὸ περιόν μοι ἐν ῥισίν»[9]. Καὶ ὁ Δαβίδ· «ἐξαπόστειλον τὸ φῶς σου καὶ τὴν ἀλήθειάν σου»[10]· φῶς λέγων τὸ Πνεῦμα καὶ ἀλήθειαν τὸν Υἱόν. Καὶ ἐν ἄλλοις· «δεῖξον ἡμῖν, Κύριε, τὸ ἔλεός σου καὶ τὸ σωτήριόν σου δῴης ἡμῖν»[11].

---

1. Α' Κορ. 3,16. 2. Ρωμ. 8,9. 3. Α' Κορ. 6,11. 4. Ρωμ. 15,18. 5. Ρωμ. 1,1-4. 6. Β' Κορ. 13,13. 7. Α' Κορ. 12,4-6. 8. Ἰώβ 27,2. 9. Ἰώβ 27,3. 10. Ψαλ. 42,3. 11. Ψαλ. 84,8.

Α Π Ο Σ Π Α Σ Μ Α Τ Α*

ΕΞ ΑΠΟΛΕΣΘΕΝΤΩΝ ΕΡΓΩΝ ΤΟΥ ΔΙΔΥΜΟΥ

1. Ἐκ τοῦ Βιβλίου Συμβουλὴ ἠθική, (σῳζόμενον παρὰ τῷ Σωκράτει Ἐκκλ. Ἱστ. Βιβλ. 4, κεφ. 23).

Τοὺς περὶ Προνοίας καὶ κρίσεως κατὰ σαὐτὸν ἀεὶ γύμναζε λόγους, φησὶν ὁ μέγας καὶ γνωστικὸς διδάσκαλος Δίδυμος, καὶ τούτων τὰς ὕλας διὰ μνήμης φέρειν πειράθητι. Ἅπαντες γὰρ σχεδὸν ἐν τούτοις προσπταίουσι. Καὶ τοὺς μὲν περὶ κρίσεως λόγους ἐν τῇ διαφορᾷ τῶν σωμάτων καὶ κατὰ τὸν κόσμον εὑρήσεις· τοὺς δὲ περὶ Προνοίας, ἐν τοῖς τρόποις τοῖς ἀπὸ κακίας καὶ ἀγνωσίας ἐπὶ τὴν ἀρετὴν ἢ ἐπὶ τὴν γνῶσιν ἡμᾶς ἐπανάγουσι.

2. Ἐκ τοῦ βιβλίου πρὸς Φιλόσοφον, (σῳζόμενον παρὰ τῷ Ἰωάννῃ Δαμασκηνῷ, Ἱερὰ Παράλληλα).

Ἐκ μελέτης πολλῆς καὶ ἀσκήσεως ἡ βία καὶ ἀγριότης τῶν παθῶν ἀσθενεῖς.

3. Ἐκ τοῦ βιβλίου Περὶ ἀσωμάτου (παρὰ τῷ αὐτῷ).

Διδύμου, ἐκ τοῦ Περὶ ἀσωμάτου. Ἀνύουσι παρὰ διδασκάλου παιδεύσεις τε καὶ προτροπαὶ πρὸς ὠφέλειαν τῶν ἀκροωμένων, οὐχ ὅταν λόγῳ μόνῳ διδάσκῃ ὁ παιδευτής, ἀλλὰ καὶ πράξει καταλλήλῳ καὶ συναφεῖ τοῖς ἐπαγγελλομένοις. Πάλιν δεῖ τὸν γνήσιον διδάσκαλον βίον κατάλληλον ἔχειν τοῖς ὑπ' αὐτοῦ νομοθετουμένοις, ἵνα ᾖ τὸ ἔργον αὐτοῦ συνηρμοσμένον τῷ λόγῳ.

4. Ἕτερον (παρὰ Mingarelli).

Βιβλίον πρὸς Ῥουφῖνον διατί ἀποθνήσκουσι τὰ βρέφη, καίπερ διὰ τὰς ἁμαρτίας αὐτοῦ ἀναλαβόντα σώματα.

---

* Κατὰ τὴν ἔκδοσιν J.-P. Migne, Patrologiae Cursus Completus, Series Graeca, τ. 39, στ. 1009.

ΠΙΝΑΞ

ΤΩΝ ΧΩΡΙΩΝ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ*

		Σελ.			Σελ.
Γεν.	1,2	33	Ἔξ.	5,1	260
	1,3	189		6,3	109
	1,12	121		7,1	133
	1,26	28.243.248.256		8,13	240
	1,27	236		14,31	31.250
	2,7	225.226.248		15,2	92
	3,9	34.126		15,18	93
	3,10	34		20,3	257
	3,22	256		22,27	133
	4,1	84.130.235		32,32	197
	4,9	126		33,13	146
	5,4	84.235		34,34–35	14
	6,3	49.142.253		36,25	38
	6,7	126		36,27	38
	9,25	53			
	11,7	256	Ἀριθ.	9,14	111
	12,12	126		11,16	113
	12,21	126		11,17	113
	14,7	224		11,29	242
	18,1–2	51		12,2	111
	18,9	126		12,9	111
	18,30	111		12,10	111
	19,22	126		22,20	21
	19,24	236.256		22,35	21
	20,12	93		36,5	130
	22,12	126			
	22,16	19	Λευϊτ.	17,11	66
	32,24–26	109		17,14	66
	32,26–31	109			
	32,30	46	Δευτ.	4,24	25
	40,8	130		6,4	69.128.238
				6,5	193
Ἔξ.	3,1	145		6,16	15
	3,4	185		9,3	25
	3,14	227.253.255		22,43	122
	3,15	185.227		32,12	236.237
	4,2	126		32,30	20.128
	4,10	111.260		32,39	258
	4,13	111		33,3	202
	4,16	133			
	4,22	254	Ἰησ. Ν.	1,13	201

* Τὰ χωρία τῆς Παλαιᾶς Διαθήκης καταριθμοῦνται κατὰ τὸ κείμενον τῶν Ο'.

		Σελ.
Ἰησ. Ν.	24,22	128
Κριτ.	7,20	31
	13,20	20
	14,5–6	20
	14,6	20
	14,19	20
	15,14	20
	16,20	20
Α′ Βασ.	2,1	131
	2,25	55.209
	2,32	51
	12,18	31
	15,35	126
Β′ Βασ.	2,10	19
	2,12	19
	2,14	19
	23,2	18.142
	24,12	112
Δ′ Βασ.	2,15	140.173
	2,21	35
	3,7	115
	6,4–7	34
	6,6	34
	6,7	35
Α′ Ἔσδρ.	4,36	51.257
	4,40	257
	66,1	257
Β′ Ἔσδρ.	19,20	202
Τωβ.	4,15	101
	4,16	193
	12,8–9	58
Ψαλ.	2,1	184
	2,6	60.81.93
	2,8	61.105
	3,6	201
	4,7	40.181
	4,8	149
	5,7	72
	5,11	42
	7,4	128
	7,10	148
	8,2	46.169
	9,21	93
	10,1	19
	10,4	108
Ψαλ.	10,7	109
	10,17	186
	15,10	61.100.215
	16,8	37
	17,28	183
	17,30	131
	17,32	236
	17,44	45
	17,45	25
	18,2	239
	18,7	121
	20,27	148
	21,2	125
	21,4	13.180
	21,11	96
	21,17	82
	21,19	82
	22,1–2	38
	22,5	38
	22,18–19	128
	23,7	234
	24,5	188
	26,10	32
	28,3	29.33
	28,25	160
	29,11	93
	30,3	92.236
	30,10	230
	30,13	159
	30,24	148
	31,1	21.26
	31,9	66.123
	32,4	231
	32,6	239.245.247.248
	32,16	42
	32,17	42
	32,19	227
	33,6	29
	33,19	183
	35,7	124.253
	35,10	224
	42,3	37.216
	44,7	78
	44,8	61.99.115.236
	44,9	115
	45,23	19
	47,8	203
	48,13	244
	49,1	133
	49,1–2	121
	50,6	58.143
	50,7	143
	50,8	148

		Σελ.
Ψαλ.	50,9	38
	50,12	83.235.258
	50,13	22.148.258
	50,14	42.258
	55,5	132
	61,12	19
	61,13	19
	64,12	41
	65,3	25
	65,13	129
	67,5	128
	67,21	197
	69,6	46
	70,1–10	58
	70,17	15
	72,1	197
	75,2	45.169
	76,19	29
	77,65	122
	80,11	67
	80,16	25.254
	81,5	53
	81,6	133
	82,18–19	46
	82,19	46
	84,8	261
	84,9	18
	85,8	71.237
	85,10	71.103
	85,34	142
	88,7	94
	88,8	71
	88,21	89
	88,21–28	89
	88,31	191
	90,13	29
	92,1	81
	93,19	149.183
	96,4	29
	97,1	201
	99,3	128
	99,11	12
	100,3–4	25
	101,26	78.239
	101,28	103
	102,4	83
	102,5	26
	103,4	204.245
	103,5	83
	103,24	88.103
	103,27	121
	103,29	187.253
	103,29–30	239
Ψαλ.	103,30	187.259
	104,15	17
	104,37	129
	105,43	42
	105,45–46	126
	106,23	29
	107,12	130.131
	107,14	131
	108,27	92
	109,1	128.171.236
	109,1–5	18
	109,2	19.189
	109,3	19.239
	109,4	19
	109,5	19
	113,11	113
	113,12–16	134
	115,2	48.236
	117,14	197
	117,16–17	201
	117,21	236
	117,21–22	82
	118,73	239
	118,89	103
	118,91	72.238
	131,12	191
	131,17	140
	132,3	34
	134,7	133
	135,1	202
	135,5	134
	137,2	46.169
	138,7	250.259
	138,7–10	107.250
	142,10	42.202.258
	144,13	93
	144,15–16	121
	144,18	42.107
	146,3	121
	147,7	37.253
Ἰωβ	1,21	178
	5,13	120
	9,8	103.258
	9,9	83
	14,4–5	98
	27,2	261
	27,3	261
	28,12	80
	32,8	259
	33,4	11.239.256.259
	33,12	11
	33,23	11

		Σελ.
Ἰώβ	33,26	11
	33,28	11
	40,19	231
	40,23	29
Παρμ.	1,7	77
	3,19	88
	3,22	235
	8,15	78
	8,22	60.77.78.79.80 81.83.84.235
	8,25	77.80.83.84
	8,26	78
	8,29	78
	8,29–31	78
	8,35–36	78
	9,1	37.79
	9,12	79
	10,4	79
	10,9	79
	10,13–14	79
	10,23	79
	10,31	79
	12,18	79
	13,20	79.177
	14,6	79
	14,8	79
	15,33	79
	16,16	79
	18,2	79
	18,3	133
	20,29	79
	22,4	79
	24,3	79
	24,5	49
	26,4	157
	27,19	65
	30,3	15
	30,4	80
	31,1	242
Ἐκκλ.	1,4	167
	3,19	244
	3,21	203
	4,12	258
	9,16	80
Ἄσμ.	1,2	169
	5,10	60.94
Σ. Σολ.	1,3–4	49
	1,4	254
	1,6	205
Σ. Σολ.	1,6-7	54
	1,7	57.76.150 155.239.250
	2,1–2	239
	6,26	177
	7,16	80
	9,16	182
	11,26	198
	11,27	80
	12,1	75.104
	14,12	103
	15,3	177
Σ. Σειρ.	1,4	80
	1,14	80
	1,15	80
	22,11	32
	40,24	58
Ὡσ.	1,1	184
	1,6–7	131
	1,7	256
	12,5	143
	13,4	143
	14,10	141.245
Ἀμ.	1,6	249
	2,4–5	141
	3,7	184
	3,11	242
	3,14	227
	5,8	238
	4,11	140.141.256
	4,11–13	140
	4,12	141.172
	4,12–13	62
	4,13	23.140.141.172 173.206
Μιχ.	2,7	42
	3,5	112
	4,7	93
Ἰωὴλ	2,13	145
	2,28	169
	3,1	258
